AESCHYLI

FABULAE SUPERSTITES

ET

PERDITARUM FRAGMENTA.

EX RECENSIONE

GUILELMI DINDORFII.

[illegible]

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCC[illegible]XX

AESCHYLI

FABULAE SUPERSTITES

ET

PERDITARUM FRAGMENTA.

EX RECENSIONE

GUILELMI DINDORFII.

EDITIO EX POETARUM SCENICORUM EDITIONE QUINTA EXPRESSA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXIX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

I.

AESCHYLI

FABULAE SUPERSTITES

ET

PERDITARUM FRAGMENTA.

ΑΙΣΧΥΛΟΥ ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΚΡΑΤΟΣ ΚΑΙ ΒΙΑ.
ΗΦΑΙΣΤΟΣ.
ΠΡΟΜΗΘΕΥΣ.
ΧΟΡΟΣ ΩΚΕΑΝΙΔΩΝ ΝΥΜΦΩΝ.
ΩΚΕΑΝΟΣ.
ΙΩ Η ΙΝΑΧΟΥ.
ΕΡΜΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Προμηθέως ἐν Σκυθίᾳ δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ πυνθάνεται Ἰὼ πλανωμένη ὅτι κατ' Αἴγυπτον γενομένη ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς δὲ παράγεται ἀπειλῶν αὐτῷ κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διί. τέλος βροντῆς γενομένης ἀφανὴς γίνεται ὁ Προμηθεύς.

Κεῖται δὲ ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κολχίσι, παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος, ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστι Προμηθέως δέσις.

Ἰστέον δὲ ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις μέρεσι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔξεστι συμβαλεῖν.

ΚΡΑΤΟΣ.

Χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβροτον εἰς ἐρημίαν.
Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς
ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι
ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις.
τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,
θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην,
ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.

ΗΦΑΙΣΤΟΣ.

Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
ἔχει τέλος δὴ κοὐδὲν ἐμποδὼν ἔτι·
ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεὸν
δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
πάντως δ' ἀνάγκη τῶνδέ μοι τόλμαν σχεθεῖν·

Scripturas sine nomine auctoris vel in lemmatis vel pone lemmata positae codicis sunt Medicei (M). Emendationes ex uno pluribusve codicis Medicei apographis factas asterisco notavimus, omissis quas hoc loco notari non erat operae pretium minutiis orthographicis aliisque quisquiliis. Coniecturis editoris litera H est apposita. De codice Mediceo eiusque apographis dixi in Praefatione ad hanc fabulam, Lipsiae et Londini a. 1866. editam, p. III—XVI.

2. ἄβροτον εἰς scholiasta Homeri Il. 14, 78. et scholiasta Arist. Ran. 827.] ἄβατόν τ' εἰς

6. ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις schol. Arist. Ran. 827.] ἀδαμαντίναις πέδησιν ἐν ἀρρήκτοις πέτραις (πέραις pr.) 16. σχεθεῖν Elmsleius] σχέθειν

εὐωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασι
προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ,
ἵν' οὔτε φωνὴν οὔτε του μορφὴν βροτῶν
ὄψει, σταθευτὸς δ' ἡλίου φοίβῃ φλογὶ
χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένῳ δέ σοι
ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος,
πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν·
ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
τρύσει σ'· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
τοιαῦτ' ἐπηύρου τοῦ φιλανθρώπου τρόπου.
θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον
βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης.
ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν
ὀρθοστάδην ἄϋπνος, οὐ κάμπτων γόνυ·
πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
φθέγξει· Διὸς γὰρ δυσπαραίτητοι φρένες·
ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῇ.
ΚΡ. εἶεν, τί μέλλεις καὶ κατοικτίζει μάτην;
τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν,
ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας;
ΗΦ. τὸ συγγενές τοι δεινόν ἥ θ' ὁμιλία.
ΚΡ. σύμφημ'· ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων
οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;
ΗΦ. ἀεί γε δὴ νηλὴς σὺ καὶ θράσους πλέως.
ΚΡ. ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι· σὺ δὲ
τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
ΗΦ. ὦ πολλὰ μισηθεῖσα χειρωναξία.
ΚΡ. τί νιν στυγεῖς; πόνων γὰρ ὡς ἁπλῷ λόγῳ
τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.
ΗΦ. ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.
ΚΡ. ἅπαντ' ἐπαχθῆ πλὴν θεοῖσι κοιρανεῖν·
ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διός.
ΗΦ. ἔγνωκα τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω.
ΚΡ. οὔκουν ἐπείξει τῷδε δεσμὰ περιβαλεῖν,
ὡς μή σ' ἐλινύοντα προσδερχθῇ πατήρ;
ΗΦ. καὶ δὴ πρόχειρα ψέλια δέρκεσθαι πάρα.
ΚΡ. βαλών νιν ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει
ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.
ΗΦ. περαίνεται δὴ κοὐ ματᾷ τοὔργον τόδε.
ΚΡ. ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα·
δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους.
ΗΦ. ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως.
ΚΡ. καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς, ἵνα
μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος.
ΗΦ. πλὴν τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.
ΚΡ. ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.
ΗΦ. αἰαῖ, Προμηθεῦ, σῶν ὑπερστένω πόνων.
ΚΡ. σὺ δ' αὖ κατοκνεῖς τῶν Διός τ' ἐχθρῶν ὕπερ
στένεις; ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτέ.
ΗΦ. ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν.
ΚΡ. ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων·
ἀλλ' ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.
ΗΦ. δρᾶν ταῦτ' ἀνάγκη, μηδὲν ἐγκέλευ' ἄγαν.
ΚΡ. ἦ μὴν κελεύσω κἀπιθωΰξω γε πρός.
χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ.
ΗΦ. καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ.
ΚΡ. ἐρρωμένως νῦν θεῖνε διατόρους πέδας·
ὡς οὑπιτιμητής γε τῶν ἔργων βαρύς.
ΗΦ. ὅμοια μορφῇ γλῶσσά σου γηρύεται.
ΚΡ. σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
ὀργῆς τε τραχυτῆτα μὴ 'πίπλησσέ μοι.
ΗΦ. στείχωμεν· ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει.
ΚΡ. ἐνταῦθα νῦν ὕβριζε καὶ θεῶν γέρα
συλῶν ἐφημέροισι προστίθει. τί σοι
οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;
ψευδωνύμως σε δαίμονες Προμηθέα
καλοῦσιν· αὐτὸν γάρ σε δεῖ προμηθέως
ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλισθήσει τύχης.

ΠΡΟΜΗΘΕΥΣ.

ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί,
ποταμῶν τε πηγαὶ ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,
καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ,
ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός,
δέρχθηθ' οἵαις αἰκίαισιν
διακναιόμενος τὸν μυριετῆ
χρόνον ἀθλεύσω.
τοιόνδ' ὁ νέος ταγὸς μακάρων
ἐξηῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ.
φεῦ φεῦ, τὸ παρὸν τό τ' ἐπερχόμενον
πῆμα στενάχω, πῇ ποτε μόχθων
χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι.
καίτοι τί φημι; πάντα προὐξεπίσταμαι
σκεθρῶς τὰ μέλλοντ', οὐδέ μοι ποταίνιον
πῆμ' οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ' ὅτι
τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος.
ἀλλ' οὔτε σιγᾶν οὔτε μὴ σιγᾶν τύχας
οἷόν τέ μοι τάσδ' ἐστί· θνητοῖς γὰρ γέρα
πορὼν ἀνάγκαις ταῖσδ' ἐνέζευγμαι τάλας·
ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης
πάσης βροτοῖς [illegible] καὶ μέγας πόρος.
[illegible] τίνω
[illegible] νος.
[illegible]
[illegible] ἐγγής
θεόσυτος, ἢ βρότειο[illegible] η;
τίς ἵκετ' αἴας τόνδε τερ[illegible]

17. εὐωριάζειν Blomfieldus ex Hesychio et Photio] ἐξωριάζειν 20. *πάγῳ] τόπῳ 24. ἀποκρύψει [illegible] Sic Archilochus ap. Stob. Flor. 110, 10. Ζεὺς ἐκ μεσημβρίης ἔθηκε νύκτ' ἀποκρύψας φάος. 28. ἐπηύρου [illegible] leius] ἐπηύρω 34. φθέγξει Porsonus] φθέγξῃ [illegible] in quo prope constans haec est personae secund[illegible] terminatio: de quo semel monemus. 39. 40. τό συ[illegible] — σύμφημ'] τὸ ξυγγενές — ξύμφημ' Porsonus, qui formam Atticam ubique restituit nisi ubi metrum alteram postularet formam: de quo dixi in Prolegomenis de dialecto. Formam Atticam, ab Aeschylo fortasse XCYN scriptam, passim servavit Aeschyli et Sophoclis codex Mediceus, tanta tamen inconstantia ut hi poetae temere modo hanc modo alteram formam arripuisse videantur. Idem de aliis fere omnibus quaestionibus orthographicis dicendum. 42. *γε] τε 49. ἐπαχθῆ Stanleius] ἐπράχθη 51. τοῖσδε] καὐτὸς (vel κἀγὼ) Nauckius (Mélanges Gréco-Romains 1867. p. 67.). 54. *ψέλια] ψάλια 55. βαλὼν Stanleius] λαβὼν 59. πόρους ex Dionysio Hal. Ant. Rom. 7, 36., Marcellino in Vita Thucydidis p. VIII, 5. ed. Bekk., scholiasta Arist. Eq. 756.] πόρον

66. ὑπερστένω] ὑποο[illegible] στένω Schuetzius. 77. *γε] σε, σ[illegible] 80. τραχυτῆτα D.] τραχύτητα [illegible] τίθη Blomfieldus. 87. *τύχης] τε[illegible] διός 90. *παμμῆτορ] παμμήτωρ [illegible] bus] ποῖ 112. *τοιῶνδε] τοιάσδε [illegible] Blomfieldus] ὑπαίθριος προσπεπαρμένο[illegible] σαλεύμενος 114. ἆἆ D.] ἆ ἆ ἔα ἔα. Conf. au[illegible] 117. τίς ἵκετ' αἴας τόνδε τέρμιον πάγον D. [illegible] 129. προσέβα τόνδε πάγον)] ἵκετο τερμόνιον (adiect[illegible]

πόνων ἐμῶν θεωρός, ἢ τί δὴ θέλων;
ὁρᾶτε δεσμώτην με δύσποτμον θεόν,
τὸν Διὸς ἐχθρόν, τὸν πᾶσι θεοῖς
δι' ἀπεχθείας ἐλθόνθ' ὁπόσοι
τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν,
διὰ τὴν λίαν φιλότητα βροτῶν.
φεῦ φεῦ, τί ποτ' αὖ κινάθισμα κλύω
πέλας οἰωνῶν, αἰθὴρ δ' ἐλαφραῖς
πτερύγων ῥιπαῖς ὑποσυρίζει.
πᾶν μοι φοβερὸν τὸ προσέρπον.

ΧΟΡΟΣ.

μηδὲν φοβηθῇς· φιλία γὰρ ἅδε τάξις πτερύγων θο
αῖς ἁμίλλαις προσέβα
τόνδε πάγον, πατρῴας
μόγις παρειποῦσα φρένας.
κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι·
κτύπου γὰρ ἀχὼ χάλυβος διῇξεν ἄντρων μυχόν, ἐκ
τὰν θεμερῶπιν αἰδῶ· [δ' ἔπληξέ μου
σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.
ΠΡ. αἰαῖ αἰαῖ,
τῆς πολυτέκνου Τηθύος ἔκγονα,
τοῦ περὶ πᾶσάν θ' εἱλισσομένου
χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες
πατρὸς Ὠκεανοῦ,
δέρχθητ', ἐσίδεσθ' οἵῳ δεσμῷ
προσπαρτὸς ἐγὼ
τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις
φρουρὰν ἄζηλον ὀχήσω.
ΧΟ. λεύσσω, Προμηθεῦ· φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ὁμί-
χλα προσῇξε πλήρης δακρύων,
σὸν δέμας εἰσιδοῦσαν
πέτρᾳ προσαυαινόμενον
ταῖσδ' ἀδαμαντοδέτοισι λύμαις· [δὲ δὴ νόμοις
νέοι γὰρ οἰακονόμοι κρατοῦσ' Ὀλύμπου· νεοχμοῖς
Ζεὺς ἀθέτως κρατύνει,
τὰ πρὶν δὲ πελώρια νῦν ἀϊστοῖ.
ΠΡ. εἰ γάρ μ' ὑπὸ γῆν νέρθεν θ' Ἅιδου
τοῦ νεκροδέγμονος εἰς ἀπέραντον
Τάρταρον ἧκεν,
δεσμοῖς ἀλύτοις ἀγρίως πελάσας,
ὡς μήτε θεῶν μήτε τις ἀνδρῶν
τοῖσδ' ἐγεγήθει·
νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας
ἐχθροῖς ἐπίχαρτα πέπονθα.
ΧΟ. τίς ὧδε τλησικάρδιος
θεῶν ὅτῳ τάδ' ἐπιχαρῆ;
τίς οὐ ξυνασχαλᾷ κακοῖς
τεοῖσι, δίχα γε Διός; ὁ δ' ἐπικότως ἀεὶ
θέμενος ἄγναμπτον νόον
δάμναται οὐρανίαν [λάμᾳ τινὶ
γένναν, οὐδὲ λήξει, πρὶν ἂν ἢ κορέσῃ κέαρ, ἢ πα-
τὰν δυσάλωτον ἕλῃ τις ἀρχάν.
ΠΡ. ἦ μὴν ἔτ' ἐμοῦ, καίπερ κρατεραῖς
ἐν γυιοπέδαις αἰκιζομένου,
χρείαν ἕξει μακάρων πρύτανις,
δεῖξαι τὸ νέον βούλευμ' ὑφ' ὅτου
σκῆπτρον τιμάς τ' ἀποσυλᾶται.
καί μ' οὔτι μελιγλώσσοις πειθοῦς
ἐπαοιδαῖσιν
θέλξει, στερεάς τ' οὔποτ' ἀπειλὰς
πτήξας τόδ' ἐγὼ καταμηνύσω,
πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ
ποινάς τε τίνειν
τῆσδ' αἰκίας ἐθελήσῃ.
ΧΟ. σὺ μὲν θρασύς τε καὶ πικραῖς
δύαισιν οὐδὲν ἐπιχαλᾷς,
ἄγαν δ' ἐλευθεροστομεῖς.
ἐμὰς δὲ φρένας ἐρέθισε διάτορος φόβος·
δέδια δ' ἀμφὶ σαῖς τύχαις,
πᾷ ποτε τῶνδε πόνων [καὶ κέαρ
χρή σε τέρμα κέλσαντ' ἐσιδεῖν· ἀκίχητα γὰρ ἤθεα
ἀπαράμυθον ἔχει Κρόνου παῖς.
ΠΡ. οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ
τὸ δίκαιον ἔχων Ζεύς· ἀλλ' ἔμπας
μαλακογνώμων
ἔσται ποθ' ὅταν ταύτῃ ῥαισθῇ·
τὴν δ' ἀτέραμνον στορέσας ὀργὴν
εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
σπεύδων σπεύδοντί ποθ' ἥξει.
ΧΟ. πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον,
ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι
οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάπτει λόγῳ.
ΠΡ. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
ἄλγος δὲ σιγᾶν, πανταχῇ δὲ δύσποτμα.
ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου
στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο,
οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν
σπεύδοντες, ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν,
ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
ἀτιμάσαντες καρτεροῖς φρονήμασιν
ᾤοντ' ἀμοχθὶ πρὸς βίαν τε δεσπόσειν·
ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις
καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
τὸ μέλλον ᾗ κρανοῖτο προυτεθεσπίκει,
ὡς οὐ κατ' ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν
χρείη, δόλῳ δὲ τοὺς ὑπερσχόντας κρατεῖν.
τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου
οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
κράτιστα δή μοι τῶν παρεστώτων τότε
ἐφαίνετ' εἶναι προσλαβόντα μητέρα

128—135. = 144—150.
159—166. = 178—185.

vum nusquam alibi lectum) ἐπὶ πάγον, inepta huic loco metri forma.

118. *ἐμῶν] ἡμῶν 129. ἅδε Hermannus] ἥδε 136 *αἶ αἶ αἶ αἶ (i. e. αἰαῖ αἰαῖ)] αἶ αἶ αἶ 142. *προσπαρτὸς] πρὸς πατρὸς ἐγὼ addidit D. 146. εἰσιδοῦσαν Hermannus] εἰσιδουσα (litera σ a m. rec.) 147. ταῖσδ' ἀδαμαντοδέτοισι Elmsleius] ταῖς (ταῖσδ' Victorius ἀμαντοδέτοις, δα super ἀμ scripto et literis το a m. rec. insertis. 150. ἀθέτως ex Hesychio] ἀθέσμως 152. θ' Ἅιδου (voluit ᾅδου) Turnebus] τ' ἀΐδου 155. *ἀγρίως] ἀγρίοις 156. μήτε θεῶν μήτε τις ἀνδρῶν D.] μήποτε θεὸς μήτε τις ανοσ (sic pr.: αλλοσ ab correctore). 157 ἐγεγήθει Elmsleius] ἐπεγήθει 161. et 243. ξυνασχαλᾷ] ξυνασχαλεῖ L. Dindorfius in Thesauro s. v. Ἀσχαλάω. ἀσχαλεῖ pro ἀσχαλᾷ restituit Herwerdenus v. 764. 163. ἄγναμπτον (τ a m. rec.] ἄκναφον D, coniectura incerta, de qua dictum in Praef. p. XI.

167. *ἔτ' ἐμοῦ] ἔτ' ἀπ' ἐμοῦ, ἀ a m. rec. in litura literae, ut videtur, ἐ. 172. *οὔτι] οὔτοι 177. τε τίνειν Turnebus] τέ μοι τίνειν 178. *τῆσδ'] τῆς 181. ἐρέθισε Turnebus] ἠρέθισε 182. δέδια δ' Porsonus] δέδια γὰρ πᾷ Turnebus] ὅπα 185. *ἀπαράμυθον] οὐ παράμυθον 186. *τραχὺς καὶ] τραχύς τε καὶ 187. ἔμπας Brunckius] ἔμπας οἴω (ο in litura): de quo dixi in Praef. p. XI. 189. *ῥαισθῇ] ῥωσθῇ, ω in litura, pro αι ut videtur. 201. *ἕδρας] ἕδρης et 226. αἰτίην pro *αἰτίαν. 211. κρανοῖτο Elmsleius] κραίνοιτο 213. ὑπερσχόντας Porsonus] ὑπερέχοντας 217. *προσλαβόντα] προσλαβόντι

ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν.
ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς
κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον
αὐτοῖσι συμμάχοισι. τοιάδ' ἐξ ἐμοῦ
ὁ τῶν θεῶν τύραννος ὠφελημένος
κακαῖσι ποιναῖς ταῖσδέ μ' ἀντημείψατο·
ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα
αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
καθέζετ', εὐθὺς δαίμοσιν νέμει γέρα
ἄλλοισιν ἄλλα καὶ διεστοιχίζετο
ἀρχήν, βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
οὐκ ἔσχεν οὐδέν', ἀλλ' ἀϊστώσας γένος
τὸ πᾶν ἔχρῃζεν ἄλλο φιτῦσαι νέον.
καὶ τοισίδ' οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
ἐγὼ δ' ἐτόλμησ'· ἐξελυσάμην βροτοὺς
τὸ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν.
τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν·
θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλὰ νηλεῶς
ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.

ΧΟ. σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος
ὅστις, Προμηθεῦ, σοῖσιν οὐ ξυνασχαλᾷ
μόχθοις. ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
ἔχρῃζον εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ.

ΠΡ. καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ.
ΧΟ. μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;
ΠΡ. θνητούς ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
ΧΟ. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
ΠΡ. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
ΧΟ μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.
ΠΡ. πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
ΧΟ. καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;
ΠΡ. ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.

ΧΟ. τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν
αἰκίζεταί τε κοὐδαμῇ χαλᾷ κακῶν,
οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον;

ΠΡ. οὐκ ἄλλο γ' οὐδέν, πλὴν ὅταν κείνῳ δοκῇ.

ΧΟ. δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
ἥμαρτες; ὡς δ' ἥμαρτες οὔτ' ἐμοὶ λέγειν
καθ' ἡδονὴν σοί τ' ἄλγος· ἀλλὰ ταῦτα μὲν
μεθῶμεν, ἄθλου δ' ἔκλυσιν ζήτει τινά.

ΠΡ. ἐλαφρὸν ὅστις πημάτων ἔξω πόδα
ἔχει παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντ'. ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην,
ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
θνητοῖς ἀρήγων αὐτὸς ηὑρόμην πόνους.
οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίαισί με
κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
τυχόντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγου.
καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ' ἄχη,
πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ', ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πίθεσθέ μοι πίθεσθε, συμπονήσατε
τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη
πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.

ΧΟ. οὐκ ἀκούσαις ἐπεθώυξας
τοῦτο, Προμηθεῦ.
καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
θᾶκον προλιποῦσ',
αἰθέρα θ' ἁγνὸν πόρον οἰωνῶν,
ὀκριοέσσῃ χθονὶ τῇδε πελῶ·
τοὺς σοὺς δὲ πόνους
χρῄζω διὰ παντὸς ἀκοῦσαι.

ΩΚΕΑΝΟΣ.

ἥκω δολιχῆς τέρμα κελεύθου
διαμειψάμενος πρὸς σέ, Προμηθεῦ,
τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν
γνώμῃ στομίων ἄτερ εὐθύνων·
ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
τό τε γάρ με, δοκῶ, συγγενὲς οὕτως
ἐσαναγκάζει,
χωρίς τε γένους οὐκ ἔστιν ὅτῳ
μείζονα μοῖραν νείμαιμ' ἢ σοί.
γνώσει δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
σήμαιν' ὅ τι χρή σοι συμπράσσειν·
οὐ γάρ ποτ' ἐρεῖς ὡς Ὠκεανοῦ
φίλος ἐστὶ βεβαιότερός σοι.

ΠΡ. ἔα,
τί χρῆμα λεύσσω, καὶ σὺ δὴ πόνων ἐμῶν
ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα
ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
ἐμὰς ἀφῖξαι καὶ συνασχαλῶν κακοῖς;
δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι

ΩΚ. ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους
νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν ὄχλον
παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν.
ἀλλ', ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες,
ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται.
σὺ δ' οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς,
πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις.
οὔκουν ἔμοιγε χρώμενος διδασκάλῳ
πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.
καὶ νῦν ἐγὼ μὲν εἶμι καὶ πειράσομαι
ἐὰν δύνωμαι τῶνδέ σ' ἐκλῦσαι πόνων·
σὺ δ' ἡσύχαζε μηδ' ἄγαν λαβροστόμει.
ἢ οὐκ οἶσθ', ἀκριβῶς ὢν περισσόφρων, ὅτι
γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;

ΠΡ. ζηλῶ σ' ὁθούνεκ' ἐκτὸς αἰτίας κυρεῖς,

---

223. *ἀντημείψατο] ἐξημείψατο 234 τοισίδ' Elmsleius] τοῖσιν (ν in duarum literarum litura). 235. *δ' ἐτόλμησ'] δὲ τόλμησ' (ἐτόλμησα et τολμῆς, ex τολμήεις contractum, scripturae ab schol. memoratae). 237. *τῷ τοι] τῷ ταῖς (τοι super ταῖς a m. paullo recentiore). 239. Versus, ut videtur, interpolatus; de quo dixi in Praef. p. XIV. 243. ξυνασχαλᾷ] συνασχαλᾷ M, qui v. 161. ξυνασχαλᾷ. ξυνασχαλεῖ utrobique L. Dindorfius. 248. *θνητούς] θνητούς τ' 264. τὸν κακῶς πράσσοντ' Stanleius] τοὺς κακῶς πράσσοντας

274. πίθεσθέ μοι πίθεσθε Blomfieldus] πείθεσθέ μοι πείθεσθε 279. *κραιπνόσυτον] κραιπνόσσυτον 293. γνώσει – χαριτογλωσσεῖν Athen 4. p. 165e.] γνώσῃ – σὲ τὸ χαριτογλωσσεῖν 295. συμπράσσειν Brunckius] συμπράττειν 298. λεύσσω addidit D., ἔα extra versum posito. 313. ὄχλον Doederlianus] χόλον

πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
καὶ νῦν ἔασον μηδέ σοι μελησάτω.
πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
πάπταινε δ' αὐτός μή τι πημανθῇς ὁδῷ.
ΩΚ. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς
ἢ σαυτόν· ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.
ὁρμώμενον δὲ μηδαμῶς μ' ἀντισπάσῃς.
αὐχῶ γὰρ αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων.
ΠΡ. τὰ μέν σ' ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ·
προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
μηδὲν πόνει· μάτην γὰρ οὐδὲν ὠφελῶν
ἐμοὶ πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις.
ἀλλ' ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων·
ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' οὕνεκα
θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.
οὐ δῆτ', ἐπεί με χαἰ κασιγνήτου τύχαι
τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς
ὤμοιν ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
ἄντρων ἰδὼν ᾤκτειρα, δάϊον τέρας
ἑκατογκάρανον πρὸς βίαν χειρούμενον
Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀνέστη θεοῖς,
σμερδναῖσι γαμφηλαῖσι συρίζων φόβον·
ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ·
ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
ἐφεψαλώθη κἀξεβροντήθη σθένος
καὶ νῦν ἀχρεῖον καὶ παράορον δέμας
κεῖται στενωποῦ πλησίον θαλασσίου
ἰπούμενος ῥίζαισιν Αἰτναίαις ὕπο,
κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος· ἔνθεν ἐκραγήσονταί ποτε
ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
τῆς καλλικάρπου Σικελίας λευροὺς γύας·
τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον
θερμοῖς ἀπλάτου βέλεσι πυρπνόου ζάλης,
καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.
σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
χρῄζεις· σεαυτὸν σῷζ' ὅπως ἐπίστασαι·
ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
ἔς τ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.
ΩΚ. οὔκουν, Προμηθεῦ, τοῦτο γιγνώσκεις, ὅτι
ὀργῆς ζεούσης εἰσὶν ἰατροὶ λόγοι;
ΠΡ. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ
καὶ μὴ σφυδῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.
ΩΚ. ἐν τῷ προμηθεῖσθαι δὲ καὶ τολμᾶν τίνα
ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.
ΠΡ. μόχθον περισσὸν κουφόνουν τ' εὐηθίαν.
ΩΚ. ἔα με τῇδε τῇ νόσῳ νοσεῖν, ἐπεὶ
κέρδιστον εὖ φρονοῦντα μὴ φρονεῖν δοκεῖν.
ΠΡ. ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε.
ΩΚ. σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
ΠΡ. μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.
ΩΚ. ἦ τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας;
ΠΡ. τούτου φυλάσσου μή ποτ' ἀχθεσθῇ κέαρ.
ΩΚ. ἡ σή, Προμηθεῦ, συμφορὰ διδάσκαλος.
ΠΡ. στέλλου, κομίζου, σῷζε τὸν παρόντα νοῦν.
ΩΚ. ὁρμωμένῳ μοι τόνδ' ἐθώυξας λόγον.
λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
τετρασκελὴς οἰωνός. ἄσμενος δέ τἂν
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.
ΧΟ. στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ·
δακρυσίστακτον ἀπ' ὄσσων ῥαδινῶν δ' εἰβομένα
ῥέος παρειὰν
νοτίοις ἔτεγξα παγαῖς· ἀμέγαρτα γὰρ τάδε Ζεὺς
ἰδίοις νόμοις κρατύνων ὑπερήφανον θεοῖς τοῖς πά-
ρος ἐνδείκνυσιν αἰχμάν.
πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα,
μεγαλοσχήμονα κἀρχαιοπρεπῆ περθομέναν στέ-
νουσα τὰν σὰν
ξυνομαιμόνων τε τιμάν, ὁπόσοι τ' ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται μεγαλοστόνοισι σοῖς πήμασι
συγκάμνουσι θνατοί.
Κολχίδος τε γᾶς ἔνοικοι
παρθένοι, μάχας ἄτρεστοι,
καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
ἔσχατον τόπον ἀμφὶ Μαιῶτιν ἔχουσι λίμναν,
Χαλκίδος τ' ἄρειον ἄνθος,
ὑψίκρημνον οἳ πόλισμα
Καυκάσου πέλας νέμονται,
δάϊος στρατὸς, ὀξυπρῴροισι βρέμων ἐν αἰχμαῖς.
μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις
δαμέντ' ἀδαμαντοδέτοις Τιτᾶνα λύμαις
εἰσιδόμαν θεὸν Ἄτλαν,
ὃς αἰὲν ὑπέροχον σθένος κραταιὸν
γᾶς οὐράνιόν τε πόλον νώτοις ὀχῶν στενάζει.
βοᾷ δὲ πόντιος κλύδων
ξυμπίτνων, στένει βυθὸς,
κελαινὸς Ἄϊδος δ' ὑποβρέμει μυχὸς γᾶς, [κτρόν.
παγαί θ' ἁγνορύτων ποταμῶν στένουσιν ἄλγος οἰ-
ΠΡ. μή τοι χλιδῇ δοκεῖτε μηδ' αὐθαδίᾳ
σιγᾶν με· συννοίᾳ δὲ δάπτομαι κέαρ,
ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον.
καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
τίς ἄλλος ἢ 'γὼ παντελῶς διώρισεν;
ἀλλ' αὐτὰ σιγῶ· καὶ γὰρ εἰδυίαισιν ἂν
ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πήματα
ἀκούσαθ', ὥς σφας νηπίους ὄντας τὸ πρὶν
ἔννους ἔθηκα καὶ φρενῶν ἐπηβόλους.
λέξω δέ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων,
ἀλλ' ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος·
οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,

397—405. = 406—414.
415—419. = 420—424.

---

332. *μηδέ] μηδέν 333. *πείσεις] πείθεις 337. *μηδαμῶς μ'] μ' om. 340. *κοὐδαμῇ] κοὐδὲ μὴ 345. οὕνεκα Brunckius] εἵνεκα 347. χαἰ Porsonus] καὶ 348. *πρός] ἐς 350. *ὤμοιν] ὤμοις 353. ἑκατογκάρανον Blomfieldus] ἑκατοντακάρηνον, α super η scripto.
354. ἀνέστη Wunderlichius] ἀντέστη 371. *θερμοῖς] θερμῆς ἀπλήτου (debebat ἀπλάτου) Schuetzius] ἀπλήστου *βέλεσι] βέλεσσι 378. ζεούσης D.] νοσούσης 380. *ἰσχναίνῃ] ἰσχναίει, ν super ει scripto. 381. *προμηθεῖσθαι (ex schol. qui per προνοεῖσθαι explicat)] προθυμεῖσθαι

395. δέ τἂν Blomfieldus] δ' ἔτ' ἂν 398. ἀπ' ὄσσων ῥαδινῶν δ' εἰβομένα Hermannus] δ' ἀπ' ὄσσων ῥαδινῶν λειβομένα 401. *παγαῖς] πηγαῖς 405. *ἐνδείκνυσιν αἰχμάν] ἐνδεικνύειν αἰχμὴν 407. κἀρχαιοπρεπῆ Heathius] τ' ἀρχαιοπρεπῆ 408. περθομέναν addidit D.: de quo dictum in Praefat. p. V. *στένουσα] στένουσι
420. Χαλκίδος Heimsoethius] ἀραβίας: de quo dixi in Praefat. p. XIII. 422. ὑψίκρημνον Elmsleius] ὑψίκρημνόν θ' νέμονται scholiasta in lemmate] νέμουσι 426. *ἀδαμαντοδέτοις] ἀκαμαντοδέτοις 427. Ἄτλαν D.] ἄτλανθ' 428. *ὃς] ὡς *ὑπέροχον] ὑπείροχον 430. γᾶς addidit D. ὀχῶν στενάζει D.] ὑποστενάζει 432. *βυθὸς] βαθὺς 433. Ἄϊδος δ' D.] δ' ἄϊδος 438. προυσελούμενον Askewius] προσηλούμενον (ε super η a m. antiqua, sed non eadem).

κλύοντες οὐκ ἤκουον, ἀλλ' ὀνειράτων
ἀλίγκιοι μορφαῖσι τὸν μακρὸν βίον
ἔφυρον εἰκῆ πάντα, κοὔτε πλινθυφεῖς
δόμους προσείλους ἦσαν, οὐ ξυλουργίαν·
κατώρυχες δ' ἔναιον ὥστ' ἀήσυροι
μύρμηκες ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ
οὔτ' ἀνθεμώδους ἦρος οὔτε καρπίμου
θέρους βέβαιον, ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
ἔπρασσον, ἔς τε δή σφιν ἀντολὰς ἐγὼ
ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις.
καὶ μὴν ἀριθμόν, ἔξοχον σοφισμάτων,
ἐξηῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
μνήμης ἁπάντων μουσομήτορ' ἐργάνην.
κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
ζεύγλαισι δουλεύοντα σάγμασίν θ', ὅπως
θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
γένοινθ', ὑφ' ἅρμα τ' ἤγαγον φιληνίους
ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
λινόπτερ' ηὗρε ναυτίλων ὀχήματα.
τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας
βροτοῖσιν αὐτὸς οὐκ ἔχω σόφισμ' ὅτῳ
τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.
ΧΟ. πέπονθας αἰκὲς πῆμ'· ἀποσφαλεὶς φρενῶν
πλανᾷ, κακὸς δ' ἰατρὸς ὥς τις ἐς νόσον
πεσὼν ἀθυμεῖς καὶ σεαυτὸν οὐκ ἔχεις
εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.
ΠΡ. τὰ λοιπά μου κλύουσα θαυμάσει πλέον,
οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.
τὸ μὲν μέγιστον, εἴ τις ἐς νόσον πέσοι,
οὐκ ἦν ἀλέξημ' οὐδέν, οὔτε βρώσιμον,
οὐ χριστόν, οὔτε πιστόν, ἀλλὰ φαρμάκων
χρείᾳ κατεσκέλλοντο, πρίν γ' ἐγώ σφισιν
ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
τρόπους τε πολλοὺς μαντικῆς ἐστοίχισα,
κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
ἐγνώρισ' αὐτοῖς ἐνοδίους τε συμβόλους,
γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
διώρισ', οἵτινές τε δεξιοὶ φύσιν
εὐωνύμους τε καὶ δίαιταν ἥντινα
ἔχουσ' ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι·
σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονήν,
χολῆς λοβοῦ τε ποικίλην εὐμορφίαν·
κνίσῃ τε κῶλα συγκαλυπτὰ καὶ μακρὰν
ὀσφῦν πυρώσας δυστέκμαρτον ἐς τέχνην
ὥδωσα θνητούς, καὶ φλογωπὰ σήματα
ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.
τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς
κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα,
χαλκόν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς
φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
οὐδείς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων.
βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,
πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.
ΧΟ. μή νυν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ
εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι
λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός.
ΠΡ. οὐ ταῦτα ταύτῃ Μοῖρά πω τελεσφόρος
κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς
δύαις τε καμφθεὶς ὧδε δεσμὰ φυγγάνω·
τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.
ΧΟ. τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
ΠΡ. Μοῖραι τρίμορφοι μνήμονές τ' Ἐρινύες.
ΧΟ. τούτων ἄρα Ζεύς ἐστιν ἀσθενέστερος.
ΠΡ. οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
ΧΟ. τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;
ΠΡ. τοῦτ' οὐκέτ' ἂν πύθοιο μηδὲ λιπάρει.
ΧΟ. ἦ πού τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.
ΠΡ. ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς
καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
ὅσον μάλιστα· τόνδε γὰρ σώζων ἐγὼ
δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.
ΧΟ. μηδάμ' ὁ πάντα νέμων
θεῖτ' ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεύς,
μηδ' ἐλινύσαιμι θεοὺς ὁσίαις θοίναις ποτινισσομένα
βουφόνοις παρ' Ὠκεανοῦ πατρὸς ἄσβεστον πόρον,
μηδ' ἀλίτοιμι λόγοις,
ἀλλά μοι τοῦτ' ἐμμένοι καὶ μήποτ' ἐκτακείη.
ἀδύ τι θαρσαλέαις
τὸν μακρὸν τείνειν βίον ἐλπίσι, φαναῖς
θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις. φρίσσω δέ σε
δερκομένα
μυρίοις μόχθοις διακναιόμενον ‒ ⏑́ ⏑ ‒.
Ζῆνα γὰρ οὐ τρομέων
αὐτόνῳ γνώμᾳ σέβει θνατοὺς ἄγαν, Προμηθεῦ.
φέρ' ὅπως ἄχαρις χάρις, ὦ φίλος· εἰπέ, ποῦ τίς
τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης [ἀλκά;
ὀλιγοδρανίαν ἄκικυν
ἰσόνειρον, ᾇ τὸ φωτῶν
ἀλαὸν γένος ἐμπεποδισμένον; οὔποτε θνατῶν
τὰν Διὸς ἁρμονίαν ἀνδρῶν παρεξίασι βουλαί.
ἔμαθον τάδε σὰς προσιδοῦσ' ὀλοὰς τύχας, Προμηθεῦ.
τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα
τόδ' ἐκεῖνό θ' ὅτ' ἀμφὶ λουτρὰ
καὶ λέχος σὸν ὑμεναίουν
ἰότατι γάμων, ὅτε τὰν ὁμοπάτριον ἕδνοις
ἄγαγες Ἡσιόναν πιθὼν δάμαρτα κοινόλεκτρον.
ΙΩ. τίς γῆ; τί γένος; τίνα φῶ λεύσσειν
τόνδε χαλινοῖς ἐν πετρίνοισιν
χειμαζόμενον;

526—535. = 536—544.
545—552. = 553—560.

451. *προσείλους (quod legit scholiasta)] προσήλους, superscripto ει. 458. δύσεις] ὁδούς Stob. Ecl. phys. 1, 1. 459. *σοφισμάτων (cum Stobaeo)] νοσφισμάτων (σοφισμάτων margo a m. recentissima). 460. ἐξηῦρον Stob. Floril. 81, 1.] ἐξεῦρον, pariterque ἐξεῦρ' 97., εὗρε 468. 461. μνήμης Hemsterh. ad Lucian. vol. 1. p. 88.] μνήμην, ut ap. Stobaeum. ἐργάνην Stobaeus] ἐργάτιν 463. σάγμασιν Pauwius] σώμασιν 465. γένοινθ' Dawesius] γένωνθ' 468. ναυτίλων in lemmate scholii] ναυτιλόχων in textu. 470. *σόφισμ' ὅτῳ] σοφισμάτων, superscripto a m. recentissima ὅτῳ. 472. αἰκὲς Porsonus] ἀεικὲς 478. *ἐς] εἰς 479. *οὔτε] οὐδὲ 480. οὔτε Blomfieldus] οὐδὲ

502. *σίδηρον — τε] σίδαρον — δὲ 505. *πάντα] ταῦτα 519 *πλὴν] πρὶν 520. *οὐκέτ' ἂν] οὐκ ἂν οὖν 534. τοῦτ' Hermannus] τόδ' 536. ἀδὺ Hermannus] ἡδὺ 537. *τείνειν] τίνειν 541. ‒ ⏑́ ⏑ ‒] γυιοφθόροις D. 543. αὐτόνῳ D.] ἰδίᾳ 544. φέρ'] ἴδ' D.: de quo dictum in Praefat. p. XIV. ἄχαρις χάρις Turnebus] χάρις ἄχαρις 549. ἰσόνειρον] ἀντόνειρον Reisigius. 550. θνατῶν τὰν Διὸς ἁρμονίαν ἀνδρῶν παρεξίασι D.] τὰν διὸς ἁρμονίαν θνατῶν παρεξίασι 556. ἐκεῖνό θ' ὅτ' Brunckius] ἐκεῖν' ὅτε τότ' 560. *πιθὼν] πείθων (ι et alter accentus a m. recentissima). 562. *χαλινοῖς] χαλινοῖσιν

τίνος ἀμπλακίας ποιναῖς ὀλέκει;
σήμηνον ὅποι
γῆς ἡ μογερὰ πεπλάνημαι.
ἀᾶ,
χρίει τις αὖ με τὰν τάλαιναν οἶστρος,
εἴδωλον Ἄργου γηγενοῦς, ἄλευ δᾶ,
τὸν μυριωπὸν εἰσορῶσα βούταν.
ὁ δὲ πορεύεται δόλιον ὄμμ' ἔχων,
ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει,
ἀλλά με τὰν τάλαιναν
ἐξ ἐνέρων περῶν κυναγετεῖ,
πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμαν.
ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ
ἀχέτας ὑπνοδόταν νόμον. ἰὼ ἰὼ πόποι,
ποῖ μ' ἄγουσιν ⏑ – τηλέπλανοι πλάναι;
τί ποτέ μ', ὦ Κρόνιε [ἐν πημοσύναις, ἐή,
παῖ, τί ποτε ταῖσδ' ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν
οἰστρηλάτῳ δὲ δείματι δειλαίαν
παράκοπον ὧδε τείρεις; [κεσι δὸς βοράν,
πυρί με φλέξον, ἢ χθονὶ κάλυψον, ἢ ποντίοις δά-
μηδέ μοι φθονήσῃς
εὐγμάτων, ἄναξ.
ἅδην με πολύπλανοι πλάναι
γεγυμνάκασιν, οὐδ' ἔχω μαθεῖν ὅπα
πημονὰς ἀλύξω.
κλύεις φθέγμα τᾶς βούκερω παρθένου;
ΠΡ. πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου κόρης,
τῆς Ἰναχείας; ἣ Διὸς θάλπει κέαρ
ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται.
ΙΩ. πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις;
εἰπέ μοι τᾷ μογερᾷ τίς ὤν, τίς ἄρα μ', ὦ τάλας,
τὰν ταλαίπωρον ὧδ' ἔτυμα προσθροεῖς·
θεόσυτόν τε νόσον [ταλέοις, ἐή.
ὠνόμασας, ἃ μαραίνει με χρίουσα κέντροις ⏑ – φοι-
σκιρτημάτων δὲ νήστισιν αἰκίαις
λαβρόσυτος ἦλθον, Ἥρας [οἶ, ἐή,
ἐπικότοισι μήδεσι δαμεῖσα. δυσδαιμόνων δὲ τίνες
οἳ ἐγὼ μογοῦσιν;
ἀλλά μοι τορῶς
τέκμηρον ὅ τί μ' ἐπαμμένει
παθεῖν, τί μῆχαρ, ἢ τί φάρμακον νόσου,
δεῖξον, εἴπερ οἶσθα·
θρόει, φράζε τᾷ δυσπλάνῳ παρθένῳ.
ΠΡ. λέξω τορῶς σοι πᾶν ὅπερ χρῄζεις μαθεῖν,
οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ,
ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα.

574—588. = 593—608.

ΙΩ. ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,
τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;
ΠΡ. ὁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.
ΙΩ. οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί;
ΠΡ. λέγ' ἥτιν' αἰτεῖ· πᾶν γὰρ ἂν πύθοιό μου.
ΙΩ. σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασεν.
ΠΡ. βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.
ΙΩ. ποίων δὲ ποινὰς ἀμπλακημάτων τίνεις;
ΠΡ. τοσοῦτον ἀρκῶ σοι σαφηνίσας μόνον.
ΙΩ. καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης
δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.
ΠΡ. τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.
ΙΩ. μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν.
ΠΡ. ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.
ΙΩ. τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;
ΠΡ. φθόνος μὲν οὐδείς, σὰς δ' ὀκνῶ θρᾶξαι φρένας.
ΙΩ. μή μου προκήδου μᾶσσον ὧν ἐμοὶ γλυκύ.
ΠΡ. ἐπεὶ προθυμεῖ, χρὴ λέγειν· ἄκουε δή.
ΧΟ. μήπω γε· μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε.
τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον,
αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα.
ΠΡ. σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπουργῆσαι χάριν,
ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.
ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ', ὅπου μέλλοι τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
ΙΩ. οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρή,
σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε
πεύσεσθε· καίτοι καὶ λέγουσ' αἰσχύνομαι
θεόσσυτον χειμῶνα καὶ διαφθορὰν
μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
αἰεὶ γὰρ ὄψεις ἔννυχοι πωλεύμεναι
ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
λείοισι μύθοις "ὦ μέγ' εὔδαιμον κόρη,
τί παρθενεύει δαρόν, ἐξόν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
πρὸς σοῦ τέθαλπται καὶ συναίρεσθαι Κύπριν
θέλει· σὺ δ', ὦ παῖ, μἀπολακτίσῃς λέχος
τὸ Ζηνός, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρός,
ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου".
τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
συνειχόμην δύστηνος, ἔς τε δὴ πατρὶ
ἔτλην γεγωνεῖν νυκτίφοιτα δείματα.
ὁ δ' ἔς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνοὺς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ
δρῶντ' ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.
ἧκον δ' ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς ἀσήμους δυσκρίτως τ' εἰρημένους.
τέλος δ' ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ,
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμέ,
ἄφετον ἀλᾶσθαι γῆς ἐπ' ἐσχάτοις ὅροις·
κεἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνόν, ὃς πᾶν ἐξαϊστώσοι γένος.

563. *ποιναῖς ὀλέκει] ποινὰς ὀλέκῃ 566. ἀᾶ D.] ἆ ἆ ἒ ἒ: quo significatur glossema ἔα ἔα, quod plene scriptum in M v. 114. 567. *με τὰν] τὰν om. 568. ἄλευ δᾶ Schleusnerus] ἄλευ ἆ (ᾶ ex ῶ factum) δᾶ 569 τὸν Demetrius Triclinius] φοβοῦμαι τὸν 572. κυναγετεῖ Brunckius] κυνηγετεῖ 574. κηρόπλαστος (sic etiam apud Plutarchum Mor. p. 456.)] κηρόπακτος Meinekius: de quo dixi in Praefat. p. V. 575. ἰὼ ἰὼ πόποι Seidlerus] ἰὼ ἰὼ ποῖ ποῖ 'πόποι 'πόποι *ποῖ μ' ἄγουσιν] πῆ μ' ἄγουσι ⏑ –] πάλιν D. 579. πημοσύναις Hermannus] πημοναῖσιν ἐή D.] ἒ ἒ 582. με addidit Elmsleius. 586. ὅπα] ὅπῃ 596—601. θεόσυτον – λαβρόσυτος Hermannus] θεόσσυτον — λαβρόσσυτος 599. κέντροις ⏑ – φοιταλέοις Hermannus] κέντροισι φοιταλέοισιν ἐή D.] ἒἒ 601. Ἥρας addidit Hermannus ex schol. annotationae τοῖς τῆς Ἥρας 602. ἐή D.] ἒ ἒ 606. μῆχαρ Elmsleius: cui ἢ addidit Martinus] μὴ χρὴ 608. *φράζε τᾷ] φράζετε 609. ὅπερ Etym. M. p. 762, 30.] ὅτι

617. *ἂν] οὖν 620. ποίων δὲ ποινὰς Weilius] ποινὰς δὲ ποίων 621. σαφηνίσας Linwoodius] σαφηνίσαι 626. σοι Turnebus] τοῦ 628. θρᾶξαι Buttmannus in Lexilogo vol. I. p. 212. et Cobetus Nov. Lect. p. 655.] θράξαι 629. ὧν D.] ὡς 637. *τ' ἀποκλαῦσαι] κ' ἀποκλαῦσαι 638. ὅπου Ellendtius] ὅποι 642 αἰσχύνομαι] ὀδύρομαι cum γρ. αἰσχύνομαι M. 657. νυκτίφοιτα δείματα Nauckius collato Lycophr. 225.] νυκτίφαντ' (*νυκτίφοιτ') ὀνείρατα M. νυκτιπλάγκτων δειμάτων dixit Choeph. 523. 660. *φίλα] φίλωι (α super ωι a m. rec.) 667. *πυρωπὸν] πυρωτὰν 668. ἐξαϊστώσοι Blomfieldus] ἐξαιστώσει

τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν
ἐξήλασέν με κἀπέκλῃσε δωμάτων
ἄκουσαν ἄκων· ἀλλ' ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
ἦσαν, κεραστὶς δ', ὡς ὁρᾶτ', ὀξυστόμῳ
μύωπι χρισθεῖσ' ἐμμανεῖ σκιρτήματι
ᾖσσον πρὸς εὔποτόν τε Κερχνείας ῥέος
Λέρνης τε κρήνην· βουκόλος δὲ γηγενὴς
ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
ἀπροσδόκητος δ' αὐτὸν ἀφνίδιος μόρος
τοῦ ζῆν ἀπεστέρησεν, οἰστροπλὴξ δ' ἐγὼ
μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.
κλύεις τὰ πραχθέντ'· εἰ δ' ἔχεις εἰπεῖν ὅ τι
λοιπὸν πόνων, σήμαινε· μηδέ μ' οἰκτίσας
σύνθαλπε μύθοις ψευδέσιν· νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.
ΧΟ. ἔα ἔα, ἄπεχε, φεῦ·
οὔποτ' οὔποτ' ηὔχουν
ξένους μολεῖσθαι λόγους εἰς ἀκοὰν ἐμάν,
οὐδ' ὧδε δυσθέατα καὶ δύσοιστα
πήματα, λύματα, δείματ' ἐμὰν
ἀμφάκει κέντρῳ ψήξειν ψυχάν.
ἰὼ ἰὼ μοῖρα μοῖρα,
πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.
ΠΡ. πρῴ γε στενάζεις καὶ φόβου πλέα τις εἶ·
ἐπίσχες ἔς τ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.
ΧΟ. λέγ', ἐκδίδασκε· τοῖς νοσοῦσί τοι γλυκὺ
τὸ λοιπὸν ἄλγος προυξεπίστασθαι τορῶς.
ΠΡ. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα
κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε
τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης·
τὰ λοιπὰ νῦν ἀκούσαθ', οἷα χρὴ πάθη
τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
σύ τ', Ἰνάχειον σπέρμα, τοὺς ἐμοὺς λόγους
θυμῷ βάλ', ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ.
πρῶτον μὲν ἐνθένδ' ἡλίου πρὸς ἀντολὰς
στρέψασα σαυτὴν στεῖχ' ἀνηρότους γύας·
Σκύθας δ' ἀφίξει νομάδας, οἳ πλεκτὰς στέγας
πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,
ἑκηβόλοις τόξοισιν ἐξηρτυμένοι·
οἷς μὴ πελάζειν, ἀλλ' ἁλιστόνοις πόδα
χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα.
λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή.
ἀνήμεροι γὰρ οὐδὲ πρόσπλατοι ξένοις.
ἥξεις δ' Ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾶν,
πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
ὑψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
κροτάφων ἀπ' αὐτῶν. ἀστρογείτονας δὲ χρὴ
κορυφὰς ὑπερβάλλουσαν ἐς μεσημβρινὴν
βῆναι κέλευθον, ἔνθ' Ἀμαζόνων στρατὸν
ἥξεις στυγάνορ', αἳ Θεμίσκυράν ποτε
κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
τραχεῖα πόντου Σαλμυδησσία γνάθος,
ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν·
αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως.
ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις
Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικόν·
ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας
τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον
ἤπειρον ἥξεις Ἀσιάδ'· ἆρ' ὑμῖν δοκεῖ
ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμῶς
βίαιος εἶναι; τῇδε γὰρ θνητῇ θεὸς
χρῄζων μιγῆναι τάσδ' ἐπέρριψεν πλάνας.
πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων
μνηστῆρος. οὓς γὰρ νῦν ἀκήκοας λόγους
εἶναι δόκει σοι μηδέπω 'ν προοιμίοις.
ΙΩ. ἰώ μοί μοι.
ΠΡ. σὺ δ' αὖ κέκραγας κἀναμυχθίζει· τί που
δράσεις, ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά;
ΧΟ. ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς;
ΠΡ. δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.
ΙΩ. τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει
ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας,
ὅπως πέδοι σκήψασα τῶν πάντων πόνων
ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.
ΠΡ. ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον·
αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή·
νῦν δ' οὐδέν ἐστι τέρμα μοι προκείμενον
μόχθων, πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος.
ΙΩ. ἦ γάρ ποτ' ἔστιν ἐκπεσεῖν ἀρχῆς Δία;
ΠΡ. ἥδοι' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφοράν.
ΙΩ. πῶς δ' οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;
ΠΡ. ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα.
ΙΩ. πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;
ΠΡ. πρὸς αὐτὸς αὑτοῦ κενοφρόνων βουλευμάτων.
ΙΩ. ποίῳ τρόπῳ; σήμηνον, εἰ μή τις βλάβη.
ΠΡ. γαμεῖ γάμον τοιοῦτον ᾧ ποτ' ἀσχαλεῖ.
ΙΩ. θέορτον, ἢ βρότειον; εἰ ῥητόν, φράσον.
ΠΡ. τί δ' ὅντιν'; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τόδε.
ΙΩ. ἦ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;
ΠΡ. ἣ τέξεταί γε παῖδα φέρτερον πατρός.
ΙΩ. οὐδ' ἔστιν αὐτῷ τῆσδ' ἀποστροφὴ τύχης;
ΠΡ. οὐ δῆτα, πλὴν ἐὰν ἐγὼ 'κ δεσμῶν λυθῶ.
ΙΩ. τίς οὖν ὁ λύσων σ' ἐστὶν ἄκοντος Διός;
ΠΡ. τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεών.

670. κἀπέκλῃσε] κἀπέκλεισεν 677. τε κρήνην Canteras] ἄκρην τε 680. ἀφνίδιος Elmsleius] αἰφνίδιος 683. ὅτι Aldus, ὅ τι Turnebus] ἔτι 684. *πόνων] πόνον 687. ἄπεχε] ἔπεχε Abreschius. 688. 689. Versus defecti, fortasse sic redintegrandi, οὔποτ' οὔποτ' ηὔχουν ἐν ἄντροις ἐμοῖς | ὧδε παροξένους μολεῖσθαι λόγους εἰς ἀκοὰν ἐμάν: de quo dixi in Praefat. p. VI, ubi adiectivi παράξενος exemplis addendus Euseb. Dem. Ev. p 496 d. ex cod. Paris. 688 *ηὔχουν (ex schol. qui ad οὐδ' ὧδε annotavit ἀπὸ κοινοῦ τὸ ηὔχουν)] ηὐχόμην 689. *εἰς] ἐς 690. *καὶ δύσοιστα] καὶ om. 691 ἐμὰν ἀμφάκει κέντρῳ ψήξειν ψυχάν D.] ἀμφάκει κέντρῳ ψύχειν (ψήχειν Meinekius) ψυχὰν ἐμάν 695. *εἰσιδοῦσα] ἐσιδοῦσα 696. πρῴ γε Brunckius] πρῶγε pr., πρώιγε corr. ὁ super ω a m. recentissima. 706. *βάλ'] μάθ' 710. *ναίουσ'] νέμουσ' 711. *ἐξηρτυμένοι] ἐξηρτημένοι ων

712. πόδα D. (πόδας Turnebus)] γύποδας (ων a m. recentissima): de quo dixi in Praefat. p. VII. 716. πρόσπλατοι Elmsleius] πρόσπλαστοι

727. ναύταισι Eustath. p. 560, 19 et Tzetza ad Lycophr. 1286.] ναύτῃσι, ut schol. Soph. Ant. 969. 735. Ἀσιάδ'] Ἀσίδ' Elmsleius. 741. μηδέπω 'ν Turnebus] μηδ' ἐπῶν 741. ἰώ μοί μοι D.] ἰώ μοι μοι ἓ ἕ 749. πέδοι D.] πέδῳ 758. *ἥδοι' ἂν (ex uno apogr. in quo ἥδοιο ἂν)] ἥδοιμ' ἂν 760. σοι μαθεῖν Turnebus] μαθεῖν σοι 764. ἀσχαλεῖ Herwerdenus Exerc. crit. p. 63.] ἀσχαλᾷ. V. ad v. 161. 766 ῥητὸν] θεμιτὸν Brunckius.

770. πλὴν ἐὰν ἐγὼ 'κ D.] πλὴν (ν ab correctore) ἔγωγ' (accentus super ω erasus) ἂν ἐκ *λυθῶ] λυθεὶς 771. *λύσων σ'] σ' om. 772. *αὐτὸν ἐκγόνων] αὐτῶν ἐγγόνων

ΙΩ. πῶς εἶπας; ἢ 'μὸς παῖς σ' ἀπαλλάξει κακῶν;
ΠΡ. τρίτος γε γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς.
ΙΩ. ἥδ' οὐκέτ' εὐξύμβλητος ἡ χρησμῳδία.
ΠΡ. καὶ μή τι σαυτῆς ἐκμαθεῖν ζήτει πόνους.
ΙΩ. μή μοι προτείνων κέρδος εἶτ' ἀποστέρει.
ΠΡ. δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι.
ΙΩ. ποίοιν; πρόδειξον αἵρεσίν τ' ἐμοὶ δίδου.
ΠΡ. δίδωμ'· ἑλοῦ γάρ, ἢ πόνων τὰ λοιπά σοι
φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμέ.
ΧΟ. τούτων σὺ τὴν μὲν τῇδε, τὴν δ' ἐμοὶ χάριν
θέσθαι θέλησον, μηδ' ἀτιμάσῃς λόγου·
καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην,
ἐμοὶ δὲ τὸν λύσοντα· τοῦτο γὰρ ποθῶ.
ΠΡ. ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι
τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε.
σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω,
ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
ὅταν περάσῃς ῥεῖθρον ἠπείροιν ὅρον,
πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς

* * * * * * * * *

πόντου περῶσα φλοῖσβον, ἔς τ' ἂν ἐξίκῃ
πρὸς Γοργόνεια πεδία Κισθήνης, ἵνα
αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι
τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
ἀκτῖσιν οὔθ' ἡ νύκτερος μήνη ποτέ.
πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς,
ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς.
τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω,
ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν·
ὀξυστόμους γὰρ Ζηνὸς ἀκλαγγεῖς κύνας
γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν
Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον
οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
τούτοις σὺ μὴ πέλαζε. τηλουρὸν δὲ γῆν
ἥξεις κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
ναίουσι πηγαῖς, ἔνθα ποταμὸς Αἰθίοψ.
τούτου παρ' ὄχθας ἕρφ', ἕως ἂν ἐξίκῃ
καταβασμόν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος.
οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα
Νειλῶτιν, οὗ δὴ τὴν μακρὰν ἀποικίαν,
Ἰοῖ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
τῶνδ' εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,
ἐπανδίπλαζε καὶ σαφῶς ἐκμάνθανε·
σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.
ΧΟ. εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον
ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
λέγ'· εἰ δὲ πάντ' εἴρηκας, ἡμῖν αὖ χάριν
δὸς ἥντιν' αἰτούμεσθα, μέμνησαι δέ που.
ΠΡ. τὸ πᾶν πορείας ἥδε τέρμ' ἀκήκοεν.
ὅπως δ' ἂν εἰδῇ μὴ μάτην κλύουσά μου,
ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν φράσω,
τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν.
ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,
πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων.
ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ γάπεδα,
τὴν αἰπύνωτόν τ' ἀμφὶ Δωδώνην, ἵνα
μαντεῖα θᾶκός τ' ἐστὶ Θεσπρωτοῦ Διός,
τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες,
ὑφ' ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως
προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ
μέλλουσ' ἔσεσθαι. τῶνδε προσσαίνει σέ τι.
ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν
κέλευθον ᾖξας πρὸς μέγαν κόλπον Ῥέας,
ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζει δρόμοις·
χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχός,
σαφῶς ἐπίστασ', Ἰόνιος κεκλήσεται,
τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς.
σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενός,
ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.
τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω,
ἐς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονός,
Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα
[ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον].
ἐπώνυμον δὲ τῶν Διὸς γέννημ' ἀφῶν
τέξεις κελαινὸν Ἔπαφον, ὃς καρπώσεται
ὅσην πλατύρρους Νεῖλος ἀρδεύει χθόνα·
πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντάπαις
θηλύσπορος, φεύγουσα συγγενῆ γάμον
ἀνεψιῶν· οἱ δ' ἐπτοημένοι φρένας,
κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
ἥξουσι θηρεύοντες οὐ θηρασίμους
γάμους, φθόνον δὲ σωμάτων ἕξει θεός·
Πελασγία δὲ δέξεται ⏑ ⏓ ⏑ –
⏑ ⏓ ⏑ – ⏑ ⏓ ⏑ – θηλυκτόνῳ
Ἄρει δαμέντων νυκτιφρουρήτῳ θράσει·
γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ,
δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος·
τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις.
μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ
κτεῖναι σύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται
γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται,
κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος·
αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος.
μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς.
σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
τόξοισι κλεινός, ὃς πόνων ἐκ τῶνδ' ἐμὲ
λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
ὅπως δὲ χὤπῃ, ταῦτα δεῖ μακροῦ χρόνου
εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.
ΙΩ. ἐλελεῦ ἐλελεῦ, ὑπό μ' αὖ σφάκελος
καὶ φρενοπληγεῖς μανίαι θάλπουσ',

---

776. μή τι Blomfieldus] μηδὲ *σαυτῆς] σαυτῆς τ' (literis ς et τ uno ductu expressis). 782. λόγου Elmsleius] λόγους 790. ἠπείροιν Herwerdenus Exerc. crit. p. 93.] ἠπείρων 791. Lacunam post hunc versum indicavit Brunckius. 792. *πόντου] πόντον 794. αἱ Φορκίδες] Φορκυνίδες Hermannus. 796. *μονόδοντες] μονώδοντες 797. οὔθ' ἡ] οὔτε Hermannus. 803. ἀκλαγγεῖς D.] ἀκραγεῖς 806. *πόρου (quod legit scholiasta)] πόρον 811. *Βυβλίνων ex scholiasta] βιβλίνων 817. ἐπανδίπλαζε D.] ἐπαναδίπλαζε

829. γάπεδα Porsonus] δάπεδα 831. θᾶκος Brunckius] θῶκος 835. Hic versus aut delendus est aut ex duobus versibus defectis, quorum alter verbis τῶνδε προσσαίνει σέ τι terminabatur, conflatus: quomodo paullo post peccatum ab librario est v. 860. 840. *κεκλήσεται (ut vulgo ap. Tzetzam ad Lycophronem 630.)] κληθήσεται (ut ap. Tzetzam in codicibus). 849. Versum spurium seclusit Elmsleius. Genuini qui excidit haec fortasse sententia fuit, χειρὸς κραταιᾶς εἰσαφάσμασιν μόνοις. 850. γέννημ' ἀφῶν Wieselerus] γεννημάτων 853. *πεντηκοντάπαις] πεντηκοντόπαις, ut Eustath. p. 37, 22. 858. *θηρεύοντες] θηρεύσοντες 860. δέξεται — δαμέντων] δέξεται τὸν ἐγγενῆ | στόλον γυναικῶν, νυμφίων θηλυκτόνῳ | Ἄρει δαμέντων Hermannus. 864. *ἐπ'] ἐς 866. *ἀπαμβλυνθήσεται] ἀπαμβλυθήσεται 867. *δυοῖν] δυεῖν 870. δεῖ] δὲ Schuetzius. 872. *κλεινὸς] κλεινοῖς 877. ἐλελεῦ ἐλελεῦ Pauwius] ἐλελελελελεῦ (ἐλελεῦ ex hoc loco Hesychius).

οἴστρου δ' ἄρδις χρίει μ' ἄπυρος·
κραδία δὲ φόβῳ φρένα λακτίζει.
τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,
ἔξω δὲ δρόμου φέρομαι λύσσης
πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ
στυγνῆς πρὸς κύμασιν ἄτης.
ΧΟ. ἦ σοφὸς ἦ σοφὸς ὃς [μυθολόγησεν,
πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε καὶ γλώσσᾳ διε-
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ,
καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων
μήτε τῶν γέννᾳ μεγαλυνομένων
ὄντα χερνήταν ἐραστεῦσαι γάμων.
μήποτε μήποτέ μ', ὦ [πέλουσαν·
πότνιαι Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε
μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
εἰσορῶσ' Ἰοῦς ἀμαλαπτομέναν
δυσπλάνοις Ἥρας ἀλατείαις πόνων.
ἐμοὶ δ' ἔτι μὲν ὁμαλὸς ἄγαμος
ὁ βίος ἐν πατρὸς δόμοις,
μηδὲ κρεισσόνων ἐμοῦ
θεῶν ἄφυκτον ὄμμα προσδράκοι με.
ἀπολέμιστος ὅδε γ' ὁ πόλεμος, ἄπορα πόριμος,
οὐδ' ἔχω τίς ἂν γενοίμαν· Διὸς γὰρ οὐχ ὁρῶ
μῆτιν ὅπα φύγοιμ' ἄν.
ΠΡ. ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδη φρονῶν,
ἔσται ταπεινός· τοῖον ἐξαρτύεται
γάμον γαμεῖν, ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων τ' ἄιστον ἐκβαλεῖ· πατρὸς δ' ἀρὰ
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται,
ἣν ἐκπίτνων ἠρᾶτο δηναιῶν θρόνων.
τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς.
ἐγὼ τάδ' οἶδα χᾧ τρόπῳ. πρὸς ταῦτά νυν
θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
πιστός, τινάσσων τ' ἐν χεροῖν πύρπνουν βέλος.
οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ
πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά·
τοῖον παλαιστὴν νῦν παρασκευάζεται
ἐπ' αὐτὸς αὑτῷ, δυσμαχώτατον τέρας·
ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα,
βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον·
θαλασσίαν τε γῆς τινάκτειραν νόσον
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ.
πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται
887--893. = 894—900.

ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.
ΧΟ. σὺ θην ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός.
ΠΡ. ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.
ΧΟ. καὶ προσδοκᾶν χρὴ Ζηνὶ δεσπόσειν τινά;
ΠΡ. καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.
ΧΟ. πῶς οὐχὶ ταρβεῖς τοιάδ' ἐκρίπτων ἔπη;
ΠΡ. τί δ' ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;
ΧΟ. ἀλλ' ἆθλον ἄν σοι τοῦδ' ἔτ' ἀλγίω πόροι.
ΠΡ. ὁ δ' οὖν ποιείτω· πάντα προσδοκητά μοι.
ΧΟ. οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.
ΠΡ. σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί·
ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
τὸν τοῦ τυράννου τοῦ νέου διάκονον.
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθεν.

ΕΡΜΗΣ.

σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ' ἐς θεοὺς ἐφημέραις
πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους
αὐδᾶν, πρὸς ὧν τ' ἐκεῖνος ἐκπίπτει κράτους·
καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ' αὔθ' ἕκαστα φράζε· μηδέ μοι διπλᾶς
ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.
ΠΡ. σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ'· οὐκ ἐκ τῶνδ' ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ' ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσει γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.
ΕΡ. τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.
ΠΡ. τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγώ.
κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.
οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.
ΕΡ. χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι.
ΠΡ. χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ' ἐν τούτοις λέγω.
ΕΡ. ἦ κἀμὲ γάρ τι συμφορᾶς ἐπαιτιᾷ;
ΠΡ. ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεούς,
ὅσοι παθόντες εὖ κακοῦσί μ' ἐκδίκως.
ΕΡ. κλύω σ' ἐγὼ μεμηνότ' οὐ σμικρὰν νόσον.
ΠΡ. νοσοῖμ' ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.
ΕΡ. εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.
ΠΡ. ὤμοι.
ΕΡ. ὤμοι; τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.
ΠΡ. ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.
ΕΡ. καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.

---

881. *κραδία] καρδία 884. *παίουσ' (ex schol. qui per προσπαίουσιν explicat)] πταίουσ' 887. ὃς Monkius] ἦν ὃς 895. πότνιαι addidit Paleius. 896. πλαθείην γαμέτᾳ Canterus] πλαθείη ἐν γαμέτᾳ, litera σ super θ scripta et ν post η inserta, utramque ab manu multo recentiore. 899. ἀμαλαπτομέναν Weilius] γάμῳ δαπτομέναν: de quo dixi in Praefat. p. XVI. 900. *δυσπλάνοις—ἀλατείαις] δυσπλάγχνοις—ἀλατείαισι 901. ἐμοὶ δ' ἔτι μὲν ὁμαλὸς ἄγαμος | ὁ βίος ἐν πατρὸς δόμοις (vel μυχοῖς) D.] ἐμοὶ δ' ὅτι μὲν ὁμαλὸς ὁ γάμος | ἄφοβος, οὐ δέδια 902. ἐμοῦ θεῶν D.] θεῶν ἔρως, ut schol. recens Theocriti 15, 94. 903 προσδράκοι Salvinius] προσδάρκοι (προσδέρκοι schol. Theocr.) 904. ἀπολέμιστος D.] ἀπόλεμος 905. Διὸς D.] τὰν διός: de quo dixi in Praef. p. V. 907. *αὐθάδη φρονῶν] αὐθάδης φρενῶν, sed superscripto δη et ρο a m. recentissima. 908. τοῖον Robortellus] οἷον 910. *θρόνων τ'] τ' om. δ' Turnebus] τ' 917. τινάσσων τ' ἐν χεροῖν πύρπνουν] τινάσσων χειρὶ πυρπνόον Porsonus. τινάσσων πυρπνόον χεροῖν Weilius. 922. *εὑρήσει] εὑρήσοι 923. βροντῆς] βροντᾶς Blomfieldus. ὑπερβάλλοντα] ὑπερφέροντα Weilius. 926. κακῷ] κακῶν, ᾧ a m. rec. superscripto.

930. Ζηνὶ δεσπόσειν D.] δεσπόσειν Ζηνός: de quo dixi in Praef. ad editionem Lipsiensem quintam p. XII. 932. πῶς] *πῶς δ' 933. *τί δ' ἂν] τί δαὶ 934. τοῦδ' ἔτ' Elmsleius] τοῦδέ γ' 945 θεοὺς Blomfieldus] θεοὺς τὸν *ἐφημέροις] ἡμέροις 948. ὧν] Fort. οὐ ut 966. 961. *γε] δὲ 965. *καθώρμισας] καθώρισας, ι ab eadem manu in ο mutato. 969. *φῦναι] φῆναι 970. Seclusit Kiehlius. 974. *συμφορᾶς] συμφοραῖς 977. σμικρόν Brunckius] μικρόν 980. ὤμοι; addidit Ric. Schneider.

ΠΡ. σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην.
ΕΡ. ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.
ΠΡ. καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν.
ΕΡ. ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με.
ΠΡ. οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ' ὅτῳ
προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάψει γὰρ οὐδὲν τῶνδέ μ' ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.
ΕΡ. ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.
ΠΡ. ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
ΕΡ. τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
ΠΡ. ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν.
εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.
ΕΡ. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγει γὰρ οὐδὲν οὐδὲ μαλθάσσει κέαρ
λιταῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζει καὶ πρὸς ἡνίας μάχει.
ἀτὰρ σφοδρύνει γ' ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ' ἀγκάλη σε βαστάσει.
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
ἄψορρον ἥξεις ἐς φάος· Διὸς δέ τοι
πτηνὸς κύων, δαφοινὸς ἀετός, λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ' ἧπαρ ἐκθοινάσεται.
τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ, θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν
Ἅιδην κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη.
πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ Δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτέ.
ΧΟ. ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ' ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
πιθοῦ· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.
ΠΡ. εἰδότι τοί μοι τάσδ' ἀγγελίας
ὅδ' ἐθώυξεν, πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ' ἐχθρῶν οὐδὲν ἀεικές.
πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ'
ἐρεθιζέσθω βροντῇ σφακέλῳ τ'
ἀγρίων ἀνέμων· χθόνα δ' ἐκ πυθμένων
αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
συγχώσειεν τῶν τ' οὐρανίων
ἄστρων διόδους, ἔς τε κελαινὸν
Τάρταρον ἄρδην ῥίψειε δέμας
τοὐμὸν ἀνάγκης στερραῖς δίναις·
πάντως ἐμέ γ' οὐ θανατώσει.
ΕΡ. τοιάδε μέντοι τῶν φρενοπλήκτων
βουλεύματ' ἔπη τ' ἔστιν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ παραπαίειν
ἡ τοῦδε τύχη; τί χαλᾷ μανιῶν;
ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις
συγκάμνουσαι ταῖς τοῦδε τόπων
μετά ποι χωρεῖτ' ἐκ τῶνδε θοῶς,
μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
βροντῆς μύκημ' ἀτέραμνον.
ΧΟ. ἄλλο τι φώνει καὶ παραμυθοῦ μ'
ὅ τι καὶ πείσεις· οὐ γὰρ δή που
τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
μετὰ τοῦδ' ὅ τι χρὴ πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,
κοὐκ ἔστι νόσος
τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.
ΕΡ. ἀλλ' οὖν μέμνησθ' ἁγὼ προλέγω·
μηδὲ πρὸς ἄτης θηραθεῖσαι
μέμψησθε τύχην, μηδέ ποτ' εἴπηθ'
ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
πῆμ' εἰσέβαλεν· μὴ δῆτ', αὐταὶ δ'
ὑμᾶς αὐτάς. εἰδυῖαι γὰρ
κοὐκ ἐξαίφνης οὐδὲ λαθραίως
εἰς ἀπέραντον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.
ΠΡ. καὶ μὴν ἔργῳ κοὐκέτι μύθῳ
χθὼν σεσάλευται·
βρυχία δ' ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ' ἐκλάμπουσι
στεροπῆς ζάπυροι. στρόμβοι δὲ κόνιν
εἱλίσσουσι· σκιρτᾷ δ' ἀνέμων
πνεύματα πάντων εἰς ἄλληλα
στάσιν ἀντίπνοον [ἀποδεικνύμενα]·
ξυντετάρακται δ' αἰθὴρ πόντῳ.
τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
αἰθὴρ κοινὸν φάος εἱλίσσων,
ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω;

986. *παῖδ' ὄντα με] παῖδά με 987. κἄτι Valckenarius] καὶ ἔτι 988. *πεύσεσθαι] πευσεῖσθαι 995. γνάψει] γνάψει, litera μ super α ab διορθωτῇ scripta. *φράσαι] φράσειν 998. *ὦπται (quod schol. legit per τεθεώρηται explicans)] ὦ παῖ 1002. *μήποθ'] μηπάθ', α ab eadem m. ex ω vel υ facto et adscripto in marg. a m. recentissima μήποθ'. 1008. κέαρ addidit Robortellus.
1009. λιταῖς Porsonus] λιταῖς | ἐμαῖς 1031. μεῖον Stanleius] μεῖζον 1016. *ἄφυκτος] ἀφύκτως, scripto ος super ως a m. recentissima. 1021. ἐς Turnebus] εἰς
1022. *ἀετὸς] αἰετὸς 1025. ἐκθοινάσεται Nauckius Stud. Eur. 2. p. 175.] ἐκθοινήσεται 1026. *τι] τοι 1031. *εἰρημένος] εἰριμμένος (quasi ἐρριμμένος voluerit), εἰ a m. prima ex alia litera facto.

1039. *πιθοῦ] πείθου 1043. *ἐπ' ἐμοὶ ῥιπτέσθω] ἐπί μοι ῥιπτείσθω 1057. ἡ τοῦδε τύχη D.] ἢ τοῦδ' εὐτυχῆ, spiritu et accentibus super η et υ a m. rec. additis adscriptoque in marg. εἰ τάδ'. 1058. γ' αἱ Turnebus] γε 1060. *ποι] που 1071. ἁγὼ Porsonus] ἅτ' ἐγὼ 1077. κοὐκ Turnebus] καὶ οὐκ 1078. ἀπέραντον] ἀπέρατον, ν super τ a m. rec. 1085. 1092. εἱλίσσουσι — εἱλίσσων Turnebus] ἑλίσσουσι — ἑλίσσων 1087. ἀντίπνοον Kichlius] ἀντίπνουν ἀποδεικνύμενα seclusit D. Aeschylus aut aliud aut nullum addiderat verbum.

ΑΙΣΧΥΛΟΥ ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΕΤΕΟΚΛΗΣ.	ΙΣΜΗΝΗ.
ΑΓΓΕΛΟΣ ΚΑΤΑΣΚΟΠΟΣ.	ΑΝΤΙΓΟΝΗ.
ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ.	ΚΗΡΥΞ.

ΥΠΟΘΕΣΙΣ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν[a] Θήβαις ὑπόκειται· ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων· ἡ δὲ ὑπόθεσις, στρατιὰ[b] Ἀργείων πολιορκοῦσα Θηβαίους, τοὺς καὶ νικήσαντας, καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. ἐδιδάχθη ἐπὶ Θεαγενίδου[c] ὀλυμπιάδι οή. ἐνίκα Λαΐῳ, Οἰδίποδι, Ἑπτὰ ἐπὶ Θήβας, Σφιγγὶ σατυρικῇ. δεύτερος Ἀριστίας Περσεῖ, Ταντάλῳ[d], Παλαισταῖς σατυρικοῖς[f] τοῖς Πρατίνου πατρός. τρίτος Πολυφράδμων Λυκουργείᾳ[e] τετραλογίᾳ.

ἐν
[a] ἐν] ἐπὶ M. [b] *στρατιὰ] στρατεία [c] Θεαγενίδου Franzius] θεαγένους [d] Ταντάλῳ] Excidit tertiae nomen tragoediae, sive primo sive tertio loco positum. [e] Πολυφράδμων Λυκουργείᾳ Franzius] πολυφράσμων λυκουργίᾳ [f] σατυρικοῖς] Fort. σατύροις, licet Σφιγγὶ σατυρικῇ praecedat, nisi hoc quoque σατύροις scribendum, ut ἐν Ὀμφάλῃ σατύροις est ap. Strabon. 1. p. 60., ubi Casaubonus σατυρικῇ.

ΕΤΕΟΚΛΗΣ.

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια
ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως
οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεοῦ·
εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι,
Ἐτεοκλέης ἂν πᾶσαν εἷς κατὰ πτόλιν
ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις
οἰμώγμασίν θ', ὧν Ζεὺς ἀλεξητήριος
ἐπώνυμος γένοιτο Καδμείων πόλει.
ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι
ἥβης ἀκμαίας καὶ τὸν ἔξηβον χρόνῳ,
βλαστημὸν ἀλδαίνοντα σώματος πάλιν
[ὥραν τ' ἔχονθ' ἕκαστον ᾧ 'στι συμπρεπές]
πόλει τ' ἀρήγειν καὶ θεῶν ἐγχωρίων
βωμοῖσι, τιμὰς μὴ 'ξαλειφθῆναί ποτε
τέκνοις τε, Γῇ τε μητρί, φιλτάτῃ τροφῷ·
ἡ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
ἅπαντα πανδοκοῦσα παιδείας ὅτλον,
ἐθρέψατ' οἰκητῆρας ἀσπιδηφόρους,
ὅπως γένοισθε πρὸς χρέος πιστοὶ τόδε.
καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·

6. ἐτεοκλέης rec. M, ἐτεοκλῆς pr. M. πᾶσαν εἷς D.] εἷς πολὺς M, πολὺς supra versum scripto. 11. ἔξηβον] I. e. ἔξωρον: vid. Praef. ed. Lips. quintae p. XXV. 12. βλαστημὸν Blomfieldus] βλάστημον (μ in litura). πάλιν anonymus in margine exemplaris Aldini apud Butlerum] πολὺν 13. Seclusit D. ὥραν pr. M. ὥραν M ab διορθωτῇ. Litera ν et τ' in litura a m. recenti M. ἔχονθ' ἕκαστον M a m. recenti, ἔχωνθ' ἕκαστος pr. M. Antiqua igitur scriptura ὥραν ἔχων θ' ἕκαστος fuisse videtur. ᾧ 'στι D.] ᾧστισ, altero σ eraso.

19. *οἰκητῆρας] οἰκιστῆρας 20. ὅπως γένοισθε πρὸς χρέος πιστοὶ τάδε D.] πιστοὺς ὅπως γένοισθε προσχρέος (*πρὸς χρέος) τόδε 21. καὶ νῦν] καὶ δὴ D. καὶ πρὶν Halmius et Ritschelius in Museo Rhen. 21. p. 331. Sic καὶ πρὶν μὲν (verum non cum praesenti, sed cum imperfecto ἦν coniunctum) et νῦν δὲ sibi respondent apud Soph. Ai. 1211.

χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις
καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ·
νῦν δ' ὡς ὁ μάντις φησὶν, οἰωνῶν βοτὴρ,
ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν, πυρὸς δίχα,
χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
λέγει μεγίστην προσβολὴν Ἀχαιΐδα
νυκτηγορῆσθαι κἀπιβούλευσιν πόλει.
ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασιν
πύργων στάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοις
μίμνοντες εὖ θαρσεῖτε, μηδ' ἐπηλύδων
ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.
σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ·
καὶ τῶνδ' ἀκούσας οὔ τι μὴ ληφθῶ δόλῳ.

ΑΓΓΕΛΟΣ.

Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ,
ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων,
αὐτὸς κατόπτης δ' εἴμ' ἐγὼ τῶν πραγμάτων·
ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται
ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου
Ἄρη τ', Ἐνυὼ, καὶ φιλαίματον Φόβον
ὡρκωμότησαν ἢ πόλει κατασκαφὰς
θέντες λαπάξειν ἄστυ Καδμείων βίᾳ,
ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν ἐς δόμους
πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ
λείβοντες· οἶκτος δ' οὔτις ἦν διὰ στόμα.
σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
ἔπνει, λεόντων ὡς Ἄρη δεδορκότων.
καὶ τῶνδε πίστις οὐκ ὄκνῳ χρονίζεται.
κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος·
ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς
χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πλευμόνων.
σὺ δ' ὥστε ναὸς κεδνὸς οἰακοστρόφος
φάρξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
Ἄρεως· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ·
καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ·
κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον
ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου
εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσει.

ΕΤ. ὦ Ζεῦ τε καὶ Γῆ καὶ πολισσοῦχοι θεοὶ,
Ἀρά τ' Ἐρινὺς πατρὸς ἡ μεγασθενής,
μή μοι πόλιν γε πρέμνοθεν πανώλεθρον
ἐκθαμνίσητε δηάλωτον, Ἑλλάδος
φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
ζυγοῖσι δουλίοισι μήποτε σχεθεῖν·
γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

ΧΟΡΟΣ.

νεόκοτα θρέομαι φοβερὰ μεγάλ' ἄχη·
καθεῖται στρατὸς στρατόπεδον λιπών·
ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας·
αἰθερία κόνις με πείθει φανεῖσ',
ἄναυδος σαφὴς ἔτυμος ἄγγελος. [πτεται·
εἷλε δ' ἐμὰς φρένας δέος· ὅπλων κτύπος ποτιχρίμ-
διὰ πέδον βοᾷ ποτᾶται, βρέμει δ'
ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου.
ἰὼ ἰὼ θεοὶ θεαί τ', ὀρόμενον κακὸν ἀλεύσατε.
βοᾷ ὑπὲρ τάφρων λευκοπρεπὴς λεὼς ὄρνυται ἐπὶ
πόλιν.
τίς ἄρα ῥύσεται, τίς ἄρ' ἐπαρκέσει θεῶν ἢ θεᾶν;
πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη τίμια δαιμό-
νων;
ἰὼ μάκαρες εὔεδροι, ἀκμάζει βρετέων
ἔχεσθαι. τί μέλλομεν ἀγάστονοι;
ἀκούετ' ἢ οὐκ ἀκούετ' ἀσπίδων κτύπον;
πέπλων καὶ στεφέων, εἰ μὴ νῦν, πότ' ἀμφὶ λιτάν'
ἕξομεν;
κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός.
τί ῥέξεις, παλαίχθων Ἄρης, τὰν τεὰν γᾶν;
ὦ χρυσοπήληξ δαῖμον, ἔπιδ' ἔπιδε πόλιν
τεὰν, ἅν ποτ' εὐφιλήταν ἔθου.
ἰὼ ἰὼ θεοὶ πολίοχοι χθονὸς, ἴτ' ἴτε πάντες ὧδ',
ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνας ὕπερ.
κῦμα περὶ πτόλιν δοχμολοφᾶν ἀνδρῶν
καχλάζει πνοαῖς Ἄρεος ὀρόμενον.
ἀλλ', ὦ Ζεῦ πάτερ, πᾶν τέλος ὃς νέμεις,
ἄρηξον δαΐων ἅλωσιν.
Ἀργεῖοι γὰρ πόλισμα Κάδμου

---

29. νυκτηγορῆσθαι κἀπιβούλευσιν D.] νυκτηγορεῖσθαι κἀπιβουλεύσειν (in apographis κἀπιβουλεύειν)
ῶν α
30. πύλας πυργωμάτων M, ῶν et α a m. rec. superscriptis. 36. κατοπτῆρας] Litera σ a m. rec. 39. *ΑΓΓΕΛΟΣ] ἄγγελος κατάσκοπος M, ut est in indice personarum. 48. τήνδε] πρόσθε Stobaeus Floril. 7, 11. 49. *ἐς] εἰς, ut Stobaeus. 51. διὰ] ἀνὰ Stobaeus. 54. *πίστις cum Stobaeo] πύστις 63. φάρξαι D.] φράξαι 68. ἔσει] ἔσῃ. Terminatio Attica restituta a Porsono hic et alibi. 71. πρέμνοθεν Valckenarius] πρυμνόθεν

75. δουλίοισι ed. Ald.] δουλείοισι σχεθεῖν Blomfieldus] σχέθειν 78—181. De hac parodo explicatius dixi in Praefat. ad Aeschyli editionem Lipsiensem
ο θ
quintam p. XXVII—LV. 78. ΧΟΡΟΣ] Χ παρ
νεόκοτα addidit D.: de quo dictum in Praefat. ed. Lips. p. XXXIII. 79. καθεῖται D.] μεθεῖται: v. Praefat. l. c. 82. *ἔτυμος] ἔτυμος 83. εἷλε δ' ἐμὰς φρένας δέος· ὅπλων κτύπος ποτιχρίμπτεται· | διὰ πέδον βοᾷ D.] ἑλεδέμας (accentus literae primae erasus. ἑλεδεμνάς ab διορθωτῇ) πεδιοπλοκτύποσ | τιχρίμπτεται (accentus super τι erasus) βοᾶι (ι erasum), adscripto margini utrique ζτ, i. e. ζήτει 86. *ἰὼ ἰώ] ἰὼ ἰὼ ἰὼ
α
87. ἀλεύσατε] ἀλεύσετε, α a m. rec. superscr. 88. τάφρων λευκοπρεπὴς λεὼς ὄρνυται ἐπὶ πόλιν D.] τειχέων | ὁ λεύκασπις ὄρνυται λαὸς εὐ|τρεπὴς (pr. εὐπρεπὴς) ἐπὶ πτόλιν διώκων 90. *πόλιν] πτόλιν 95. τίμια addidit D. 98. ἰὼ] Probabilius ἰὼ ἰὼ, nisi plures exciderunt syllabae versusque trimeter fuit dochmiacus. 101. στεφέων] Ex στεφάνων radendo factum in M. 102. εἰ μὴ νῦν, πότ' Prienus] πότ' εἰ μὴ νῦν ἀμφὶ λιτάν' Seidlerus] ἀμφίλιταν pr. M., ἀμφὶ λιτὰν a m. rec. *ἕξομεν] ἕξομεν, radendo ex ἕξωμεν factum, inserta ante ο litera ι a m. recentiore. 104. ῥέξεις D.] ῥέξεις προδώσεις 105. *τεὰν γᾶν] γᾶν om. 106. δαῖμον] δαίμων pr. M. 108. τεὰν addidit Lachmannus. 109. ἰὼ ἰὼ addidit D. πολίοχοι D.] πολιάοχοι 110. ἴτ'] ἴθ' cum τ' super θ' M. ὧδ' addidit D. 113. κῦμα Ritschelius] κῦμα γὰρ 114. δοχμολοφᾶν Brunckius] δοχμολόφων 117. πᾶν τέλος ὃς νέμεις D.] παντελὲς πάντως 120.
.γάρ.
γὰρ] δὲ

κυκλοῦνται· φόβος δ' ἀρείων ὅπλων.
διάδετοι δέ τοι γενῦν ἱππιᾶν
μινύρονται φόνον χαλινοί.
ἑπτὰ δ' ἀγάνορες μέδοντες στρατοῦ
δορυσσόῳ σαγᾷ πρέποντος πύλαις
προσίστανται πάλῳ λαχόντες.
σύ τ', ὦ Διογενὲς φιλόμαχον κράτος,
ῥυσίπολις γενοῦ, Παλλάς, ὅ θ' ἵππιος ποντομέ-
δων ἄναξ
ἰχθυβόλῳ μαχανᾷ, Ποσειδᾶν,
ἐπίλυσιν πόνων, ἐπίλυσιν δίδου.
σύ τ', Ἄρης, πόλιν Κάδμου ἐπώνυμον
φύλαξον κήδεσαί τ' ἐναργῶς.
καὶ Κύπρις, ἅτ' εἶ γένους προμάτωρ,
ἄλευσον· σέθεν γὰρ ἐξ αἵματος
γεγόναμεν· λιταῖσί σε θεοκλύτοις
ἀπύουσαι πελαζόμεσθα.
καὶ σύ, Λύκει' ἄναξ, Λύκειος γενοῦ στρατῷ δαΐῳ,
στόνων ἀλλύτας δ' ἁμετέρᾳ πόλει.
σύ τ', ὦ φιλτάτα Λατογενὲς κόρα
Διός, σὸν τόξον εὐτυκάζου.
ἐὴ ἐή,
ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω.
ὦ πότνι' ἴθι Διὸς παραγενοῦ δάμαρ.
ἔλακον ἀξόνων βριθομένων χνόαι,
δοριτίνακτος αἰθὴρ δ' ἐπιμαίνεται.
τί πόλις ἄμμι πάσχει, τί γενήσεται;
ποῖ δὲ τέλος προβὰς ἐπάξει θεός;
ἐὴ ἐή,
ἀκροβόλων ἐπάλξεων λιθὰς ἔρχεται.
ὦ φίλ' Ἄπολλον, ἐλθ' ἀρωγὸς πόλει.
κόναβος ἐν πύλαις χαλκοδέτων σακέων
⏑ ⊥ – ⏑ – ⏑ ⊥ – ⏑ –
καὶ Διόθεν γένοιθ' ἁμετέρῳ στρατῷ
πολεμόκραντον ἁγνὸν τέλος ἐν μάχᾳ.
σύ τε, μάκαιρ' ἄνασσ' Ὄγκα, προφρόνως
ἑπτάπυλον πόλεως ἕδος ἐπιρρύου.
ἰὼ παναλκεῖς θεοί,
ἰὼ τέλειοι τέλειαί τε γᾶς
τᾶσδε πυργοφύλακες,
πόλιν δορίπονον μὴ προδῶθ'
ἑτεροφώνῳ στρατῷ.
κλύετε παρθένων κλύετε πανδίκως χειροτόνους λι-
ἰὼ φίλοι δαίμονες, [τάς.
λυτήριοί τ' ἀμφιβάντες πόλιν,
δείξαθ' ὡς φιλοπόλεις,
μέλεσθέ θ' ἱερῶν δημίων,
μελόμενοι δ' ἀρήξατε· [μοι.
φιλοθύτων δέ τοι πόλεος ὀργίων μνήστορες ἐστέ
ΕΤ. ὑμᾶς ἐρωτῶ, θρέμματ' οὐκ ἀνασχετά,
ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια,
στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν
αὔειν, λακάζειν, σωφρόνων μισήματα;
μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ
ξύνοικος εἴην τῷ γυναικείῳ γένει.
κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
θεῖσαι διερροθήσατ' ἄψυχον κάκην·
τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλεται,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα.
τοιγὰρ προφωνῶ πᾶσιν ἡσύχως ἔχειν,
κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
ἀνὴρ γυνή τε χὤ τι τῶν μεταίχμιον,
ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
λευστῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρί, μὴ γυνὴ βουλευέτω,
τἄξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει.
ἤκουσας ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;
ΧΟ. ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού-

166—173. = 174—181.
203—207. = 211—215.

121. φόβος] ψόφος Wakefieldus ad Lucret. 2, 48. ἀρείων (ἀρείων Blomfieldus) D.] ἀρηΐων. Post ἀρείων ὅπλων fortasse tertius excidit dochmius. 122. διάδετσι M in marg. a m. recentissima. διαδέτοι pr. M, quod duxit ad διάδετοι δέ τοι, restitutum ab D. γενῦν ἱππιᾶν D.] γενύων ἱππείων 123. μινύρονται L. Dindorfius (collata gl. Hesychii μινύρονται: προφωνοῦσι, προλέγουσι)] κινύρονται 124. ἀγάνορες D.] ἀγήνορες μέδοντες — πρέποντος πύλαις Haimsoethius] πρέποντες — πύλαις ἑβδόμαις 125. δορυσσόῳ σαγᾷ D.] δορυσσόοις (*δορυσόοις) σαγαῖς, literis σ σαγαῖσ in litura quinque literarum scriptis.

.βου
128. *ῥυσίπολις] ῥυσίπτολις 134. πόνων D.] φόβων 135. Ἄρης D.] ἄρης φεῦ φεῦ πόλιν Κάδμου ἐπώνυμον D.] ἐπώνυμον κάδμου | πόλιν 140. ἅτ' εἶ Seidlerus] ἅτε 141. *σέθεν γὰρ ἐξ] σέθεν ἐξ 143. λιταῖσι Seidlerus] λιταῖς 144. ἀπύουσαι] ἀϋτοῦσαι Seidlerus. 146. ἀλλύτας D.] ἀΰτας δ' ἁμετέρᾳ πόλει addidit D. 149. ὦ φιλτάτα Λατογενὲς κόρα | Διός, σὸν τόξον εὐτυκάζου (sic L. Dindorfius ex gl. Hesychii εὐτύκαζον: εὔτυκτον ἔχε, ἕτοιμον, corrupta ex εὐτυκάζου: εὔτυκον —.) D.] ὦ λατογένεια κοῦρα (κούρα a m. rec.) τόξον πτυκάζου (ἐντυκάζου ab διορθωτῇ, literis ἐν in litura literae π positis) ἄρτεμι φίλα 151. 158. ἐὴ ἐή D.] ἐ ἐ ἐ ἐ 153. ὦ πότνι' ἴθι Διὸς παραγενοῦ δάμαρ D.] ὦ πότνια ἥρη, altero η in α mutato. 154. Post χνόαι duo additi sunt in M versiculi, ἄρτεμι φίλα | ἐ ἐ ἐ ἐ, ex superioribus (v. 149.) repetiti. Delevit D. 155. αἰθὴρ δ' Hermannus] δὲ αἰθὴρ 157. ποῖ δὲ τέλος προβὰς ἐπάξει D.] ποῖ δ' ἔτι τέλος ἐπάγει 158. ἀκροβόλων D.] ἀκροβόλων δ' 159. Verba ἐλθ' ἀρωγὸς πόλει addidit D. 160. Post hunc versum lacunam — incertum unius an duorum versuum — indicavit D. Lectum hic fuit verbum προμυχθίζει (fortasse praeposito δεινά), quod servatum in glossa Hesychii, προμυχθίζει χαλκοδεσμῶν ὅπλων ἀντὶ τοῦ προσχωρίου, sic in ordinem redigenda, προμυχθίζει χαλκοδέτων σακέων: πρόσω χωρεῖ χαλκοδέσμων ὅπλων. Apud Photium προμυθίζει: πρόσω χωρεῖ: de quo dictum in Praefat. ed. Lips. p. LIV.

162. ἁμετέρῳ στρατῷ addidit D. 163. μάχᾳ. | σύ τε Hermannus] μάχαισί | τε 164. προφρόνως | ἑπτάπυλον πόλεως D.] προ (πρό manus recentior) πόλεως | ἑπτάπυλον 166. παναρκεῖς M, λ super ρ a m. recentissima scripto, i. e. παναλκεῖς, quod est in apographis plerisque 168. *τᾶσδε] τάσδέ γε 170. ἑτεροφώνῳ] ἑτεροβάγμονι Hermannus: quale quid versus antistrophici (178.) metrum postulat, ubi fuerunt qui ἔλθετε coniicerent pro ἀρήξατε. 172. πανδίκως] πανδίκους pr. M, ου in ω mutato vel a prima manu vel ab διορθωτῇ. 175. τ' addidit Seidlerus. 176. φιλοπόλεις Wunderlichius] φιλοπόλιες 177. θ' Blomfieldus] δ' 179. πόλεος Porsonus] πόλεως 188. τῷ articulum qui suspectum habuerunt ποτὲ coniicere debebant. 193. ὀφέλλεται] *ὀφέλλετε 194. Hoc versu finitur in M folium 66b., proximo ab verbis κεἰ μή τις — incipiente. Excidit unus in fine paginae versus, quem supplevi additis verbis τοιγὰρ προφωνῶ πᾶσιν ἡσύχως ἔχειν. Ineptum interpolatoris Byzantini supplementum τοιαῦτα ἂν (recte, ut videtur, Blomfieldus τοιαῦτά τἂν) γυναιξὶ συνναίων ἔχοις per apographa propagatum. 201. δ' ex τ' factum a m. antiqua in M.

σασα τὸν ἁρματόκτυπον ὄτοβον ὄτοβον,
ὅτε τε σύριγγες ἔκλαγξαν ἑλίτροχοι,
ἱππικῶν τ' ἄπυον πηδαλίων δία
στόμια πυριβρεμετᾶν χαλινῶν.
ΕΤ. τί οὖν; ὁ ναύτης ἆρα μὴ 'ς πρῷραν φυγὼν
πρύμνηθεν ηὗρε μηχανὴν σωτηρίας,
νεὼς καμούσης ποντίῳ πρὸς κύματι;
ΧΟ. ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ-
χαῖα βρέτη, θεοῖς πίσυνος, ὅτε νιφάδος
ἀπ' ὀλοᾶς νιφομένας βρόμος ἐν πύλαις,
δὴ τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτάς,
πόλεος ἵν' ὑπερέχοιεν ἀλκάν.
ΕΤ. πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ.
καὶ γὰρ τάδ' ἔσται πρὸς θεῶν, ἐπεὶ θεοὺς
ἕδρας ἁλούσης πόλεος ἐκλείπειν λόγος.
ΧΟ. μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν
ἅδε πανάγυρις, μηδ' ἐπίδοιμι τάνδ'
ἀστυδρομουμέναν πόλιν καὶ στράτευμ'
ἀπτόμενον πυρὶ δαΐῳ.
ΕΤ. μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς·
πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
μήτηρ, γονῆς σωτῆρος· ὧδ' ἔχει λόγος.
ΧΟ. ἔστι· θεοῦ δ' ἔτ' ἰσχὺς καθυπερτέρα·
πολλάκι δ' ἐν κακοῖσι τὸν ἀμάχανον
κἀκ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων
κρημναμενᾶν νεφελᾶν ὀρθοῖ.
ΕΤ. ἀνδρῶν τάδ' ἐστὶ σφάγια καὶ χρηστήρια
θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένων·
σὸν δ' αὖ τὸ σιγᾶν καὶ μένειν εἴσω δόμων.
ΧΟ. διὰ θεῶν πόλιν νεμόμεθ' ἀδάματον,
δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει.
τίς τάδε νέμεσις στυγεῖ;
ΕΤ. οὔτοι φθονῶ σοι δαιμόνων τιμᾶν γένος·
ἀλλ' ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
ἔκηλος ἴσθι μηδ' ἄγαν ὑπερφοβοῦ.
ΧΟ. ποτίφατον κλύουσα πάταγον ἀναμὶξ
ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν,
τίμιον ἕδος, ἱκόμαν.
ΕΤ. μή νυν, ἐὰν θνῄσκοντας ἢ τετρωμένους
πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε.
τούτῳ γὰρ Ἄρης βόσκεται, φόνῳ βροτῶν.
ΧΟ. καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.
ΕΤ. μή νυν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.
ΧΟ. στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.
ΕΤ. οὐκοῦν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι.
ΧΟ. δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται.
ΕΤ. οὐ σῖγα μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν;
ΧΟ. ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.
ΕΤ. οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσει τάδε;
ΧΟ. θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.
ΕΤ. αὐτὴ σὺ δουλοῖς καὶ σὲ καὶ πᾶσαν πόλιν.
ΧΟ. ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος.
ΕΤ. ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.
ΧΟ. μοχθηρόν, ὥσπερ ἄνδρας ὧν ἁλῷ πόλις.
ΕΤ. παλινστομεῖς αὖ θιγγάνουσ' ἀγαλμάτων;
ΧΟ. ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.
ΕΤ. αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.
ΧΟ. λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι.
ΕΤ. σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.
ΧΟ. σιγῶ· ξὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.
ΕΤ. τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.
καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ' ἀγαλμάτων,
εὔχου τὰ κρείσσω ξυμμάχους εἶναι θεούς·
κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
ὀλολυγμὸν ἱρὸν εὐμενῆ παιάνισον,
Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
θάρσος φίλοις, λύουσα πολεμίων φόβον.
ἐγὼ δὲ χώρας τοῖς πολισσούχοις θεοῖς,
πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ ⏒ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ ⏒ ⏑ – ⏑ –́ ⏑ –́
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
λάφυρα δᾴων δουρίπηχθ' ἁγνοῖς δόμοις.

219—222. = 226—229.
233—235. = 239—241.

272. Δίρκης τε πηγαῖς, οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω,
εὖ ξυντυχόντων καὶ πόλεως σεσωσμένης,
μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
ταυροκτονοῦντας θεοῖσιν, ὧδ' ἐπεύχομαι
276. θήσειν τρόπαια, πολεμίων δ' ἐσθήμασι,
279. στέψω πρὸ ναῶν πολεμίων δ' ἐσθήματα.

287—303. = 304—320.

---

204. ἁρματόκτυπον] ἁρματοκτύπον pr. *ὄτοβον ὄτοβον] ὄτοβον (δῑ superscr.) 205. *ὅτε] ὅτι ἔκλαγξαν] ἔκλαγξαν, δῑ ab alia m. 206. ἱππικῶν] πωλικῶν Heimsoethius. ἄπυον — δία στόμια Lachmannus] ἀΰπνων — διὰ στόμα 207. πυριβρεμετᾶν] πυριγενετᾶν M. Correxi ex gl. Hesychii, πυριβρεμέτας: ὁ χαλινός. Τιμαχίδας δέ· ἤτοι ὁ πυρὶ βρέμων, ἢ διὰ πυρὸς βρέμοντος γεγονώς. 208. πρῷραν D.] πρώραν 209. ηὗρε] εὗρεν, ν eraso. 210. * πρὸς κύματι] ἐν κύματι, literis ἐν κύ ab διορθωτῇ scriptis in litura literarum, quae πρὸ σκύ fuisse possunt. 212. θεοῖς πίσυνος Seidlerus (nisi quod θεοῖσι)] πίσυνος θεοῖς ὅτε νιφάδος | ἀπ' ὀλοᾶς (vel ὀλεθρίας) D.] νιφάδος ὅτ' ὀλοᾶς, tribus his verbis versu separato scriptis. 213. *νιφομένας] νειφομένης (.α. superscr.) 215. πόλεος Hermannus] πόλεως 217. καὶ γὰρ τάδ' (vel τόδ') ἔσται πρὸς θεῶν, ἐπεὶ θεοὺς | ἕδρας ἁλούσης D.] οὔκουν (οὐκοῦν a m. rec.) τάδ' ἔσται πρὸς θεῶν. ἀλλ' οὖν θεοὺς | τοὺς τῆς ἁλούσης (personarum notae ΧΟ. ante οὐκοῦν et ΕΤ. ante ἀλλ' οὖν additae a m. recentiore, prior in margine, altera supra versum): de quo dixi in Praefat. ed. Lips. quintae p. LVI. 219. *λίποι] λείποι 225. γονῆς Hermannus] γυνὴ 226. θεοῦ] οῖς superscr. a m. antiqua, i. e. θεοῖς 227. τὸν ex scholio Canterus] τὰν ἀμάχανον D.] ἀμήχανον 228. δύας] Ex ὀδύνας factum in M. 229. κρημναμενᾶν νεφελᾶν Hermannus] κριμναμέναν (κρημναμέναν a m. recenti) νεφέλαν ὀρθοῖ] σαοῖ (ων superscr.) Hermannus. 231. πειρωμένων] πειρωμένοις, ων a m. recentisima. 233. *νεμόμεθ'] νεμόμεσθ' ἀδάματον Pauwius] ἀδάμαντον 235. τίς Heathius] τί

238. *ἔκηλος] εὔκηλος 239. ποτίφατον — ἀναμὶξ Heimsoethius] ποταίνιον — ἄμμιγα 240. ἀκρόπτολιν Porsonus] ἀκρόπολιν 254. καὶ σὲ Wunderlichius] κἀμὲ M. In apographis pluribus κἀμὲ καὶ σὲ καὶ πόλιν. 260. τέλος] γρ. λόγον margo M a m. antiqua. 268. ἱρὸν D.] ἱερὸν παιάνισον] παιώνισον pr. M. 272. De diis πεδιονόμοις κἀγορᾶς ἐπισκόποις dixit Vischerus in comment. de inscriptionibus Spartanis octo (Basil. 1853.) p. 11. Post hunc versum quinque versuum defectum indicavi, sublatis qui in M leguntur quinque interpolatoris (272—276.) lacunam explentis versibus et sublato qui post 278. in M legitur versu, στέψω πρὸ ναῶν πολεμίων δ' ἐσθήματα (τ' superscr.). Versu 272. οὐδ' ἀπϊσμινοῦ pr. M, οὐδ' ἀπ' ἰσμηνοῦ a m. rec. quod ex ὕδατά τ' Ἰσμηνοῦ corruptum videri potest, quemadmodum ὕδασί τ' Ἰσμηνοῦ coniecit L. Dindorfius. 276. ἐσθήμασι] τα super σι a m. rec. 278. δουρίπηχθ' D. in Annot. Oxon. p. 158.] δουρίπληχθ'

τοιαῦτ᾽ ἐπεύχου μὴ φιλοστόνως θεοῖς,
μηδ᾽ ἐν ματαίοις κἀγρίοις ποιφύγμασιν·
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον.
ἐγὼ δέ γ᾽ ἄνδρας ἓξ ἐμοὶ ξὺν ἑβδόμῳ
ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολών,
πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους
λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο.
ΧΟ. μέλει, φόβῳ δ᾽ οὐχ ὑπνώσσει κέαρ·
γείτονες δὲ κάρζας
μέριμναι ζωπυροῦσι τάρβος
τὸν ἀμφιτειχῆ λεών, δράκοντας ὥς τις τέκνων
ὑπερδέδοικεν λεχαίων δυσευνάτορας
πάντροφος πελειάς.
τοὶ μὲν γὰρ ποτὶ πύργους
πανδαμὶ πανομιλὶ
στείχουσιν· τί γένωμαι;
τοὶ δ᾽ ἐπ᾽ ἀμφιβόλοισιν
ἰάπτουσι πολίταις
χερμάδ᾽ ὀκριόεσσαν
παντὶ τρόπῳ, Διογενεῖς θεοί, πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.
ποῖον δ᾽ ἀμείψεσθε γαίας πέδον
τᾶσδ᾽ ἄρειον, ἐχθροῖς
ἀφέντες τὰν βαθύχθον᾽ αἶαν,
ὕδωρ τε Διρκαῖον, εὐτραφέστατον πωμάτων
ὅσων ἵησιν Ποσειδὰν ὁ γαιάοχος
Τηθύος τε παῖδες.
πρὸς τάδ᾽, ὦ πολιοῦχοι
θεοί, τοῖσι μὲν ἔξω
πύργων ἀνδρολέτειραν
νόσον, ῥίψοπλον ἄταν,
ἐμβαλόντες ἄροισθε
κῦδος τοῖσδε πολίταις,
καὶ πόλεως ῥύτορες ἔλθετ᾽ εὔεδροί τε στάθητ᾽
ὀξυγόοις λιταῖσιν.
οἰκτρὸν γὰρ πόλιν ὧδ᾽ ὠγυγίαν
Ἀίδᾳ προϊάψαι, δορὸς ἄγραν,
δουλίαν ψαφαρᾷ σποδῷ
ὑπ᾽ ἀνδρὸς Ἀχαιοῦ θεόθεν
περθομέναν ἀτίμως,
τὰς δὲ κεχειρωμένας ἄγεσθαι,
ἐή, νέας τε καὶ παλαιάς
ἱππηδὸν πλοκάμων,
περιρρηγνυμένων φαρέων.
βοᾷ δ᾽ ἐκκενουμένα πόλις,
λαΐδος ὀλλυμένας μιξοθρόου·
βαρείας τοι τύχας προταρβῶ.
κλαυτὸν δ᾽ ἀρτιδρόποις ὠμοδρόπων
νομίμων προπάροιθεν διαμεῖψαι
δωμάτων στυγερὰν ὁδόν.
τί; τὸν φθίμενον γὰρ προλέγω
βέλτερα τῶνδε πράσσειν.
πολλὰ γάρ, εὖτε πτόλις δαμασθῇ,
ἐή, δυστυχῆ τε πράσσει.
ἄλλος δ᾽ ἄλλον ἄγει,
φονεύει, τὰ δὲ καὶ πυρφορεῖ·
καπνῷ χραίνεται πόλισμ᾽ ἅπαν·
μαινόμενος δ᾽ ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐσέβειαν Ἄρης.
κορκορυγαὶ δ᾽ ἀν᾽ ἄστυ, ποτὶ δ᾽ ὀρκάνα πυργῶτις.
πρὸς ἀνδρὸς δ᾽ ἀνὴρ στὰς δορὶ καίνεται·
βλαχαὶ δ᾽ αἱματόεσσαι
τῶν ἐπιμαστιδίων
ἄρτι βρεφῶν βρέμονται.
ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες·
ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ,
ξύννομον θέλων ἔχειν,
οὔτε μεῖον οὔτ᾽ ἴσον λελιμμένοι.
τίν᾽ ἐκ τῶνδ᾽ εἰκάσαι λόγος πάρα;
παντοδαπὸς δὲ καρπὸς χαμάδις πεσὼν ἀλγύνει,
πικρὸν δ᾽ ὄμμ᾽ ⏑ _ _ θαλαμηπόλων·
πολλὰ δ᾽ ἀκριτόφυρτος
γᾶς δόσις οὐτιδανοῖς
ἐν ῥοθίοις φορεῖται.
δμωΐδες δὲ καινοπήμονες νέαι,
τλᾶμον αἶσιν αἰχμάλωτον
ἀνδρὸς εὐτυχοῦντος, ὡς
δυσμενοῦς ὑπερτέρου,
ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν,
παγκλαύτων ἀλγέων ἐπίρροθον.

ΗΜΙΧΟΡΙΟΝ.

ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
πευθώ τιν᾽ ἡμῖν, ὦ φίλαι, νέαν φέρει,
σπουδῇ διώκων πομπίμους χνόας ποδοῖν.
ΗΜ. καὶ μὴν ἄναξ ὅδ᾽ αὐτὸς Οἰδίπου τόκος,
ὥστ᾽ ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
σπουδὴ δὲ καὶ τοῦ συγκαταρτίζει πόδα.

321—332. = 333—344.

345—356. = 357—368.

281. μᾶλλον] αλλων pr.M. 282. δέ γ᾽ Burtonus] δ᾽ ἐπ᾽ 288. κάρζας D.] καρδίας . 291. δράκοντας Bothius] δράκοντα δ᾽ ὑπερδέδοικεν] ὑπερδέδοικε, litera ultima in litura pro α. λεχαίων Lachmannus] λεχέων 293. δυσευνάτορας Blomfieldus] δυσευ-
ει α
νήτορος (ει et α a m. rec, superscr.) 294. ἁ πάντρο-
ή φ
φος] ἁ πάντρομος M. ' πάντροφος legerunt Tzetza ad Lycophr. 87. et Eustath. ad Homer. p. 1602, 7.
296. πανδαμὶ Blomfieldus] πανδημεὶ M. πανδημὶ Ald. πανομιλὶ Blomfieldus] πανομιλεὶ 298. τοὶ] τί pr. M. 300. ὀκριόεσσαν] ὀκρυόεσσαν pr. M. 302. Διογενεῖς] Literae εῖς in litura literae η. 303. ἀμείψεσθε] ε secundum ex α factum. 308.*εὐτραφέστατον] εὐτρεφέστατον 315. νόσον, ῥίψοπλον D.] κα-
ν
ταρίψοπλον pr. M in καὶ τὰριψοπλον a m. antiqua mutatum. καὶ τὰν non ex νόσον corruptum, sed interpolatoris est duas quae exciderant syllabas inscite supplentis. 318. ῥύτορες] ή super ο a m recentissima. ἔλθετ᾽ addidit D. 321. ὧδ᾽] τήνδ᾽ superscr. a m. recentissima. 323. δουλίαν anonymus in marg. ed. Aldinae apud Burtonum] δουλείαν 326. κεχει-
ει
ρωμένας] κεχηρωμένας, ει a m. recentiore.

.δ.
327.339. ἐή D.] ἑ ἑ 333. ἀρτιδρόποις] ἀρτιτρόποις M. Aeschylus aliud quid scripserat. 338.*πτόλις] πόλις 341.*καὶ πυρφορεῖ] καὶ om. 342.καπνῷ Brunckius] καπνῷ δὲ 345. ποτὶ δ᾽] ποτιπτόλιν δ᾽ M. πτόλιν delevit Hermannus. *ὀρκάνα] ὀρκάνα 347.
καὶ
στὰς addidit D. καίνεται] κλίνεται, καί a m. rec.
350. ἄρτι βρεφῶν Schuetzius] ἀρτιτρεφεῖς (*ἀρτιβρεφεῖς) 352.ξυμβολεῖ (εῖ in litura literae η)] Super βολεῖ a m. recenti βάλλει. 354. *ξύννομον] ξύνομον
355. *λελιμμένοι] λελημμένοι 356. τίν᾽ ἐκ margo M a m. recentiore. τί . ἐκ in textu, una post τί litera erasa. 358. ἀλγύνει D.] ἀλγύνει κυρήσας 359. ὄμμ᾽ ⏑ _ _ θ. D.] ὄμμα θ᾽ M. Excidit adiectivum, velut ἔρημον. 362. *ῥοθίοις] ῥοθίοισι 363. κοινοπήμονες Robortelli editio] καινοπήμονες 364. τλῆμον (debebat τλᾶμον) αἶσιν Hermannus] τλήμονες εὐνὰν
370. *πευθώ] πευθῶ 371. ποδοῖν D.] ποδῶν
373. ὥστ᾽ D.] εἴσ᾽ 374. τοῦ συγκαταρτίζει D.] τοῦδ᾽ οὐκ ἀπαρτίζει

ΑΓ. λέγοιμ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίων,
ὥς τ' ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσιν
βρέμει, πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος
μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ·
θείνει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ·
τοιαῦτ' ἀυτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δὲ τῷ
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει.
τοιαῦτ' ἀλύων ταῖς ὑπερκόποις σαγαῖς
βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν,
ἵππος χαλινῶν ὣς κατασθμαίνων μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνει κλύων.
τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν
κλῄθρων λυθέντων προστατεῖν φερέγγυος;
ΕΤ. κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγώ,
οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις οἷα πείσεται.
εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι,
τῷ τοι φέροντι σῆμ' ὑπέρκοπον τόδε
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
καὐτὸς καθ' αὑτοῦ τήνδ' ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τῶνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε καὶ τὸν Αἰσχύνης θρόνον
τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ.
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος,
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ·
Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.
ΧΟ. τὸν ἁμὸν νυν ἀντίπαλον εὐτυχεῖν
θεοὶ δοῖεν, ὡς δικαίως πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι.
ΑΓ. τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί·
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις,
γίγας ὅδ' ἄλλος τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ,
πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι τύχη·
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντός φησιν, οὐδὲ νιν Διός
Ἔριν πέδοι σκήψασαν ἐμποδὼν σχεθεῖν.
τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσι θάλπεσιν προσῄκασεν·
ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χεροῖν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασιν "πρήσω πόλιν".
τοιῷδε τῷδε φωτὶ τίς ξυστήσεται,
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;
ΕΤ. καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς ἀπειλεῖ πᾶν παρεσκευασμένος
δρᾶν, θεοὺς ἀτίζων, κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ θνητὸς ὢν εἰς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη·
πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνόν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας
Ἀρτέμιδος εὐνοίαισι σύν τ' ἄλλοις θεοῖς.
λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.
ΧΟ. ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται,

377—396. = 397—416.

417—421. = 452—456.
422—436. = 437—451.

375. 376. Hi duo versus tanquam prooemium sunt septem qui sequuntur nuntii sermonum de septem Argivorum ducibus, quibus septem respondent de totidem Thebanorum ducibus sermones Eteoclis, pari ab utraque parte versuum numero: quod primus animadvertit Ritschelius in Fleckeiseni Annal. a. 1858. vol. 77. p. 761—801. (sive in Opusculis vol. 1. p. 300—364.) De quo ego pluribus dixi in Philologo vol. 16. p. 208—233. et in Praefat. ed. Lips. quintae p. LVIII. Aliam viam iniit Paleius, qui versus 393. 394. seclusit. 379. 398. 439. γίγνεται Porsonus] γίνεται 380. Τυδεὺς] Exspectes potius κεῖνος, quod coniecit Heimsoethius. 382. *θείνει] θένει 385. δὲ τῷ margo M a m. recentissima. δ' ἐσῶ (sic) in textu. δέ τοι D. 387. ὑπέρφρον] ο ex ω factum. 390. ἄστρων] Ex ἄστρον factum, litera una post ν erasa. 391. ὑπερκόποις Blomfieldus] ὑπερκόμποις (δ' superscr.) 393. χαλινῶν ὣς] χαλινῶν ὡσ, δ' a m. recentiore superscripto antiquam literae δ formam (ꝺ) imitata. 394. κλύων (quod explicat schol. ἀκούων σάλπιγγος) Tyrwhittus] μένων 402. οἷα πείσεται D.] ἡ ἄνοια τινί pr. M, ἄνοια ab alia m. antiqua in ἀνοία mutato: quod ineptum est versus defecti supplementum. Similiter de gigante in scuto Capanei expresso Eur. Phoen. 1133. γίγας ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν | φέρων μοχλοῖσιν ἐξανασπάσας βάθρων, | ὑπόνοιαν ἡμῖν οἷα πείσεται πόλις. ἡ ἄνοια (i. e. ἀνοία) legit scholiasta p. 50, 26. παροξυτόνως Ἀττικῶς ἀντὶ τοῦ ἄνοια· διὰ δὲ τὸ μέτρον ἐξέτεινεν. In alio scholio p. 50, 20—24. nulla huius vocabuli ratione habita haec sic explicantur, τάχα προμαντεύεται τῷ φοροῦντι ὅτι χωρήσει ὑπὸ νύκτα. 403. ὀφθαλμοῖς] ὄμμασιν schol. p. 50, 23. quod verum esse potest. 404. *ὑπέρκοπον] ὑπέρκομπον 406. μαντεύσεται] σ ab διορθωτῇ insertum. 408. τῶνδ' Grotius] τόνδ' 415. 416. post v. 411. transposuit Ritschelius. 415. ὁμαίμων] ὁμαίμων, δ a m. recenti superscripto. 417. νυν Arnaldus] νῦν 419. δικαίως ex glossemate illatum pro vocabulo cuius mensura fuit ⏑⏑⏑–. 422. τούτῳ] τούτωι, ex τούτων factum. δοῖεν θεοί] θεοὶ δοῖεν, librario ad v. 419. aberrante, sed recto ordine literis β et α superscriptis indicato. 426. κραίνοι] ι super αί a manu recenti. 428. νιν Heimsoethius] τὴν 429. πέδοι D.] πέδῳ σχεθεῖν Blomfieldus] σχέθειν 435. τοιῷδε τῷδε φωτὶ D.] τοιῷδε φωτὶ πέμπε, litera ultima voc. πέμπε in litura pro ει, ut videtur: quod ex v. 470. interpolatum. 436. κομπάζοντα] κομπάσοντα, ζον a m. rec. superscripto, ut κομπάζοντα (τ superscr.) in apographis plerisque. 439. *γλῶσσ'] γλῶτ' 440. Καπανεὺς D.] Καπανεὺς δ' πᾶν παρεσκευασμένος | δρᾶν, θεοὺς D.] δρᾶν παρασκευασμένος, | θεοὺς (ε superscr.) 442. εἰς D.] ἐς 443. γεγωνὰ Brunckius] γεγωνᾶι

κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι,
πρίν ἐμόν ἐσθορεῖν δόμον, πωλικῶν θ'
ἐδωλίων ὑπερκόπῳ δορί ποτ' ἐκλαπάξαι.

ΑΓ. καὶ μὴν τόν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω· τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου 'πήδησεν εὐχάλκου κράνους,
πύλαισι Νηίσταισι προσβαλεῖν λόχον.
ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρός πύλαις πεπτωκέναι.
φιμοὶ δέ συρίζουσι βάρβαρον νόμον,
μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρόν τρόπον·
ἀνὴρ ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾷ δὲ χοὖτος γραμμάτων ἐν ξυλλαβαῖς,
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων·
καὶ τῷδε φωτὶ πέμπε τόν φερέγγυον
πόλεως ἀπείργειν τῆσδε δούλιον ζυγόν.

ΕΤ. ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
Μεγαρεύς, Κρέοντος σπέρμα τοῦ σπαρτῶν γένους,
ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται,
ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονί,
ἢ καὶ δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λόγων.

ΧΟ. ἐπεύχομαι δὴ τάδε μὲν εὐτυχεῖν, ἰὼ
πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.
ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
μαινομένᾳ φρενί, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων.

ΑΓ. τέταρτος ἄλλος, γείτονας πύλας ἔχων

472. πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ·
καὶ δὴ πέπεμπτ' οὐ κόμπον ἐν χεροῖν ἔχων.

457—471a. = 471b—480.
481—485. = 521—525.

Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος·
ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω,
ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.
ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν
ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι,
Τυφῶν' ἱέντα πυρπνόον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρός κάσιν·
ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος
προσηδάφισται κοιλογάστορος κύκλου.
αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
βακχᾷ πρὸς ἀλκὴν Θυιὰς ὣς φόνον βλέπων.
τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον.

ΕΤ. πρῶτον μὲν Ὄγκα Παλλὰς ἥδ' ἀγχίπτολις
πύλαισι γείτον' ἀνδρὸς ἐχθαίρουσ' ὕβριν
εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος δέ, κεδνὸς Οἴνοπος τόκος,
ἀνὴρ κατ' ἄνδρα τοῦτον ᾑρέθη, θέλων
ἐξιστορῆσαι μοῖραν, ἐν χρείᾳ τύχης,
οὔτ' εἶδος οὔτε θυμὸν οὐδ' ὅπλων σχέσιν
μωμητός, Ἑρμῆς δ' εὐλόγως συνήγαγεν.
ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται.
ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
θεούς· ὁ μὲν γὰρ πυρπνόον Τυφῶν' ἔχει,
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων·
κοὔπω τις εἶδε Ζῆνά του νικώμενον.

ΧΟ. πέποιθα τὸν Διὸς ἀντίτυπον ἔχοντ'
ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
δαίμονος, ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
δαροβίοισι θεοῖσι,
πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν.

ΑΓ. οὕτως γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,
Παρθενοπαῖον Ἀρκάδ', Ἀταλάντης γόνον,
πέμπταισι προσταχθέντα Βορραίαις πύλαις,
τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος·

500. φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.

515. τοιάδε μέντοι προσφίλεια δαιμόνων·
πρὸς τῶν κρατούντων δ' ἐσμέν. οἱ δ' ἡσσωμένων,
β. εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ.
γ. Ὑπερβίῳ τε πρὸς λόγον τοῦ σήματος
α. εἰκός γε πράξειν ἄνδρας ὧδ' ἀντιστάτας
520. δ. σωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών.

486—499. = 501—514.
526a—545a. = 545b—562.

453. νιν Brunckius] μιν 454. *θ'] τ' 455. ὑπερκόπῳ Brunckius] ὑπερκόμπῳ 459. 'πήδησεν Brunckius] πήδησεν sine coronida. 460. Νηίσταισι] νηίστῃσι, literae stigma parte priore erasa: unde νηίτῃσι in apographis, Νηίταισι Heathius. 463. Huic versui at 465. adscriptum in marg. ζτ (i. e. ζήτει). 463. νόμον Prieaus] τρόπον: quo servato Halmius in Museo Rhen. 21. p. 333. v. 465. τρόπον in τύπον mutat, ut μέγας τύπος est v. 488. 465. ἐσχημάτισται] εἰσημάτισται pr. M: unde σεσημάτισται Weilius. σμικρόν Robortellus] μικρόν 466. ἀνὴρ Blomfieldus] ἀνὴρ δ' προσαμβάσεις Canterus] πρὸς ἀμβάσεις 471a. δούλιον D.] δούλειον Post haec versum octo versuum defectum indicavit D. Sex versuum defectum indicavit Prienus, servatis versibus 472. 473. 472. 473. eiecit D. 473. πέπεμπτ' οὐ] γρ. πέπεμπται in apogr. uno. 474. σπαρτῶν] σπαρτοῦ, ῶν a m. antiqua superscr. 475. μάργων] μάργῶν, circumflexo ab alia m. ant. addito. 480. λόγων Valckenarius] λέγων. ἀφθόνῳ λόγῳ Suppl. 321. 481. δὴ τάδε] Hoc correctoris esse videtur qui trimetrum facere voluit. Fortasse ἐπεύχομαι τῷ μὲν εὐτυχεῖν —. Incerta tamen emendatio quum antistrophicus quoque versus (521.) interpolatus sit. 483. *βάζουσιν] βάζουσ'

487. ξὺν] ξὺμ pr. 488. σχῆμα] λῆμα Heimsoethius. 491. ἄρ'] ἆρ' pr. 497. *Ἄρει] ἄρηι 498. *Θυιὰς] θυάς φόνον Canterus] φόβον 500. delevit Prienus. 501. ἥδ' Stanleius] ἧτ' 502. γείτον' Ritschelius] γείτων 507. οὐδ'] *οὔθ' 509. ἀνὴρ Porsonus] ἀνὴρ ἀνδρὶ supra versum a m. pr. ξυστήσεται] ξυντήσεται pr., ξυνστήσεται corr. 514. *εἶδε] εἶδεν του Elmsleius] που 515—520. delevit D. Literae β γ σ δ, quibus versus transponendos esse indicatur, a m. seculi 14. adscriptae. Versus quinti initium sic scriptum εἰκός γε πράξειν (δὲ , ει superscr.). Quae superscripta sunt manui recentissimae debentur. 521. Versus interpolatus, ut dixi ad versum strophicum (481.). Probabilis metri forma restitui potest Διὸς ἀντίτυπον in Ζηνὸς ἀντίπνουν mutato. ἔχοντ' Brunckius] ἔχοντα 523. δαίμονος Brunckius] δαίμοσιν *εἴκασμα] εἰκασμαι βροτοῖς Brunckius] βροτοῖσι καὶ versui proximo addit M. Versum 526b. Παρθενοπαῖον Ἀρκάδ', Ἀταλάντης γόνον addidit D. 527. Βορραίαις Porsonus] βορρέαις

ὄμνυσι δ' αἰχμὴν ἣν ἔχει μᾶλλον θεοῦ
σέβειν πεποιθώς, ὀμμάτων θ' ὑπέρτερον,
ἦ μὴν λαπάξειν ἄστυ Καδμείων βίᾳ
Διός· τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου
βλάστημα καλλίπρῳρον, ἀνδρόπαις ἀνήρ.
στείχει δ' ἴουλος ἄρτι διὰ παρηίδων,
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
ὁ δ' ὠμόν, οὔτι παρθένων ἐπώνυμον,
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.
οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι,
Σφίγγ' ὠμόσιτον προσμεμηχανημένην
γόμφοις ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας·
φέρει δ' ὑφ' αὑτῇ φῶτα Καδμείων ἕνα,
ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην.
ΕΤ. ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν.
ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,
ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ ἀδελφὸς τοῦ πάρος λελεγμένου·
ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ
εἴσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακά,
οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκους
εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος·
ἢ 'ξωθεν εἴσω τῷ φέροντι μέμψεται,
πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν.
θεῶν θελόντων ἂν δ' ἀληθεύσαιμ' ἐγώ.
ΧΟ. ἱκνεῖται λόγος διὰ στηθέων,
καὶ τριχὸς ὄρθιος πλόκαμος ἵσταται,
μεγάλα μεγαληγόρων κλυούσας
ἀνοσίων ἀνδρῶν. εἴθε γὰρ θεοὶ
τούσδ' ὀλέσειαν ἐν γᾷ.

516. μακρᾶς κελεύθου δ' οὐ καταισχύνειν πόρον
Παρθενοπαῖος Ἀρκάς. ὁ δὲ τοιόσδ' ἀνὴρ
μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφάς,
πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός.
550. ΕΤ. εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν
552. ἦτ' ἂν πανώλεις παγκάκως τ' ὀλοίατο.

563—567. = 626—630.

ΑΓ. ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον,
ἀλκὴν τ' ἄριστον μάντιν, Ἀμφιάρεω βίαν.
Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐρινύος κλητῆρα, πρόσπολον φόνου,
κακῶν τ' Ἀδράστῳ τῶνδε βουλευτήριον.
καὶ τὸν σὸν αὖθις προσμολὼν ὁμόσπορον,
ἐξυπτιάζων ὄμμα, Πολυνείκους βίαν,
δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος
καλεῖ. λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα
"ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλές,
καλόν τ' ἀκοῦσαι καὶ λέγειν μεθυστέροις,
πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
πορθεῖν, στράτευμ' ἐπακτὸν ἐμβεβληκότα;
ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός.
μαχώμεθ', οὐκ ἄτιμον ἐλπίζω μόρον."
τοιαῦθ' ὁ μάντις ἀσπίδ' εὔκυκλον νέμων
πάγχαλκον ηὔδα· σῆμα δ' οὐκ ἐπῆν κύκλῳ.
οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.
τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας
πέμπειν ἐπαινῶ. δεινὸς ὃς θεοὺς σέβει.
ΕΤ. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστάτοις.
ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς ἧς ἀσύμφορος.
ὡς γὰρ ξυνεσβὰς πλοῖον εὐσεβὴς ἀνὴρ
ναύταισι θερμοῖς καὶ πανουργίας πλέῳς
ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει,
ἢ ξὺν πολίταις ἀνδράσιν δίκαιος ὢν
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσιν
πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ 'δάμη,
ταὐτοῦ κυρήσας ἐκδίκοις ἀγρεύματος,
οὕτως ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,

584. μητρός τε πηγὴν τίς κατασβέσει δίκη;
πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ
586. ἁλοῦσα πῶς σοι ξύμμαχος γενήσεται;

601. ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.

568—596. = 597—625.

529. μᾶλλον] μαλόν: correxit διορθωτής. 531. *μιτρὸς] ματρὸς 533. καλλίπρῳρον D.] καλλίπρωρον 540. κυκλωτῷ] κυκλωτωι, quod in κύκλωιτῶι mutavit διορθωτής. 542. γόμφοις ἐνώμα] γόμφοισι νωμᾷ Wakefieldus. 544. Versus suspectus Halmio in Museo Rhenano 21. p. 334. 546—550. 552. eiecit D., indicato decem post 545. versuum defectu. 546. καταισχύνειν] καταισχυνεῖν correctum. 552. ἀνοσίοις] ἀνοσίαισ, οισ a m. pr. 557. εἴσω D.] ἔσω 560. ἢ 'ξωθεν Burgesius] ἔξωθεν cum interpunctione post εἴσω. 561. πυκνοῦ] ι post κ erasum. κροτησμοῦ] η in ι mutatum. 562. ἂν δ' Wellanerus] δ' ἂν 564. καὶ τριχὸς ὄρθιος Blomfieldus] τριχὸς δ' ὀρθίας 565. κλυούσας D.] κλύων 566. *εἴθε γὰρ θεοὶ] ἐὶ θεῶι (correctum θεοὶ) | θεοὶ

569. Ἀμφιάρεω] ἀμφιάρεων, ν eraso. 576. προσμολὼν ὁμόσπορον Blomfieldus et G. Burgesius] πρὸσμόραν ἀδελφεὸν, accentu super πρὸσ eraso. 577. ὄμμα Schuetzius] ὄνομα 584—586. eiecit D. 584. δίκη] δίκηι M, sed altero ι eraso. 587. τήνδε — χθόνα] τόνδε — γύην Ritschelius. τήνδε — κόνιν Heimsoethius. 588. *ὑπὸ χθονός] ἐπιχθονὸς 590. εὔκυκλον νέμων] εὔκηλον ἔχων cum γρ. εὔκυκλον νέμων 591. κύκλῳ] σάκει D. 597. βροτοῖς] βροτοὺς, sed βροτοῖς a m. recenti. 598. *δυσσεβεστάτοις] δυσσεβεστέροις, primo σ ab διορθωτῇ addito supra versum. 600. καρπὸς ἧς ἀσύμφορος D.] καρπὸς οὐ κομιστέος | ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται, illato scholio quod ad ἀσύμφορος adscriptum fuit, οὐ κομιστέος (vel οὐ συγκομιστέος). "ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται". Versum poetae ignoti ἄτης — ἐκκαρπίζεται delevit Schuetzius: de quo dixi in Philologo vol. 16. p. 220. 601. ὡς D.] ἢ ξυνεσβὰς D.] ξυνεισβὰς 603. ναύταισι Blomfieldus] ναύτῃσι πανουργίας πλέῳς D.] πανουργίαι τινὶ 607. post 608. in codice. Transposuit D. 'δάμη Brunckius] δάμη 608. ἐκδίκοις Prienus] ἐκδίκως 609. οὕτως Ritschelius] οὕτως δ', in οὗτος δ' mutatum a m. rec. Οἰκλέους Porsonus] ὀϊκλέους

σώφρων δίκαιος ἀγαθὸς εὐσεβὴς ἀνήρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς
θρασυστόμοισιν ἀνδράσιν βίᾳ φρενῶν,
Διός θέλοντος συγκαθελκυσθήσεται.
δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμον οὐδὲ λήματος κάκῃ,
ἀλλ' οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ,
εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου·
φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια.
ὅμως δ' ἐπ' αὐτῷ φῶτα Λασθένους βίαν
ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν,
γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φύει
παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.
ΧΟ. κλύοντες θεοὶ δικαίας λιτὰς
ἀμετέρας τελεῖθ', ὡς πόλις εὐτυχῇ,
δορίπονα κάκ' ἐκτρέποντες ἐς γᾶς
ἐπιμόλους· πύργων δ' ἔκτοθεν βαλὼν
Ζεύς σφε κάνοι κεραυνῷ.
ΑΓ. τὸν ἕβδομον δὴ τὸν πρὸς ἑβδόμαις πύλαις
λέξω, τὸν αὐτοῦ σου κασίγνητον, πόλει
οἵας ἀρᾶται καὶ κατεύχεται τύχας·
πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονὶ
ἁλώσιμον παιᾶν' ἐπεξισκχάσας,
σοὶ ξυμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας,
ἢ ζῶντ' ἀτιμαστῆρ' ὅπως ἀνδρηλάτην
φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
τοιαῦτ' ἀϋτεῖ καὶ θεοὺς γενεθλίους
καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν
τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.
ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος
διπλοῦν τε σῆμα προσμεμηχανημένον.
χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν
ἄγει γυνή τις σωφρόνως ἡγουμένη.
Δίκη δ' ἄρ' εἶναί φησιν, ὡς τὰ γράμματα
λέγει "κατάξω δ' ἄνδρα τόνδε καὶ πόλιν
ἕξει πατρῴων δωμάτων τ' ἐπιστροφάς".
καὶ δὴ λέλεκται πάντα τἀντεταλμένα·

613. τείνουσι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν.

623. ποδωκὲς ὄμμα, χεῖρα δ' οὐ βραδύνεται.

650a. τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα·
650b. σὺ δ' αὐτὸς ἤδη γνῶθι τίνα πέμπειν δοκεῖ.

631—652. = 653—673.

ὡς οὔποτ' ἀνδρὶ τῷδε κηρυκευμάτων
μέμψει, σὺ δ' αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν.
ΕΤ. ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,
ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος
ὤμοι, πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι.
ἀλλ' οὔτε κλάειν οὔτ' ὀδύρεσθαι πρέπει,
μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος.
ἐπωνύμῳ δὲ κάρτα, Πολυνείκη λέγω,
τάχ' εἰσόμεσθα τοὐπίσημ' ὅπῃ τελεῖ·
εἴ νιν κατάξει χρυσότευκτα γράμματα
ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν.
εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν
ἔργοις ἐκείνου καὶ φρεσίν, τάχ' ἂν τόδ' ἦν·
ἀλλ' οὔτε νιν φυγόντα μητρόθεν σκότον,
οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω,
οὔτ' ἐν γενείου ξυλλογῇ τριχώματος,
Δίκη προσεῖδε καὶ κατηξιώσατο·
οὐδ' ἐν πατρῴας μὴν χθονὸς κακουχίᾳ
οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας·
ἢ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος
Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας.
τούτοις πεποιθὼς εἶμι καὶ ξυστήσομαι
αὐτός· τίς ἄλλος μᾶλλον ἐνδικώτερος;
ΧΟ. μή, φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ
ὀργὴν ὅμοιος τῷ κάκιστ' αὐδωμένῳ·
ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις
ἐς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον·
ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος,
οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.
ΕΤ. εἴπερ κακὸν φέροι τις αἰσχύνης ἄτερ,
ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν·
κακῶν δὲ κᾀσχρῶν οὔτιν' εὔκλειαν ἐρεῖς.
ΧΟ. τί μέμονας, τέκνον; μή τί σε θυμοπλη-
θὴς δορίμαργος ἄτα φερέτω· κακοῦ δ'
ἔκβαλ' ἔρωτος ἀρχάν.
ΕΤ. ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός,
ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν

674. ἄρχοντί τ' ἄρχων καὶ κασιγνήτῳ κάσις,
ἐχθρὸς σὺν ἐχθρῷ στήσομαι. φέρ' ὡς τάχος
676. κνημῖδας, αἰχμῆς καὶ πετρῶν προβλήματα.

686—688. = 692—694.

613. eiecit D. 616. ἄθυμαν Turnebus] ἄθυμος 617. ὥς σφε] ὥσφε, σ inter ω et φ a m. rec. inserto. 622. φύει Wellauerus] φύσει, superscripto a m. recentissima φέρει. 623. ποδωκὲς (ποδῶκες) — βραδύνεται eiecit D. 626. δικαίας] ους (i. e. δικαίους) λόγους ἡμετέρους superscriptum a mano recentissima. 627. ἀμετέρας D.] ἡμετέρας *εὐτυχῇ] εὐτυχῆ 628. *δορίπονα] δοριπόνα ἐς addidit Hermannus praeeunte recente codicis correctore, qui εἰς super ἐπιμόλους scripsit. 629. πύργων] πύργω, N a m. pr. ut videtur. 631. τὸν πρὸς Heimsoethius] τόνδ' ἐφ'. πρὸς πύλαις est 570. 633. οἵας] ὅιας, literis ασ a m. recentissima scriptis. *ἀρᾶται] γ' ἀρᾶται 637. ἀτιμαστῆρ' ὅπως D.] ἀτιμαστῆρα τῶς pr., τῶς corr. Conf. 1015. ὡς ὄντ' ἀναστατῆρα. 638. τόν] τ' ἂν pr. ut videtur. 642. εὔθετον] εὔκυκλον, cum γρ. εὔθετον inter scholia. 645 ἡγουμένη] ἠσκημένη Butlerus. 647. *λέγει] λέξει. litera ἐ in litura literarum ει. 648. τ' ab διορθωτῇ additum. 649. καὶ δὴ λέλεκται πάντα τἀντεταλμένα] Hunc versum supplevit D., eiectis duobus, τοιαῦτ' — πέμπειν δόκει (accentus super o erasus). In apographis nonnullis δοκεῖς): quorum alter etiam aliis suspectus fuit, de quo dixit Halmius in Museo Rhen. 21. p. 334.

652. μέμψει Porsonus] μέμψῃ 654. *ἁμὸν] ἀμὸν 656. κλάειν Porsonus] κλαίειν 658. *Πολυνείκη] πολυνείκει, sed ει (in κει) in litura, ut videtur. 659. τοὐπίσημ'] τἀπίσημ' pr. *ὅπῃ] ὅποι 661. *σὺν φοίτῳ] συμφοίτω 664. οὔτε νιν] Literae ε et ν in litura. 666. ξυλλογῇ] σ super ξ a m. pr. 667. προσεῖδε ex scholiasta] προσεῖπε 668. *οὐδ'] οὔτ' 670. ἦ] ἢ m. recentior in margine. 674—676. Versus tres eiecit D.: secundum et tertium deleverat Prienus. 680. *χεῖρας] χέρας 681. αὐτοκτόνος] αὐτόκτονος pr. 684. ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν] Versus ab interpolatore fictus lacunam explente, cui fortasse obversabantur verba κέρδος πρότερον ὑστέρου μόρου v. 697. Aeschylum δεινὸν μὲν ἐστιν, ἀλλ' ὅμως ἔχει κλέος, vel simile quid, scripsisse ex versu proximo intelligitur. 685. κᾀσχρῶν D.] κ' ἀισχρῶν εὔκλείαν] εὔκλειαν M. 686. μέμονας] η super ο a m. recenti. *μή τι] μήτις 687. δορίμαργος] δορὶ μάργοσ (μαργοσ written above), recta scriptura supra versum ab alia m. ant. indicata. ἄτα] ἀτᾶ (η above), a m. ant. 688. ἔκβαλ' in ἔκβαλλ' mutatum ab διορθωτῇ.

Φοίβῳ στυγηθὲν πᾶν τό Λαΐου γένος.
ΧΟ. ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύ-
νει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν
αἵματος οὐ θεμιστοῦ.
ΕΤ. φίλου γάρ ἐχθρά μοι πατρὸς τάλαιν' ἀρά
ξηροῖς ἀκλαύτοις ὄμμασιν προσιζάνει,
λέγουσα κέρδος πρότερον ὑστέρου μόρου.
ΧΟ. ἀλλά σύ μή 'ποτρύνου· κακός οὐ κεκλή-
σει βίον εὖ κυρήσας· μελάναιγις οὐκ
εἶσι δόμων Ἐρινύς, ὅταν ἐκ χερῶν
θεοὶ θυσίαν δέχωνται.
ΕΤ. θεοῖς μὲν ἤδη πως παρημελήμεθα,
χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται·
τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον;
ΧΟ. νῦν ὅτε σοι παρέστακεν· ἐπεὶ δαίμων
λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλ-
λακτὸς ἴσως ἂν ἔλθοι θαλερωτέρῳ
πνεύματι· νῦν δ' ἔτι ζεῖ.
ΕΤ. ἐξέζεσεν γάρ Οἰδίπου κατεύγματα·
ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων
ὄψεις, πατρῴων χρημάτων δατήριοι.
ΧΟ. πιθοῦ γυναιξί, καίπερ οὐ στέργων ὅμως.
ΕΤ. λέγοιτ' ἂν ὧν ἄνη τις· οὐδὲ χρὴ μακράν.
ΧΟ. μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.
ΕΤ. τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.
ΧΟ. νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεός.
ΕΤ. οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.
ΧΟ. ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;
ΕΤ. θεῶν διδόντων οὐκ ἂν ἐκφύγοιν κακά.
ΧΟ. πέφρικα τὰν ὠλεσίοικον θεόν, οὐ θεοῖς ὁμοίαν
παναλαθῆ, κακόμαντιν πατρὸς εὐκταίαν Ἐρινὺν
τελέσαι τὰς περιθύμους κατάρας Οἰδιπόδα βλαψί-
φρονος·
παιδολέτωρ δ' ἔρις ἅδ' ὀτρύνει. [κος,
ξένος δὲ κλήρους ἐπινωμᾷ Χάλυβος Σκυθᾶν ἀποι-
κτεάνων χρηματοδαίτας πικρός, ὠμόφρων σίδαρος,
χθόνα ναίειν διαπήλας, ὁπόσαν καὶ φθιμένοισιν
κατέχειν,
τῶν μεγάλων πεδίων ἀμοίρους.
ἐπειδὰν αὐτοκτόνως
αὐτοδάικτοι θάνωσι,
καὶ γαῖα κόνις πίῃ
μελαμπαγὲς αἷμα φοίνιον,
τίς ἂν καθαρμοὺς πόροι,
τίς ἄν σφε λούσειεν; ὦ
πόνοι δόμων νέοι παλαιοῖσι συμμιγεῖς κακοῖς.
παλαιγενῆ γὰρ λέγω
παρβασίαν ὠκύποινον·
αἰῶνα δ' ἐς τρίτον μένει·
Ἀπόλλωνος εὖτε Λάιος
βίᾳ, τρὶς εἰπόντος ἐν
μεσομφάλοις Πυθικοῖς
χρηστηρίοις θνάσκοντα γέννας ἄτερ σῴζειν πόλιν,
κρατηθεὶς ἐκ φίλων ἀβουλιᾶν
ἐγείνατο μὲν μόρον αὐτῷ,
πατροκτόνον Οἰδιπόδαν, ὅστε ματρὸς ἁγνὰν
σπείρας ἄρουραν, ἵν' ἐτράφη,
ῥίζαν αἱματόεσσαν,
ἔτλα· παράνοια συνᾶγε
νυμφίους φρενώλεις.
κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει·
τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει
τρίχαλον, ὃ καὶ περὶ πρύμναν πόλεως καχλάζει.
μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου
τείνει πύργος ἐν εὔρει.
δέδοικα δὲ σὺν βασιλεῦσι
μὴ πόλις δαμασθῇ.
τέλειαι γὰρ παλαιφάτων ἀρᾶν
βαρεῖαι καταλλαγαί,
τὰ δ' ὀλοὰ πελόμεν' οὐ παρέρχεται.
πρόπρυμνα δ' ἐκβολὰν φέρει
ἀνδρῶν ἀλφηστᾶν ὄλβος ἄγαν παχυνθείς.
τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν
θεοὶ καὶ ξυνέστιοι
πόλεος ὁ πολύβοτός τ' αἰὼν βροτῶν,

698—701. = 705—708.

720—726. = 727—733.

734—741. = 742—749.

750—757. = 758—765.

766—771. = 772—777.

692. ἐξατρύνει] ἐπ super ἐξ a m. rec. 694. θεμιστοῦ] τ super στ a m. ant. 695. *ἐχθρά] αἰσχρά τάλαιν' I. Wordsworthos] τελεῖ (εία, ut videtur, superscripsit m. recentior). μέλαιν' Weilius, collato v. 832. 696. ἀκλαύτοις Blomfieldus] ἀκλαύστοις ὄμμασιν Porsonus] ὄμμασι 698. κεκλήσει Porsonus] κεκλήσηι 699. μελανοιγίς (debebat μελάναιγις) Arnaldus] μελανοιγίς δ' 700. οὐκ εἶσι δόμων (δόμους Bronckius)] ἔξεισι δόμων Weilius. ὅταν] ὅτ' ἄν, litera ὁ a m. recenti in ὃ mutata. ὅτου Prienus. 705. *σοι] σοὶ 706. *ἐν τροπαίᾳ] ἀντροπαῖα, accento ab alia m. superscripto. χρονίᾳ] χρόνια, altero accentu a m. paullo recentiore. 707. θαλερωτέρῳ] Literae λερ a m. antiqua in litura. θαλρωτέρωι pr. ut videtur. θελεμωτέρῳ Coningtonus. 711. δατήριοι] δοτήριοι, δα a m. ant. super δο scripto, et οι ex α vel αι facto. 712. πιθοῦ D.] πείθου *γυναιξί] γυναιξίν 713. ἄνη τις] ἂν ἦι τίσ pr. μακράν] ν ab διορθωτῇ additum. 716. Eteocli tribuit Weilius, indicato et ante et post hunc versum unius versus ab choro pronuntiati defectu. 719. ἐκφύγοιν Naeckius] ἐκφύγοις, οι a m. ant. super οις scripto. 721. παναλαθῆ D.] παναληθῆ (ῆ ex εῖ facto). 725. Οἰδιπόδα βλαψίφρονος Triclinius] βλαψίφρονος οἰδιπόδα 726. ἔρις ἅδ'] ἔρισδ' pr., ἔρισ ἅδ' ab alia m 727. κλήρους pr., ια κλήροις mutatum ab alia m. ἐπινωμᾷ] ἐπινωμᾶν pr., ἐπινωμᾶι ab διορθωτῇ. Σκυθᾶν D.] σκυθῶν, sed literae ῶν in litura literarum ut videtur άω, etsi hoc incertum est. Sic περσῶν codex pro Περσᾶν in eodem metro Pers. 91.

732. *φθιμένοισιν] φθιμένοισι 734. αὐτοκτόνως Triclinius] αὐτοκτόνωσιν pr., αὐτοὶ κτάνωσιν rec. 736. γαῖα Hermannus ex glossa Hesychii γαῖα κόνις: ἡ γῆ (ubi codex γαῖα ἡ κόνις καὶ ἡ γῆ)] χθονία 738. *καθαρμοὺς] καθαρμα, litera ultima in litura, ut videtur, diphthongi οῦ: super α a m. recentiore όν, ut in apographis quibusdam καθαρμόν 740. *παλαιοῖσι] παλαιοῖς 743. παρβασίαν Porsonus] παροβασίαν ὠκύποινον] ι ab διορθωτῇ insertum. 748. θνάσκοντα] θνάισκοντα, litera ι erasa. 750. κρατηθεὶς] κρατηθεὶς δ' M. δ' delevit Porsonus nec videtur legisse scholiasta. ἀβουλιᾶν D.] ἀβουλίαν M. Genitivum legisse videtur scholiasta qui explicat κρατηθεὶς ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν. 751. *ἐγείνατο] γείνατο

.α.

756. ἔτλα] ἔτλη M. παράνοια] παρανοία pr. Correxit διορθωτής. συνᾶγε Blomfieldus] σύναγε pr.
ἀγ
συνάγε a m. rec. 757. φρενώλεις] φρενώλης pr., ει superscr. a m. rec. 759. πίτνον Brunckius] πιτνόν 764. σὺν βασιλεῦσι] συμβαλεῦσι, σι ab alia m. super α scripto. 766. τέλειαι pr. τέλεια, αι ab alia m. superscripto. ἀρᾶν Engerus] ἀραι sine accento. 768. πελόμεν'] τελόμεν' a m. rec. 769. ἐκβολὰν] ἐκβολῶν pr. 774. πόλεος ὁ πολύβοτος D.] πόλεως πο-

ὅσον τότ' Οἰδίπουν τίον,
τὰν ἁρπαξάνδραν
κῆρ' ἀφελόντα χώρας;
ἐπεὶ δ' ἀρτίφρων
ἐγένετο μέλεος ἀθλίων
γάμων, ἐπ' ἄλγει δυσφορῶν
μαινομένᾳ κραδίᾳ
δίδυμα κάκ' ἐτέλεσεν·
πατροφόνῳ χερὶ τῶν
κρεισσοτέκνων ὀμμάτων ἐπλάγχθη·
τέκνοισιν δ' ἀρὰς
ἐφῆκεν ἐπικότους τροφᾶς,
αἰαῖ, πικρογλώσσους ἀράς,
καί σφε σιδαρονόμῳ
διὰ χερί ποτε λαχεῖν
κτήματα· νῦν δὲ τρέω
μὴ τελέσῃ καμψίπους Ἐρινύς.
ΑΓ. θαρσεῖτε, παῖδες μητέρων τεθραμμέναι
⏑ ⏓ ⏑ – ⏑ ⏓ ⏑ – ⏑ ⏓ ⏑ –
πόλις πέφευγεν ἥδε δούλιον ζυγόν·
πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάσματα·
πόλις δ' ἐν εὐδίᾳ τε καὶ κλυδωνίου
πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.
στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφαρξάμεσθα μονομάχοισι προστάταις·
καλῶς δ' ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασιν·
τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτης
ἄναξ Ἀπόλλων εἷλετ', Οἰδίπου γένει
κραίνων παλαιὰς Λαΐου δυσβουλίας.
ΧΟ. τί δ' ἐστὶ πρᾶγμα νεόκοτον πόλει πάλιν;
ΑΓ. ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.
ΧΟ. τίνες; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.
ΑΓ. φρονοῦσα νῦν ἄκουσον· Οἰδίπου τόκω
ΧΟ. οἲ 'γὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.
ΑΓ. οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι.
ΧΟ. ἐκεῖθι κεῖσθον; βαρέα δ' οὖν ὅμως φράσον.
ΑΓ. οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν.
ΧΟ. οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.
ΑΓ. αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·
πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,
δισσὼ στρατηγὼ διέλαχον σφυρηλάτῳ
Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.
[ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονός,
πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.
πόλις σέσωσται· βασιλέοιν δ' ὁμοσπόροιν
πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.]
ΧΟ. ὦ μεγάλε Ζεῦ καὶ πολισσοῦχοι
δαίμονες, οἳ δὴ Κάδμου πύργους
τούσδε ῥύεσθε ⏑ ⏑ ⏓ ⏑ ⏑ ⏓,
πότερον χαίρω κἀπολολύξω
πόλεως ἀσινεῖ σωτῆρι τύχῃ,
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχους;
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
⏑ ⏑ ⏓ ⏑ ⏑ ⏓ καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ.
ὦ μέλαινα καὶ τελεία
γένεος Οἰδίπου τ' ἀρά,
κακόν με καρδίαν τι περιπίτνει κρύος.
ἔτευξα τύμβῳ μέλος
Θυιάς, αἱματοσταγεῖς [ἅδε ξυναυλία δορός.
νεκροὺς κλύουσα δυσμόρως θανόντας· ἦ δύσορνις
ἐξέπραξεν, οὐδ' ἀπεῖπεν
πατρόθεν εὐκταία φάτις·
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.
μέριμνα δ' ἀμφὶ πτόλιν·
θέσφατ' οὐκ ἀμβλύνεται.
ἰὼ πολύστονοι, τόδ' εἰργάσασθ' ἄπιστον· ἦλθε δ'
αἰακτὰ πήματ' οὐ λόγῳ.
– ⏓ ⏑ – ⏑, – ⏓ ⏑ ⏓ ⏑
τάδ' αὐτόδηλα· προὖπτος ἀγγέλου λόγος·
διπλαῖ μέριμναι, δίδυμ' ἀγανόρεα κακὰ
αὐτοφόνα, δίμορα τέλεα τάδε πάθη. τί φῶ;
τί δ' ἄλλο γ' ἢ πόνοι δόμων ἐφέστιοι;
– ⏓ ⏑ – ⏑, ⏑ ⏓ ⏑ – ⏑
ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον
ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν

804. ΑΓ. πόλις σέσωσται, βασιλέες δ' ὁμόσποροι.

778—784. = 785—791.

832—839. = 840—847.

848—853. = 854—860.

λύβοτος πολύβοτος] Scholiasta, ὁ ὑπὸ πολλῶν ἐμβατευόμενος ἀνδρῶν, ἢ ὁ ἐπὶ πολὺ ἐκτεινόμενος: quarum explicationum prior ad πολύβατος spectat (unde πολύβατός τ' ἀγὼν Weilius), altera ad πολύτατος.
776. τὰν ἁρπαξάνδραν Hermannus] ἀνορποξάνδρον
779. ἐγένετο] ἔγεντο Arnaldus. 781. κραδίᾳ Turnebus] καρδίᾳ 784. κρεισσοτέκνων (ο in ω mutatum ab διορθωτῇ)] κυρσοτέκνων Hermannus. ὀμμάτων Blomfieldus] δ' ἀπ' ὀμμάτων 785. τέκνοισιν δ' ἀρὰς Hermannus] τέκνοις δ' ἀραίας 786. τροφᾶς] Incertum utrum hoc an τροφάς voluerit librarius. τροφάς in apographis plerisque. 789. διὰ χερί Porsonus] διοχειρίαι 792. Post haec verba unius versus defectum indicavit Weilius: quae probabilior est sententia quam aliorum interpretandi conatus. 793. *δούλιον] δούλειον 794. *πέπτωκεν] πέπτωκεν δ' 795. εὐδίᾳ τε] εὐδίᾳ 'στὶ Blomfieldus. 798. ἐφαρξάμεσθα D.] ἐφραξάμεσθα 799. δ' supra versum ab alia m.
803. πρᾶγμα] *πρᾶγος πάλιν D.] πλέον (*παρόν)
804. eiecit Porsonus. βασιλέες] βασιλέως pr. superscripto εἰς a m. rec. 805. ἄνδρες D.] ἄνδρες *χερῶν] χειρων αὐτοκτόνων] αὐτομάτων, superscripto ab διορθωτῇ κτόνων: unde αὐτοκτόνων in apographis omnibus. αὐτοκτόνων quum διορθωτοῦ coniectura sit, etiam αὐθαιρέτων conicere licet. 807. τόκω D.] τόκος, cui γένος superscripsit διορθωτής. 808. οἲ 'γὼ Canterus] οἲ ἐγὼ 810. κεῖσθον] Literis εισ ab διορθωτῇ superscr. ΗΛ, i. e. κῆλθον, coniectura non minus suspecta quam κηξίωσας, quod ab correctore illatum est Eurip. Med. 1367. in duobus codicibus interpolatis.
811. ἀδελφαῖς] ὁμαίμοις Weilius. 313. δ'] γ' superscr. ab alia m. 814. δακρύεσθαι] σ ab alia m. supra ε. 817. κτημάτων] δωμάτων Nauckius (*Mélanges Gréco-Romains* II. 1863. p. 437.) 818. 819. seclusit D., 820. 821. Butlerus. 818. χθονός] χθόνα Brunckius. 820. *βασιλέοιν] βασιλείοιν 821. γαῖ'] γᾶν ab διορθωτῇ, ut videtur. 822. πολιοῦχοι Burtonus] πολισσοῦχοι 824. τούσδε ῥύεσθε] τοὺς δ' ἐρύεσθαι: quod correxit διορθωτής. Lacunam indicavit D.
826. τύχῃ addidit D. 830. Lacunam indicavit Hermannus. Exciderunt verba ad Ἐτεοκλέους nominis significationem spectantia, ut πολυνεικεῖς ad Πολυνείκους nomen spectat. 833. Οἰδίπου τ'] Scriptura suspecta propter τε et molossum (εὐκταία) in versu antistrophico 841. 834. *καρδίαν] καρδίαι τι] Ex τε factum. περιπίτνει pr. περιπιτνεῖ a m. rec.
836. *δυσμόρως] δυσφόρως 847. Lacunam post 817. et 853. indicavit Weilius. 849. δίδυμ' ἀγανόρεα κακὰ Hermannus] δίδυμ' (διδύμ' pr.) ἀγανορέα κάκ' (κάκ' in initio versus proximi collocato). δίδυμ' ἀγανόρει' ἄχη Weilius. 850. δίμορα τέλεα Hermannus] δίμοιρα τέλεια *τάδε] τὰ 853. δόμων] πόνων (πόνον pr.) δόμων. πόνων deletum in Robortelli editione, quae male δομάτων. 854. *γόων] γόον

πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται
τὰν ναύστολον μελάγκροκον θεωρίδα,
τὰν ἀστιβῆ 'πόλλωνι, τὰν ἀνάλιον,
πάνδοκον εἰς ἀφανῆ τε χέρσον.
ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος
πικρὸν Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη,
θρῆνον ἀδελφοῖν· οὐκ ἀμφιβόλως
οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων
στηθέων ἥσειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης
τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος
ἀχεῖν Ἀΐδα τ'
ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.
ἰὼ ἰώ,
δυσαδελφόταται πασῶν ὁπόσαι
στρόφον ἐσθῆσιν περιβάλλονται,
κλάω, στένομαι, καὶ δόλος οὐδεὶς
μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ ἰὼ δύσφρονες,
φίλων ἄπιστοι καὶ κακῶν ἀτρύμονες,
πατρῴους δόμους ἑλόντες μέλεοι σὺν ἀλκᾷ.

ΧΟ. μέλεοι δῆθ' οἳ μελέους θανάτους
ηὕροντο δόμων ἐπὶ λύμῃ.

ΙΣΜΗΝΗ.

ἰὼ ἰὼ δωμάτων
ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας
ἰδόντες, τί δὴ διήλλαχθε σὺν σιδάρῳ;

ΧΟ. κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδου
πότνι' Ἐρινὺς ἐπέκρανεν.

ΑΝ. δι' εὐωνύμων τετυμμένοι,
τετυμμένοι δῆθ', ὁμοσπλάγχνων τε πλευρωμάτων
⏑ ⏑́ ⏑ ⏑ ⏑ ⏑ –́
αἰαῖ δαιμόνιοι,
αἰαῖ δ' ἀντιφόνων
ἐκ θανάτων ἀραί.

ΧΟ. διανταίαν λέγεις δόμοισι καὶ
σώμασιν πεπλαγμένους,
ἀναυδάτῳ μένει
ἀραίῳ τ' ἐκ πατρὸς
διχόφρονι πότμῳ.

ΙΣ. διήκει δὲ καὶ πόλιν στόνος,
στένουσι πύργοι, στένει πέδον φίλανδρον· μενεῖ
κτέανά τ' ἐπιγόνοις,
δι' ὧν αἰνομόροις,
δι' ὧν νεῖκος ἔβα
καὶ θανάτου τέλος.

ΧΟ. ἐμοιράσαντο δ' ὀξυκάρδιοι
κτήμαθ', ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὐκ
ἀμεμφία φίλοις,
οὐδ' εὔχαρις Ἄρης.

ΑΝ. σιδαρόπλακτοι μὲν ὧδ' ἔχουσι,
σιδαρόπλακτοι δὲ τοὺς μένουσι,
τάχ' ἄν τις εἴποι, τίνες;
τάφων πατρῴων λαχαί.

ΧΟ. δόμων μάλ' ἀχὰν ἐς οὓς προπέμπει
δαϊκτὴρ γόος αὐτόστονος, αὐτοπήμων,
δαϊόφρων, οὐ φιλογαθής, ἐτύμως δακρυχέων ἐκ
φρενός, ἃ
κλαομένας μου μινύθει τοῖνδε δυοῖν ἀνάκτοιν.

ΙΣ. πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν
ὡς ἐρξάτην πολλὰ μὲν πολίτας,
ξένων τε πάντων στίχας
πολυφθόρους ἐν δαΐ.

ΧΟ. ἰὼ δυσαίων σφὶν ἁ τεκοῦσα
πρὸ πασᾶν ὁπόσαι τεκνογόνοι κέκληνται.
παῖδα τὸν αὐτᾶς πόσιν αὐτᾷ θεμένα τούσδ' ἔτεχ',
οἱ δ' ὧδ' ἐτελεύ-
τασαν ὑπ' ἀλλαλοφόνοις χερσὶν ὁμοσπόροισιν.

ΑΝ. ὁμόσποροι δῆτα καὶ πανώλεθροι,
διαρταμαῖς οὐ φίλαις,
ἔριδι μαινομένᾳ, νείκεος ἐν τελευτᾷ.

ΧΟ. πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
ζόα φονορύτῳ
μέμικται· κάρτα δ' εἴσ' ὅμαιμοι.
πικρὸς λυτὴρ νεικέων
ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθείς

874—879. = 880—887.

888—899. = 900—910.

911—921. = 922—933.

934—946. — 947—960.

857. τὰν ναύστολον μελάγκροκον D.] τὰν ἄστονον μελάγκροκον ναύστολον M. Verba ναύστολον μελάγκροκον θεωρίδα ex hoc loco attulit Thomas Mag. s. v. θεωρός p. 181, 10. ed. Ritsch. 859. 'πόλλωνι Pauwius] ἀπόλλωνι 860. ἀφανῆ] Suspecta syllaba prima brevis. δυσφανῆ Boeckhius. 868. ἀχεῖν D.] ἰαχεῖν Ἀΐδα] ἀΐδα M. 870—874. His coryphaei versibus praescriptum in M τὸ ἕτερον μέρος τοῦ χοροῦ. ἰώ, quod in M semel legitur, duplicavi. 872. κλάω Porsonus] κλαίω 874. ΑΝΤΙΓΟΝΗ] ἡμιχο (ο super χ hic et infra scripto), i.e. ἡμιχόριον M. Antigonae et Ismenae nomina hic et infra restituit Weilius, praeeunte Bergkio in Lentschii Philologo vol. 12. p. 579. 877. ἀλκᾷ] γρ. αἰχμᾷ margo M ab διορθωτῇ. 878. ΧΟ. Weilius] ἡμιχο. 879. ηὕροντο D.] εὕροντο 880. ΙΣΜΗΝΗ Weilius] ἡμιχο 881. *ἐρειψίτοιχοι] ἐρριψίτοιχοι 884. τί δὴ Lachmannus] ἤδη 885. Post σιδάρῳ in M librarii culpa scholion irrepsit, uno versu perscriptum, οὐκ ἔτ' ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε. Delevit Triclinius. 886. ΧΟ. addidit Weilius. 888. ΑΝ. addidit Weilius. 889. *δῆθ'] δῆτα 890. Lacunam post hunc versum indicavit Elmsleius. 892. 893. αἰαῖ D.] αἶ αἶ utrobique. 894. ἐκ addidit Lachmannus. 895. ΧΟ. Weilius] ἡμιχο διανταίαν λέγεις πλαγάν | — (lineola mutatae personae index) δόμοισι καὶ σώμασιν | — (lineola erasa) πεπλαγμένους ἐννέπω (alterum ν ab διορθωτῇ) M. πλαγὰν et ἐννέπω delevit Elmsleius.

897. ἡμιχο praescriptum in M, omissum in apogr. Guelf. 900. ΙΣ. Weilius] ἡμιχο 906. ΧΟ. addidit Weilius. 908. ὥστ' ἴσον] ὥσθ' (τ a m. rec.) ἶσον 910. εὔχαρις D.] ἐπίχαρις 911. ΑΝ. Weilius] ἡμιχο σιδαρόπλακτοι Robortellus] σιδηρόπληκτοι 912. σιδαρόπλακτοι Robortellus] σιδαρόπληκτοι Post hunc versum in M τετυμμένοι δῆθ' ὁμοῦ, quae ex v. 889. sunt repetita. 914. λαχαί] Paroxytonum ap. Hesychium, Λάχη: λῆξις, ἀποκλήρωσις. 915. ΧΟ. Weilius] ἡμιχο ἀχὰν ἐς οὓς Elmsleius] ἀχάεσσα τοὺς 918. δαϊόφρων Blomfieldus] δαΐφρων οὐ Aldus. δ' οὐ φιλογαθής] ο ex α factum. 919. ἐκ Aldus] δ' ἐκ 920. κλαομένας Porsonus] κλαιομένας *δυοῖν] δοιοῖν 923. ΙΣ. Weilius] ἡμιχο *πάρεστι] πάρεστιν 924. *πολίτας] πολίταις 927. ΧΟ. Weilius] ἡμιχο ἰὼ addidit D. δυσαίων D.] δυσδαίμων *ἁ] ἡ 928. πρὸ πασᾶν D.] προπασᾶν (ᾶ in ῶ mutatum a m. rec.) γυναικῶν 934. ΑΝ. Weilius] ΙΣΜ (η superscr.) 935. διαρταμαῖς E. A. Ahrens] διατομαῖς 937. ΧΟ. addidit Weilius. 938. ζόα D.] ζοά φονορύτῳ Blomfieldus] φονορρύτῳ 941. πικρὸς] Χ praescriptum in marg. M, recte omissum in apogr. nonnullis.

θηκτὸς σίδαρος· πικρὸς δὲ χρημάτων
κακὸς δατητὰς Ἄρης
ἀρὰν πατρῴαν τιθεὶς ἀλαθῆ.
ΙΣ. ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι,
διοσδότων ἀχθέων·
ὑπὸ δὲ σώματι γᾶς πλοῦτος ἄβυσσος ἔσται.
ΧΟ. ἰὼ πολλοῖς ἐπανθίσαντες
πόνοισι γενεάν·
τελευταῖαι δ' ἐπηλάλαξαν
Ἀραὶ τὸν ὀξὺν νόμον,
τετραμμένου παντρόπῳ φυγᾷ γένους.
ἕστακε δ' Ἄτας τροπαῖον ἐν πύλαις,
ἐν αἷς ἐθείνοντο, καὶ
δυοῖν κρατήσας ἔληξε δαίμων.
ΑΝ. παισθεὶς ἔπαισας.
ΙΣ. θάνες κατακτάς.
ΑΝ. δορὶ δ' ἔκανες. ΙΣ. δορὶ δ' ἔθανες.
ΑΝ. μελεόπονος. ΙΣ. μελεοπαθής.
ΑΝ. ἴτω γόος. ΙΣ. ἴτω δάκρυ.
ΑΝ. πρόκεισαι ΙΣ. κατακτάς.
ΑΝ. ἐὴ ἐή. ΙΣ. ἐὴ ἐή.
ΑΝ. μαίνεται γόοισι φρήν.
ΙΣ. ἐν δὲ καρδία στένει.
ΑΝ. ἰὼ ἰὼ πάνδυρτε σύ.
ΙΣ. σὺ δ' αὖτε καὶ πανάθλιε.
ΑΝ. πρὸς φίλου ἔφθισο ΙΣ. καὶ φίλον ἔκτανες.
ΑΝ. διπλᾶ λέγειν. ΙΣ. διπλᾶ δ' ὁρᾶν.
ΑΝ. ἀχέων τοίων τάδ' ἐγγύθεν.
ΙΣ. πέλας δ' αἵδ' ἀδελφαὶ ἀδελφεῶν.
ΧΟ. ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.
ΑΝ. ἐὴ ἐή. ΙΣ. ἐὴ ἐή.
ΑΝ. δυσθέατα πήματα
ΙΣ. τόνδ' ἐδέξατ' ἐκ φυγᾶς.
ΑΝ. οὐδ' ἵκεθ' ὡς κατέκτανεν,
ΙΣ. σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν.
ΑΝ. ὤλεσε δὴ τόδε ΙΣ. καὶ τόδ' ἐνόσφισεν.
ΑΝ. τάλαν γένος. ΙΣ. τάλαν πάθος.
ΑΝ. δύστονα κήδε' ὁμώνυμα.
ΙΣ. δίυγρα τριπάλτων πημάτων.
ΧΟ. ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.
ΑΝ. σύ τοί νιν οἶσθα διαπερῶν,
ΙΣ. σὺ δ' οὐδὲν ὕστερος μαθών,
ΑΝ. ἐπεὶ κατῆλθες ἐς πόλιν,
ΙΣ. δορός γε τῷδ' ἀντηρέτας.
ΑΝ. ὀλοὰ λέγειν. ΙΣ. ὀλοὰ δ' ὁρᾶν.
ΑΝ. ἰὼ πόνος, ΙΣ. ἰὼ κακά,
ΑΝ. δώμασι καὶ χθονί, ΙΣ. καὶ τὸ πρόσω γ' ἐμοί.
ΑΝ. ἰὼ ἰώ, δυστάνων κακῶν ἄναξ.
ΙΣ. πάντων πολυστονώτατοι.
ΑΝ. ἰὼ ἰώ, δαιμονῶντες ἐν ἄτᾳ.
ΙΣ. ἰὼ ἰώ, πού σφε θήσομεν χθονός;
ΑΝ. ὅπου τὸ τιμιώτατον.
ΙΣ. ἰὼ ἰώ, πῆμα πατρὶ πάρευνον.

966—977. = 978—989.

ΚΗΡΥΞ.

δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
δήμου προβούλοις τῆσδε Καδμείας πόλεως·
Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·
στέγων γὰρ ἐχθροὺς θάνατον εἵλετ' ἐν πόλει,
ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ
τέθνηκεν οὗπερ τοῖς νέοις θνήσκειν καλόν.
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν·
τούτου δ' ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν,
ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε
στράτευμ' ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν.
οὕτω πετηνῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν,
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα
μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο.
τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.
ΑΝ. ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,

946. ἀρὰν] ἀρᾶ pr., ἀρὰν ab διορθωτῇ. πατρῴαν Bothius] πατρός (.α. supra) ἀλαθῆ] ἀληθῆ (τ supra) 947. *ΙΣ.] αν in margine. *ὦ μέλεοι] ὦ om. 948. ἀχθέων Hermannus] ἀχέων 951. ΧΟ. Weilius] ΙCΜ (H supra) in margine. ἐπανθίσαντες Bothius] ἐπανθήσαντες 952. γενεάν] Versum πόνοισι (σι supra) γε δόμους (σι a m. recentissima) addit M. Delevit D. 953. τελευταῖαι δ' E. A. Ahrens] τελευτᾷ δ' ἀϊδ' (αἶδ' a m. rec.) 957. ἕστακε δ'] ἕστακεν δ', δ' ab διορθωτῇ supra versum addito. τροπαῖον] τρόπαιον 961. ΑΝ.—ΙΣ. Aldus] ΙCΜ (H supra) — ANT. In sequentibus personarum vices plerumque lineolis sunt indicatae. παισθεὶς] πληγεὶς Nauckius in *Mélanges Gréco-Romains* vol. 2. p. 469. ἔθανες (debebat θάνες) κατακτὰς Lachmannus] σὺ δ' ἔθανες κατακτανών 962. ἔκανες Hermannus] ἔκτανες 964. δάκρυ Lachmannus] δάκρυα 965. πρόκεισαι Hermannus] προσκείσεται, σ priore eraso. 966. ΑΝ. ἐὴ ἐή. ΙΣ. ἐὴ ἐή. D.] ἀντ. ἠὲ ἠέ. ΑΝ. μαίνεται] ΑΝ. om 967. ἐν Burneius] ἐντὸς 969. πάνδυρτε Ritschelius] πανδάκρυτε 970. φίλου Blomfieldus] φίλου γ' 973. 974. Versus corrupti et interpolati. Fuerunt iambici dimetri duo. 973. ἀχέων] Inter α et χ litera una erasa. τοίων] ω ex ο factum. 976. 988 σκιά, μέλαιν'] σκιᾶς μέλαιν' D. 977. 989. μέλαιν' Porsonus] μέλαινά τ' 978. ΑΝ. ἐὴ ἐή. ΙΣ. ἐὴ ἐή. D.] ἠὲ ἠέ, lineola praefixa 979. τόνδ' addidit Weilius. ἐδέξατ' Weilius] ἐδείξατ' φυγᾶς Robortellus] φυγᾶς ἐμοί

982. ὤλεσε δὴ τόδε. καὶ τόδ' Wellauerus] ἀπώλεσεν δῆτα. καὶ τόνδ' 983. τάλαν πάθος Schuetzius] τάλανα καὶ παθόν 984. 985. Versus corrupti et interpolati. Sensus tale quid postulat, ΑΝ. δύστανος ἁ κηδεμονία. | ΙΣ. λυγρὰ τριπάλτων (διπάλτων Hermannus) πημάτων. Post πημάτων in M additum — ὀλοὰ λέγειν. — ὀλοὰ δ' ὁρᾶν. quae ex v. 994. illata delevit Triclinius. 990. *τοί νιν] τοίνυν M. In apographo uno γρ. νίν. 995. *ἰὼ κακά] ἰὼ ἰὼ κακά 996. *δώμασι] δώμασιν χθονί Hartungus] χθονί, πρὸ πάντων δ' ἐμοί 997. *δυστόνων] δυστάνων κακῶν] Super κακῶν signum (ϛ̈) posuit διορθωτής, ad quod referuntur verba ab eo in margine literis capitalibus adscripta Ἐτεόκλεις ἀρχηγέτα. 1000. πάντων D.] ἰὼ πάντων M. Aut ἰὼ aut πάντων delendum. Versibus 999—1001. respondent 1002—1004. πολυστονώτατοι] πολυπονώτατοι M. πολυστονώτατοι πάντων Robortelli editio. 1001. *ἰὼ ἰὼ] ἰὼ 1002. Alterum ἰὼ addidit διορθωτής. 1003. ὅπου τὸ D.] ἰὼ ὅπου 1009. στέγων Wakefieldus] στυγῶν, cum gl. εἴργων δηλονότι. 1010. δ' ab διορθωτῇ additum. 1022. χειρώματα suspectum. 1025. τῷδε] ἐς τόνδε Halmius.

ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ
θάψασ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι
ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν
ψυχή, θανόντι ζῶσα συγγόνῳ φρενί.
τούτου δὲ σάρκας – ⏑ – ⏑ –́ ⏑ –
⏑ –́ ⏑ – ⏑ οὐδὲ κοιλογάστορες
λύκοι σπάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγώ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι
⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ –
κόλπῳ φέρουσα βυσσίνου πεπλώματος.
καὐτὴ καλύψω, μηδέ τῳ δόξῃ πάλιν·
θάρσει παρέσται μηχανὴ δραστήριος.
ΚΗ. αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τάδε.
ΑΝ. αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.
ΚΗ. τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.
ΑΝ. τράχυν'· ἄθαπτος δ' οὗτος οὐ γενήσεται.
ΚΗ. ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;
ΑΝ. ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς.
ΚΗ. οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.
ΑΝ. παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.
ΚΗ. ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.
ΑΝ. [ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.]
ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.
ΚΗ. ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

ΧΟ. φεῦ φεῦ.
ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἵτ' Οἰδιπόδα
γένος ὠλέσατε πρέμνοθεν οὕτως,
τί πάθω; τί δὲ δρῶ: τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σὲ κλάειν
μήτε προπέμπειν ἐπὶ τύμβῳ;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολιτῶν.
σύ γε μὴν πολλῶν πενθητήρων
τεύξει· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσιν. τίς ἂν οὖν τὰ πίθοιτο;
ΗΜ. δράτω τι πόλις καὶ μὴ δράτω
τοὺς κλάοντας Πολυνείκη.
ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν
αἵδε προπομποί. καὶ γὰρ γενεᾷ
κοινὸν τόδ' ἄχος, καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.
ΗΜ. ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μἀνατραπῆναι μηδ' ἀλλοδαπῶν
κύματι φωτῶν κατακλυσθῆν.

1066—1071. — 1072—1077.

1033. *κακῶν] κακῶι, ab correctore factum ex κακοῦ vel alia terminatione. 1035. *τούτου] τούτω Lacunam post σάρκας, quam prodit οὐδέ, indicavit Prienus. 1036. σπάσονται] In πάσονται mutatum ab correctore. Glossema superscriptum γεύσονται. 1037. αὐτὴ Piersonus] αὐτῶ 1038. Unius versus defectum post μηχανήσομαι indicavit Prienus. 1047. διατετίμηται] Corruptum. δίχα τετίμηται Weilius. 1051. Hunc versum seclusit Blomfieldus. Huic versui et proximo lineola praefixa in M. 1053. ΧΟ. Pauwius] ἡμιχ°

1056. πρέμνοθεν Is. Vossius] πρυμνόθεν 1057. Lineola (ἡμιχ° significans) praefixa in M. *δρῶ] δ' ἐρῶ μήσωμαι] Ex μήσομαι factum. 1058. *κλάειν] κλαίειν 1059. τύμβῳ] *τύμβον 1061. δεῖμα] λῆμα Meinekius ad Soph. Oed. Col. p. 251. 1063. τεύξει Porsonus] τεύξῃ 1065. *πίθοιτο] πείθοιτο 1066. δράτω] Lineola praefixa in M. τι addidit Elmsleius. 1067. κλάοντας Porsonus] κλαίοντας 1068. μὲν Victorius] γὰρ M. μὲν γὰρ apographa nonnulla. 1072. ΗΜ.] ἡμιχ° 1076. μἀνατραπῆναι D.] μὴ ἀνατραπῆναι *ἀλλοδαπῶν] ἀλλοδαπῶι 1077. κατακλυσθῆν L. Dindorfius] κατακλυσθῆναι τὰ μάλιστα

ΑΙΣΧΥΛΟΥ ΠΕΡΣΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.
ΑΤΟΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ.
ΞΕΡΞΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν φησὶ Φρυνίχου τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην,

Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων.

πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν τοῦ Ξέρξου ἧτταν, στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις, ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου. ἡ δὲ ὑπόθεσις, Ξέρξης στρατευσάμενος κατὰ τῆς Ἑλλάδος μετὰ δυνάμεως πολλῆς, ἵππον μὲν ἄμετρον ἐπαγόμενος, ναῦς δὲ χιλίας διακοσίας ἑπτά, ἢ καὶ δεκατέσσαρας· καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, καὶ διὰ Θεσσαλίας φεύγων διεπεραιώθη εἰς τὴν Ἀσίαν.

Ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ[a], Προμηθεῖ.

---

[a] Γλαύκῳ] Ποτνιεῖ addidit scholiasta recentior, ποντίῳ Welckerus. In didascaliis solum positum fuit Glauci nomen, ut Προμηθεῖ scriptum fuit, omisso πυρφόρου nomine, quo grammatici drama hoc satyricum ab duabus distinxerunt tragoediis, quae Προμηθεὺς δεσμώτης et Προμηθεὺς λυόμενος inscriptae sunt. De qua ratione dixi in Annotationibus ad Sophoclem p. 277. ed. Oxon. a. 1836.

ΧΟΡΟΣ.

Τάδε μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται,
καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
ἑδράνων φύλακες, κατὰ πρεσβείαν
οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς
Δαρειογενὴς
εἵλετο χώρας ἐφορεύειν.
ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
καὶ πολυχρύσου στρατιᾶς ἤδη
κακόμαντις ἄγαν ὀρσολοπεῖται
θυμὸς ἔσωθεν,
πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς

Persarum v. 1—705., quos continet codicis Medicei quaternio ις΄, ab eadem manu scripti sunt quae septem scripsit Sophoclis tragoedias quaternionibus α΄ — ιε΄. Reliquos inde ab ιζ΄ quaterniones altera manus scripsit.

2. *πιστὰ] πίστο. Recte schol. οἱ ὑπομνηματισάμενοί φασιν ὅτι ἑαυτοὺς λέγουσιν πιστώματα (sic v. 171.) Περσῶν οἱ κατὰ τὸν χορόν, sed addito commento perabsurdo, ἀγνοοῦσι δὲ ὅτι πόλις ἐστὶ Περσικὴ Πίστειρα, ἣν συγκόψας Πιστὰ (Πίστο) ἔφη.

6. Δαρειογενὴς Triclinius] δαρειογενὴς υἱός, illato glossemate. 9. *πολυχρύσου στρατιᾶς] πολυχρύσους στρατιᾶς πολυχρύσου] Aptius huic loco esse πολύχειρος (quod legitur v. 82.) monet Weilius.

ᾤχωκε, νέον δ' ἄνδρα βαΰζει,
κοὔτε τις ἄγγελος οὔτε τις ἱππεὺς
ἄστυ τὸ Περσῶν ἀφικνεῖται·
οἵτε τὸ Σούσων ἠδ' Ἀγβατάνων
καὶ τὸ παλαιὸν Κίσσιον ἕρκος
προλιπόντες ἔβαν,
οἱ μὲν ἐφ' ἵππων, οἱ δ' ἐπὶ ναῶν,
πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης ἠδ' Ἀρταφρένης
καὶ Μεγαβάτης ἠδ' Ἀστάσπης,
ταγοὶ Περσῶν,
βασιλῆς βασιλέως ὕποχοι μεγάλου,
σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
τοξοδάμαντές τ' ἠδ' ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην
ψυχῆς εὐτλήμονι δόξῃ·
Ἀρτεμβάρης θ' ἱππιοχάρμης
καὶ Μασίστρης, ὅ τε τοξοδάμας
ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ',
ἵππων τ' ἐλατὴρ Σοσθάνης.
ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων
Νεῖλος ἔπεμψεν· Σουσισκάνης,
Πηγασταγὼν Αἰγυπτογενής,
ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
μέγας Ἀρσάμης, τάς τ' ὠγυγίους
Θήβας ἐφέπων Ἀριόμαρδος,
καὶ ἑλειοβάται ναῶν ἐρέται
δεινοὶ πλῆθός τ' ἀνάριθμοι.
ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς
κατέχουσιν ἔθνος, τοὺς Μιτρογάθης
Ἀρκτεύς τ' ἀγαθός, βασιλῆς δίοποι,
καὶ πολύχρυσοι Σάρδεις ἐπόχους
πολλοῖς ἅρμασιν ἐξορμῶσιν,
δίρρυμά τε καὶ τρίρρυμα τέλη,
φοβερὰν ὄψιν προσιδέσθαι.
στεῦται δ' ἱεροῦ Τμώλου πελάται
ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες,
καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν δ'
ἡ πολύχρυσος πάμμικτον ὄχλον
πέμπει σύρδην, ναῶν τ' ἐπόχους
τοξουλκῷ λήματι πιστούς·
τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται
δειναῖς βασιλέως ὑπὸ πομπαῖς.
τοιόνδ' ἄνθος Περσίδος αἴας
οἴχεται ἀνδρῶν,
οὓς πέρι πᾶσα χθὼν Ἀσιᾶτις
θρέψασα πόθῳ στένεται μαλερῷ
τοκέες τ' ἄλοχοί θ' ἡμερολεγδὸν
τείνοντα χρόνον τρομέονται.
πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη
βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν,
λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας,
πολύγομφον ὅδισμα ζυγὸν ἀμφιβαλὼν αὐχένι
πόντου.
πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων 73
ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει 74.75
διχόθεν, πεζονόμοις ἔκ τε θαλάσσας
ἐχυροῖσι πεποιθὼς [φώς. 80
στυφελοῖς ἐφέταις, χρυσογόνου γενεᾶς ἰσόθεος
κυανοῦν δ' ὄμμασι λεύσσων φονίου δέργμα δρά-
κοντος, 81.82
πολύχειρ καὶ πολυναύτας, Σύριόν θ' ἅρμα διώκων,
ἐπάγει δουρικλύτοις ἀνδράσι τοξόδαμνον Ἄρη 85.86
δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶν 87
ἐχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσας· 90
ἀπρόσοιστος γὰρ ὁ Περσᾶν στρατὸς ἀλκίφρων τε
λαός. 91.92
θεόθεν γὰρ κατὰ Μοῖρ' ἐκράτησεν τὸ παλαιόν,
ἐπέσκηψε δὲ Πέρσαις 102—104
πολέμους πυργοδαΐκτους 105
διέπειν ἱππιοχάρμας τε κλόνους πόλεών τ' ἀνα-
στάσεις. 106.107
ἔμαθον δ' εὐρυπόροιο θαλάσσας πολιαινομένας
πνεύματι λάβρῳ 108—110

65—72. = 73—80.
81—86. = 87—92.
102—107. = 108—113.

---

13. *ᾤχωκε] οἴχωκε νέον δ' ἄνδρα] νεολαίαν dicit v. 670. et πόλιν Περσῶν ποθοῦσαν φιλτάτην ἥβην χθονός v. 512. 15. *τὸ] τῶ (fortasse pro τῶν) 16. Ἀγβατάνων Brunckius] ἐκβατάνων: sed Ἀγβάτανα recte 535. 961. de quo dixit L. Dindorfius in Thesauro vol. 3. p. 375. 17. *Κίσσιον] κίσσινον, de quo dixi in Annot. Oxon. p. 236. 18. *ναῶν] νηῶν 21. Ἀμίστρης] Conf. ad v. 320. Ἀρταφρένης] ἀρταφέρνης pr. M, sed correctum ab eadem manu. 22. *Μεγαβάτης] μεταβάτης: de quo ceterisque nominibus Persicis, ab Aeschylo partim aliter quam vulgo propter metrum formatis, dixi ego in Annot. Oxon., Weilius in Praef. p. XVI—XIX. 28. *εὐτλήμονι] ἐν τλήμονι 30. Μασίστρης] Vid. ad v. 971. 31. *Ἰμαῖος vel ἱμαῖος] ϊμαῖος sine spiritu. 32. Σοσθάνης] σωσθάνης apographa nonnulla. 33. Σουσισκάνης, Πηγασταγὼν] Schol. τινὲς διαιροῦσι Σουσισκάνης καὶ Πηγὰς Ταγών. Scripserunt igitur Σοῦσις, Κάνης Πηγὰς, Ταγών. 34. *Πηγασταγὼν] πηγαστάγων Αἰγυπτογενὴς] Αἰγυπτογενεῖς (debebat τ' Αἰγυπτογενεῖς) Weilius. 37. Ἀρσάμης] Ἀρσάκης apud Photium p. 258, 4. 39. Hunc versum in margine addidit διορθωτής. 43. *Μιτρογαθὴς (hoc accentu)] μητρογαθὴς 45. καὶ] χαὶ Blomfieldus. 49. στεῦται] στεῦνται, sed litera ν puncto notata. De usu numeri singularis docta est scholiastae annotatio. 50. δούλιον Scaliger] δούλειον

55. *τοξουλκῷ] καὶ τοξουλκῷ 58. ὑπὸ πομπαῖς Abreschius] ὑποπομπαῖς 59. αἴας] *αἴης 61. *πέρι] περὶ Ἀσιᾶτις D.] ἀσιῆτις 63. τ' schol.] δ' ἡμερολεγδὸν (Goettling. de accent. p. 343.] ἡμερόλεγδον 65. πεπέρακεν (male omisso μέν) Turnebus] πεπέρακε in textu et in scholio, in quo Eupolidis imitatio annotatur πεπέρακε μὲν ὁ περσέπτολις ἤδη Μαρικᾶς. 67. χώραν] χώρας, sed superscr. ν, M. 71. ὅδισμα] γρ. ἔρεισμα· τὴν ναῦν adscr. in M. 77. 90. θαλάσσας Blomfieldus] θαλάσσης 78. ἐχυροῖσι] ὀ super ἐ ab eadem manu, i. e. ὀχυροῖσι: sed ἐχυροῖς v. 90. ubi apogr. plura ὀχυροῖς. 70. στυφελοῖς Blomfieldus] στυφέλοις *χρυσογόνου] χρυσονόμου M. Utrumque memorat schol. 81. κυανοῦν Blomfieldus] κυάνεον *λεύσσων] λεύσων 82. φονίου Turnebus] φοινίου *δέργμα] δέρμα 83. *πολυναύτας] πολυναύτης. 91. Περσᾶν Blomfieldus] περσῶν: vid. ad Sept. 727. Post hunc versum in M sequuntur versus 93—100., δολόμητιν — φυγεῖν, quos post 113. transponendos esse vidit O. Muellerus in scriptis minoribus vol. 1. p. 515. Eos in stropham δολόμητιν — ἀνάσσων et antistropham φιλόφρων — οὐκ ἔστιν ἀλύξαντα φυγεῖν ὕπερθε θνατόν (nam sic extrema corrigit) redigi voluit Seidlerus de vers. dochm. p. 407. opinione probabili, etsi incerta manet versus 100. emendatio. 107. *τ'] δ' 109. *θαλάσσας πολιαινομένας] θαλάσσης πολιαινομένης

ἐσορᾶν πόντιον ἄλσος, [ναΐς.
πίσυνοι λεπτοδόμοις πείσμασι λαοπόροις τε μαχα-
δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πηδήματος εὐπετοῦς ἀνάσ-
σων;
φιλόφρων γὰρ παρασαίνει βροτὸν εἰς ἄρκυας Ἄτα,
τόθεν οὐκ ἔστιν ὑπὲκ θνατὸν ἀλύξαντα φυγεῖν.
ταῦτά μοι μελογχίτων
φρὴν ἀμύσσεται φόβῳ,
ὀᾶ ὀᾶ,
Περσικοῦ στρατεύματος [Σουσίδος,
τοῦδε, μὴ πόλις πύθηται κένανδρον μέγ' ἄστυ
καὶ τὸ Κισσίων πόλισμ'
ἀντίδουπον ᾄσεται,
ὀᾶ ὀᾶ,
τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων,
βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακίς.
πᾶς γὰρ ἱππηλάτας καὶ πεδοστιβὴς λεὼς [τοῦ,
σμῆνος ὣς ἐκλέλοιπεν μελισσᾶν σὺν ὀρχάμῳ στρα-
τὰν ἀμφίζευκτον ἐξαμείψας ἀμφοτέρας ἅλιον
πρῶνα κοινὸν αἴας.
λέκτρα δ' ἀνδρῶν πόθῳ πίμπλαται δακρύμασιν·
Περσίδες δ' ἁβροπενθεῖς ἑκάστα πόθῳ φιλάνορι
τὰν αἰχμάεντα θοῦρον εὐνατῆρα προπεμψαμένα
λείπεται μονόζυξ.
ἀλλ' ἄγε, Πέρσαι, τόδ' ἐνεζόμενοι
στέγος ἀρχαῖον,
φροντίδα κεδνὴν καὶ βαθύβουλον
θώμεθα, χρεία δὲ προσήκει,
πῶς ἆρα πράσσει Ξέρξης βασιλεὺς
Δαρειογενής,
τὸ πατρωνύμιον γένος ἡμέτερον·
πότερον τόξου ῥῦμα τὸ νικῶν,
ἢ δορυκράνου
λόγχης ἰσχὺς κεκράτηκεν.
ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
βασίλεια δ' ἐμή, προσπίτνωμεν·
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.
ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,

114—119. = 120—125.
126—132. = 133—139.

μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε, Δαρείου γύναι·
θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ
ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.

ΑΤΟΣΣΑ.

ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον.
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
μὴ μέγας δαίμων κονίσας οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσίν,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν
μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς
φόβος·
ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.
πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι
λόγου
τοῦδέ μοι γένεσθε, Πέρσαι, γηραλέα πιστώματα·
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.

ΧΟ. εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ·
εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.

ΑΤ. πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασιν
ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν
Ἰαόνων γῆν οἴχεται πέρσαι θέλων·
ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην
ὡς τῆς πάροιθεν εὐφρόνης, λέξω δέ σοι.
ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,
ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
ἡ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολύ,
κάλλει τ' ἀμώμω καὶ κασιγνήτα γένους
ταὐτοῦ· πάτραν δ' ἔναιον ἡ μὲν Ἑλλάδα
κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.
τούτω στάσιν τιν', ὡς ἐγὼ 'δόκουν ὁρᾶν,
τεύχειν ἐν ἀλλήλαισι· παῖς δ' ἐμὸς μαθὼν
κατεῖχε κἀπράϋνεν, ἅρμασιν δ' ὕπο
ζεύγνυσιν αὐτὼ καὶ λέπαδν' ἐπ' αὐχένων
τίθησι. χἠ μὲν τῇδ' ἐπυργοῦτο στολῇ
ἐν ἡνίαισί τ' εἶχεν εὔαρκτον στόμα,
ἡ δ' ἐσφάδαζε, καὶ χεροῖν ἔντη δίφρου
διασπαράσσει, καὶ ξυναρπάζει βίᾳ
ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον.
πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτείρων σφε· τὸν δ' ὅπως ὁρᾷ
Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.
ἐπεὶ δ' ἀνέστην καὶ χεροῖν καλλιρρόου
ἔψαυσα πηγῆς, σὺν θυηπόλῳ χερὶ
βωμὸν προσέστην, ἀποτρόποισι δαίμοσιν
θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε.
ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου· φόβῳ δ' ἄφθογγος ἐστάθην, φίλοι·
μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ

113. μαχαναῖς Blomfieldus] μηχαναῖς 96. εὐπετοῦς Porsonus] εὐπετέος ἀνάσσων (ἀναίσσων Turnebus) Brunckius] ἀνάσσων 98. γὰρ παρασαίνει βροτὸν Seidlerus] γὰρ σαίνουσα τὸ πρῶτον παράγει βροτὸν ἄρκυας Ἄτα Hermannus] ἀρκύστατα. Ἄτα legisse videtur scholiasta qui Homericos de Ἄτη versus apposuit. 100. ὑπὲκ Hermannus] ὑπὲρ 114. *μοι] μου 116. 124. ὀᾶ, quod in M semel et utrobique separato versu scriptum est, duplicavit D. in Philologo vol. 13. p. 479. 120. Κισσίων] *κισσίνων, at v. 17. etiam in M κίσσινον est. 121. ᾄσεται Burneius] ἔσεται: unde ἔσσεται in apographis pluribus. 125. πέσῃ λακίς om. pr. M: addidit διορθωτής. 129. *μελισσᾶν] μέλισσα 135. ἀκροπενθεῖς M. ἁβροπενθεῖς Paleius, collata annotatione schol. ἐπιμόνως πενθοῦσαι, ὡς δοκεῖν ἁβρύνεσθαι ἐπὶ τῷ (τὸ codex) πενθεῖν. ἁβρόγοοι Περσίδες dicuntur v. 541. 136. ἑκάστα] ἑκάσται, sed ι eraso. 137. *αἰχμάεντα] αἰχμήεντα 138. *εὐνατῆρα προπεμψαμένα] εὐνατῆρ' ἀποπεμψαμένα 144 *ἆρα] ἄρα 146. *ἡμέτερον] ἁμέτερον 148. δορυκράνου] *δορικράνου 152. προσπίτνωμεν Porsonus] προσπίτνω προσκυνῶ, illato glossemate προσκυνῶ, quod omissum in apographis multis. 155. ὦ] ἔτι ὁ χορὸς praescriptum in M, ut alibi ubi ab cantico chori transitur ad verba coryphaei.

157. *εὐνάτειρα] εὐνήτειρα 161. καί με] κἀμὲ Bothius. 163. δαίμων Heimsoethius] πλοῦτος *κονίσας] κονίσσας 165. ἄφραστος] Scriptura suspecta. 167. ὀφθαλμοῖς] ὀφθαλμῷ Heimsoethius. 171. γηραλέα D.] γηραλέα, ut 317. πορφυρέα pro πορφυρᾷ. 174. *δύναμις] δυνάμεις 181. *μοι δύο] μοι om. 185. *ἀμώμω] ἀμώμωι 189. ἀλλήλαισι Blomfieldus] ἀλλήλησι 191. *ἐπ' αὐχένων] ὑπαυχένων 193. ἡνίαισί τ' Blomfieldus] ἡνίαισιν 194. ἔντη (at schol. legit qui per χαλινὰ explicat) Scaliger] ἐν τῇ 195. *διασπαράσσει] διασπαράττει 203. *βωμὸν] βωμῷ 205. αἰετὸν Brunckius] αἰετὸν

πτεροῖς ἐφορμαίνοντα καὶ χηλαῖς κάρα
τίλλονθ'· ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας
παρεῖχε. ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν,
ὑμῖν δ' ἀκούειν. εὖ γὰρ ἴστε, παῖς ἐμὸς
πράξας μὲν εὖ θαυμαστὸς ἂν γένοιτ' ἀνήρ,
κακῶς δὲ πράξας οὐχ ὑπεύθυνος πόλει,
σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.
ΧΟ. οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις
οὔτε θαρσύνειν. θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν τε-
λεῖν, [σέθεν
τὰ δ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνῳ
καὶ πόλει φίλοις τε πᾶσι. δεύτερον δὲ χρὴ χοὰς
γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῆ δ' αἰτοῦ
τάδε
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην,
ἐσθλά σοι πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος,
τἄμπαλιν δὲ τῶνδε γαίας κάτοχα μαυροῦσθαι
σκότῳ.
ταῦτα θυμόμαντις ὤν σοι πρευμενῶς παρῄνεσα·
εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
ΑΤ. ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κρι-
τής
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν.
ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ', ὡς ἐφίεσαι,
πάντα θήσομεν θεοῖσι τοῖς τ' ἔνερθε γῆς φίλοις,
εὖτ' ἂν εἰς οἴκους μόλωμεν. κεῖνο δ' ἐκμαθεῖν
θέλω,
ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός.
ΧΟ. τῆλε πρὸς δυσμαῖς, ἄνακτος Ἡλίου φθινάσμασιν.
ΑΤ. ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.
ΧΟ. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
ΑΤ. ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;
ΧΟ. καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.
ΑΤ. καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δό-
μοις;
ΧΟ. ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
ΑΤ. πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερῶν αὐτοῖς
πρέπει;
ΧΟ. οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί.
ΑΤ. τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ;
ΧΟ. οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ' ὑπήκοοι.
ΑΤ. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
ΧΟ. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.
ΑΤ. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.
ΧΟ. ἀλλ' ἐμοὶ δοκεῖν τάχ' εἴσει πάντα ναμερτῆ λόγον·
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

ΑΓΓΕΛΟΣ.

ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμήν,
ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσόν.
ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος.
⏑ ⏑́ ⏑ ⏑́ ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ –
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.
ΧΟ. ἄνι' ἄνια κακὰ νεόκοτα
καὶ δάϊ'. αἰαῖ, διαίνεσθε, Πέρσαι, τόδ' ἄχος κλύ-
οντες.
ΑΓ. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα·
αὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.
ΧΟ. ἦ μακροβίοτος ὅδε γέ τις
αἰὼν ἐφάνθη γεραιοῖς, ἀκούειν τόδε πῆμ' ἄελπτον.
ΑΓ. καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλύων,
Πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά.
ΧΟ. ὀτοτοτοῖ, μάταν
τὰ πολλὰ βέλεα παμμιγῆ
γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν
δᾴαν Ἑλλάδα χώραν.
ΑΓ. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ πᾶς τε πρόσχωρος τόπος.
ΧΟ. ὀτοτοτοῖ, φίλων
πολύδονα σώμαθ' ἁλιβαφῆ
κατθανόντα λέγεις φέρεσθαι
πλαγκτοῖς ἐν διπλάκεσσιν.
ΑΓ. οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
στρατὸς δαμασθεὶς ναΐοισιν ἐμβολαῖς.
ΧΟ. ἴυζ' ἄποτμον δαΐοις
δυσαιανῆ βοάν,
ὡς πάντα παγκάκως θεοὶ
ἔθεσαν, αἰαῖ, στρατοῦ φθαρέντος.
ΑΓ. ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν·
φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.
ΧΟ. στυγναί γ' Ἀθᾶναι δαΐοις·
μεμνῆσθαί τοι πάρα
ὡς Περσίδων πολλὰς μάταν
εὔνιδας ἔκτισσαν ἠδ' ἀνάνδρους.
ΑΤ. σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορά,
τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάθη.
ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν
θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος
λέξον καταστάς, κεἰ στένεις κακοῖς ὅμως,

256—259. = 262—265.
.268—271. = 274—277.
280—283. = 286—289.

---

210. *ἔστ' ἰδεῖν] ἐσιδεῖν 214. Versus interpolatus. Aeschyli verborum haec sententia fuisse videtur, σωθεὶς δ' ἀτίμως τήνδε ποιμανεῖ χθόνα (vel τῆσδε δεσπόσει χθονός): de quo dixi in Annot. Oxon. p. 255. 218. *τὰ δ' ἀγάθ'] ταδ' ἀγαθὰ δ' *τέκνῳ (ut 222.)] τέκνοις 220. *πρευμενῆ] πρευμενῶς 223. γαίας Turnebus] γαίαι κάτοχα μαυροῦσθαι Blomfieldus] κάτοχ' ἀμαυροῦσθαι 225. τελεῖν σοι] τελοῖθ' ἃ Weilius. 228. *δὴ] δέ 230. κεῖνο D.] κεῖνα 232. δυσμαῖς] *δυσμάς: quo recepto φθινάσματα scribendum foret. φθινάσμασιν Pauwius] φθινασμάτων. Vocabulum aliunde non cognitum. Hesychius, φθινάσμασι: φθίσεσι. Quae gl. haud dubie ex hoc versu sumta est, φθίσεσι pro δύσεσι dicto, ut φέγγος ἡλίου κατέφθιτο dictum est v. 377. et alibi φθίνοντος ἡλίου. 239. χερῶν Brunckius (χεροῖν Elmsleius)] χερός 241. ποιμάνωρ (sic etiam Hesychius)] *ποιμάντωρ στρατῷ] *στρατοῦ 246. εἴσει — ναμερτῆ Porsonus] εἴση — νημερτῆ 247. δράμημα] *δρόμημα

249. Ἀσιάδος] Ἀσίδος Blomfieldus. 253. Lineola mutatae personae index in M. Post 254. unius versus defectum indicavit Weilius. 256. ἄνι'] αἰν' Halmius in Museo Rhen. vol. 23. p. 204. 261. αὐτὸς Porsonus] καὐτὸς 266. *γε] τε 268. *ὀτοτοτοῖ] ὀτοτοῖ τοῖ (sed recte v. 274.) 269. πολλὰ] πολέα Lachmannus. 271. *δᾴαν (δαΐαν scriptum)] δῖαν 275. πολύδονα σώμαθ' ἁλιβαφῆ Prienus] ἁλιδόνα (hoc accentu) σώματα πολυβαφῆ 280. δαΐοις | δυσαιανῆ βοὰν Hermannus] βοὰν | δυσαιανῆ πέρσαις δαΐοις 282. θεοὶ addidit Hermannus. Supplevit schol. recentior, οἱ θεοὶ δηλαδή. 286. στυγναί γ' Ἀθᾶναι] στυγνᾶν γ' Ἀθανᾶν Weilius, sublata post δαΐοις interpunctione *Ἀθᾶναι] ἀθῆναι 288 Περσίδων πολλὰς Weilius] πολλὰς περσίδων 289. εὔνιδας ἔκτισσαν Boeckhius] ἔκτισαν εὔνιδας 290. ΑΤ.] ἄτοσσα μήτηρ ξέρξου M. 293. βροτοῖς] *βροτούς 295. κεἰ] καὶ εἰ pr. M.

τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
τῶν ἀρχελείων, ὅστ' ἐπὶ σκηπτουχίᾳ
ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανών.
ΑΓ. Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ βλέπει φάος.
ΑΤ. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα
καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.
ΑΓ. Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
στύφλους παρ' ἀκτὰς θείνεται Σιληνιῶν.
χὠ χιλίαρχος Δαδάκης πληγῇ δορὸς
πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ' ἀριστεὺς Βακτρίων ἰθαγενὴς
θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λιλαῖος, Ἀρσάμης τε κάργήστης τρίτος,
οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα·
πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
Ἀρκτεύς, Ἀδεύης καὶ φερεσσακὴς τρίτος
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον.
Χρυσεὺς Μάταλλος μυριόνταρχος θανὼν,
ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,
πυρσὴν ζαπληθῆ δάσκιον γενειάδα
ἔτεγγ', ἀμείβων χρῶτα πορφυρᾷ βαφῇ.
καὶ Μᾶγος Ἄραβος, Ἀρτάβης τε Βάκτριος,
σκληρᾶς μέτοικος γῆς, ἐκεῖ κατέφθιτο.
Ἄμηστρις Ἀμφιστρεύς τε πολύπονον δόρυ
νωμῶν, ὅ τ' ἐσθλὸς Ἀριόμαρδος Σάρδεσιν
πένθος παρασχὼν, Σεισάμης θ' ὁ Μύσιος,
Χάρυβίς τε πεντήκοντα πεντάκις νεῶν
ταγός, γένος Λυρναῖος, εὐειδὴς ἀνὴρ,
κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς·
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἔπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
ἐχθροῖς παρασχὼν, εὐκλεῶς ἀπώλετο.
τοιῶνδε τῶνδε νῦν ὑπεμνήσθην πέρι.
πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά.
ΑΤ. αἰαῖ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν,
ναῶν πόσον τι πλῆθος ἦν Ἑλληνίδων,
ὥστ' ἀξιῶσαι Περσικῷ στρατεύματι
μάχην συνάψαι ναΐοισιν ἐμβολαῖς.
ΑΓ. πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρους
ναυσὶν κρατῆσαι. καὶ γὰρ Ἕλλησιν μὲν ἦν
ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
ναῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξῃ δὲ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκοποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.
μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ;
ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατὸν,
τάλαντα βρίσας οὐκ ἰσορρόπῳ τύχῃ.
ΑΤ. ἔτ' ἄρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις;
ΑΓ. ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.
ΑΤ. θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς.
ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν; φράσον.
τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
ἢ παῖς ἐμός, πλήθει καταυχήσας νεῶν;
ΑΓ. ἦρξεν μὲν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
ἐλθὼν ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασιν
ναῶν ἐπενθορόντες ἄλλος ἄλλοσε
δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.
ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον·
εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
τάξαι νεῶν μὲν στῖφος ἐν στοίχοις τρισὶν
ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους,
ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ·
ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν,
ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινὰ,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' εὐθύμου φρενός·
οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
δεῖπνόν τ' ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο
καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
ἐς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης·
τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς·
πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος,
καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο.
ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα
μολπηδὸν ηὐφήμησεν, ὄρθιον δ' ἅμα

---

298. ἀρχελείων] λαῶν ἀρχόντων gl. in M: unde ἀρχελάων Robort. 299. βλέπει φάος ex schol. Ar. Ran. 1054.] φάος βλέπει 306. ἀριστεὺς Blomfieldus] ἄριστος *ἰθαγενὴς] ἰθαιγενὴς 308. 969. Λιλαῖος Lehrs. de stud. Aristarchi p. 297, ed. sec.] λίλαιος κάργήστης] Similia nomina Persica Ἀργόστη et Ἀρτόστης comparavit Muellerus ad Fragm. Hist. vol. 3. p. 398. 310. νικώμενοι] Fort. πεπληγμένοι. 312. φερεσσακὴς Halmius in Museo Rhen. vol. 23. p. 204.] φρεσεύης (*φερεσσεύης). 313. ἐκ μιᾶς πέσον] ἔπεσον ἐκ μιᾶς Vauvillersius. 315. post 318. ponit Weilius. 316. πυρσὴν Porsonus] πυρὰν pr. M, πυρρὰν ab διορθωτῇ. 317. πορφυρᾷ Porsonus] πορφυρέα 318. Μᾶγος Turnebus] μάγος Ἀρτάβης] *Ἀρτάμης 320. Ἄμηστρις Brunckius] ἄμιστρις. Conf. v. 21. 322. Σεισάμης] Vel Σισάμης: vid. ad v. 983. *θ' ὁ] θ' om. 326. *Συέννεσις] σύννεσις 327. *ἔπαρχος] ἄπαρχὸς cum duplici accentu. ὕπαρχος Hermannus. τάγαρχος Meinekius hic et Agam. 1227. Choeph. 664. εἷς ἀνὴρ πλεῖστον] Fort. πλεῖστον εἷς ἀνὴρ 329. τοιῶνδε τῶνδε D.] τοιῶνδ' ἀρχόντων. τοιῶνδε μέντοι Blomfieldus. νῦν a m. rec. supra versum M. 330. *δ' ὀλίγ'] δ' om., ut ἀπαγγέλλων cum Weilio scribi possit. 334. τι Turnebus] δὴ (*δέ). νεῶν πόσον δὴ πλῆθος ἦν Ἑ. Weilius. 337. βαρβάρους Turnebus] βαρβάρων, quod librario excidit propter ἕκατι. βάρβαρον Heathius. βαρβάρων | στόλον κρατῆσαι Weilius.
338. ναυσὶν Porsonus] ναυσὶ 342. ὧν ἦγε πλῆθος] νεῶν τὸ πλῆθος Plut. V. Themist. c. 14. ὑπέρκοποι Blomfieldus] ὑπέρκομποι 344. *λειφθῆναι] ληφθῆναι 347—350. His versibus quater lineola personae index est praescripta. 349. post 346. lectum huc transposuit Weilius. 358. μενοῖεν — ἐκσωσοίατο Monkius] μένοιεν — ἐκσωσαίατο 359. *ἐπενθορόντες] ἐπανθορόντες 362. τόν] τῶν pr. M. 366. μὲν στῖφος Brunckius] στῖφος μὲν 370. *ναυσὶ (ναυσὶν Porsonus)] νηυσὶν 371. *πᾶσι] πᾶσιν 375. δεῖπνόν τ' Scaliger] τ' om. 379. *θ'] δ' 388. κέλαδος] πέλαγος Weilius. 389. ηὐφήμησεν Brunckius] εὐφήμησεν

ἀντηλάλαξε νησιώτιδος πέτρας
ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ
παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει.
σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν·
εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύματος,
θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν.
τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρας
ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν, "ὦ παῖδες Ἑλλήνων ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών".
καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
ὑπηντίαζε, κοὐκέτ' ἦν μέλλειν ἀκμή.
εὐθὺς δὲ ναῦς ἐν νηὶ χαλκήρη στόλον
ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ηὔθυνεν δόρυ.
τὰ πρῶτα μέν νυν ῥεῦμα Περσικοῦ στρατοῦ
ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβόλοις χαλκοστόμοις
παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφρασμόνως
κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
σκάφη νεῶν, θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν,
ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν.
ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον,
φυγῇ δ' ἀκόσμῳ πᾶσα ναῦς ἠρέσσετο,
ὅσαιπερ ἦσαν βαρβάρου στρατεύματος.
τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
ἀγαῖσι κωπῶν θραύμασίν τ' ἐρειπίων
ἔπαιον, ἐρράχιζον, οἰμωγὴ δ' ὁμοῦ
κωκύμασιν κατεῖχε πελαγίαν ἅλα,
ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.
κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
εὖ γὰρ τόδ' ἴσθι, μηδάμ' ἡμέρᾳ μιᾷ
πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.

ΑΤ. αἰαῖ, κακῶν δὴ πέλαγος ἔρρωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει.

ΑΓ. εὖ νῦν τόδ' ἴσθι, μηδέπω μεσοῦν κακόν·
τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.

ΑΤ. καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
λέξον τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ
ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.

ΑΓ. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς,
αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί,
τεθνᾶσιν οἰκτρῶς δυσκλεεστάτῳ μόρῳ.

ΑΤ. οἲ 'γὼ τάλαινα συμφορᾶς κακῆς, φίλοι.
μόρῳ δὲ ποίῳ τούσδε φῂς ὀλωλέναι;

ΑΓ. νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων,
βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει ποντίας ἀκτῆς ἔπι.
ἐνταῦθα πέμπει τούσδ', ὅπως, ὅτ' ἐκ νεῶν
φθαρέντες ἐχθροὶ νῆσον ἐκσῳζοίατο,
κτείνοιεν εὐχείρωτον Ἑλλήνων στρατόν,
φίλους δ' ὑπεκσῴζοιεν ἐναλίων πόρων,
κακῶς τὸ μέλλον ἱστορῶν. ὡς γὰρ θεὸς
ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
αὐθημερὸν φάρξαντες εὐχάλκοις δέμας
ὅπλοισι ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ
κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
ὅποι τράποιντο. πολλὰ μὲν γὰρ ἐκ χερῶν
πέτροισιν ἠράσσοντο, τοξικῆς τ' ἀπὸ
θώμιγγος ἰοὶ προσπίτνοντες ὤλλυσαν·
τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
παίουσι, κρεοκοποῦσι δυστήνων μέλη,
ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος·
ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
ῥήξας δὲ πέπλους κἀνακωκύσας λιγύ,
πεζῷ παραγγείλας ἄφαρ στρατεύματι,
ἵησ' ἀκόσμῳ ξὺν φυγῇ. τοιάνδε σοι
πρὸς τῇ πάροιθε συμφορὰν στένειν πάρα.

ΑΤ. ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
κλεινῶν Ἀθηνῶν ηὗρε, κοὐκ ἀπήρκεσαν
οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν·
ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν
τοσόνδε πλῆθος πημάτων ἐπέσπασεν.
σὺ δ' εἰπέ, ναῶν αἳ πεφεύγασιν μόρον,
ποῦ τάσδ' ἔλειπες· οἶσθα σημῆναι τορῶς;

ΑΓ. ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην
κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγήν·
στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ
διώλλυθ', οἱ μὲν ἀμφὶ κρηναῖον γάνος
δίψῃ πονοῦντες, οἱ δ' ὑπ' ἄσθματος κενοὶ
διεκπερῶμεν ἐς τε Φωκέων χθόνα
καὶ Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ·
κἀντεῦθεν ἡμᾶς γῆς Ἀχαιίδος πέδον
καὶ Θεσσαλῶν πόλεις ὑπεσπανισμένους
βορᾶς ἐδέξαντ'· ἔνθα δὴ πλεῖστοι θάνον
δίψῃ τε λιμῷ τ'· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν ἔς τε Μακεδόνων

---

391. in margine ab διορθωτῇ additus. 395. δ' supra versum in M. 397. κελεύματος] *κελεύσματος 411. ηὔθυνεν] *ἴθυνεν 412. *μέν νυν] μὲν νῦν, suprascr. ἀντὶ τοῦ δή 415. ἐμβόλοις Stanleius] ἐμβολαῖς Ante 417. versum unum, a quo apodosis inceperit, excidisse coniecit Weilius. Heathius v. 418. ὑπτιοῦτο δὴ scribebat. ἀφρασμόνως] *ἀφραδμόνως 423. ἀκόσμῳ Casaubonus] ἀκόσμως (ς deletum in apogr. σσσ). 425. θραύμασιν] *θραύσμασιν 426. *οἰμωγὴ] οἰμωγῆς 430. *στοιχηγοροίην] στοιχοιγαροιην cum .ο. super α. 431. *μηδάμ'] μηδ' ἄν 432. *τοσουτάριθμον] τοσοῦτ' ἀριθμόν 433. ἔρρωγεν] ἔρρωται pr. M, sed in ἔρρωγε mutatam ab alia manu. 436. *αὐτούς] αὐτοῖς 442. *κεὐγένειαν] καὶ εὐγένειαν

444. *οἰκτρῶς] αἰσχρῶς 446. μόρῳ δὲ ποίῳ Weilius] ποίῳ μόρῳ δὲ 448. *ναυσὶν] νηυσὶν 450. ὅτ' ἐκ Elmsleius] ὅταν 451. ἐκσῳζοίατο] ἐκσωσοίατο Meinekius. 452. κτείνοιεν (*κτείνειεν)] κτείνειαν Porsonus. 456. φάρξαντες D.] φράξαντες 457. *ἐξέθρωσκον] ἐξέθρωισκον M. 460. πέτροισιν] *πέτρησιν 466. εὐαγῆ] εὐαυγῆ Hemsterh. 470. ἵησ'] *ἧιξ' 471. στένειν πάρα D.] πάρα στένειν 474. ηὗρε (εὗρε M)] εἶδε Meinekius. Alius εὗρετ' οὐδ'. *ἀπήρκεσαν] ἀπήρκεσε 477. *τοσόνδε] τοσῶν δέ 479. τάσδ'] τάσδ' M, ut alibi saepe apud Aeschylum et Sophoclem. 480. γε Robortellus] δὲ M et schol. 481. αἴρονται Elmsleius] αἱροῦνται (*αἱροῦνται) 484. δίψῃ] *δίψει 488. Ἀχαιίδος] *Ἀχαΐδος 489. πόλεις Weilius] πόλις (*πόλισμ') 490. ἐδέξαντο M. ἐδέξατ' apogr. Viteb. suprascr. γρ. ἐδέξαντο. 492. ἔς τε] ἠδὲ Robortellus.

χώραν ἀφικόμεσθ', ἐπ' Ἀξίου πόρον,
Βόλβης θ' ἕλειον δόνακα, Πάγγαιόν τ' ὄρος,
Ἠδωνίδ' αἶαν· νυκτὶ δ' ἐν ταύτῃ θεὸς
χειμῶν' ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
ῥέεθρον ἁγνοῦ Στρυμόνος. θεοὺς δέ τις
τὸ πρὶν νομίζων οὐδαμοῦ τότ' ηὔχετο
λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
στρατὸς, περᾷ κρυσταλλοπῆγα διὰ πόρον·
χὤστις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ
ἀκτῖνας, ὡρμήθη, σεσωσμένος κυρεῖ.
φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος
μέσον πόρον διῆκε, θερμαίνων φλογί·
πῖπτον δ' ἐπ' ἀλλήλοισιν· ηὐτύχει δέ τοι
ὅστις τάχιστα πνεῦμ' ἀπέρρηξεν βίου.
ὅσοι δὲ λοιποὶ κἄτυχον σωτηρίας,
Θρῄκην περάσαντες μόγις πολλῷ πόνῳ,
ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
κακῶν ἃ Πέρσαις ἐγκατέσκηψεν θεός.

ΧΟ. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει.

ΑΤ. οἲ 'γὼ τάλαινα διαπεπραγμένου στρατοῦ·
ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων,
ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.
ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
ὅμως δ', ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις
ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν,
ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
ἀλλ' ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις
πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα·
καὶ παῖδ', ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ,
παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους,
μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν.

ΧΟ. ὦ Ζεῦ βασιλεῦ, νῦν γὰρ Περσῶν
τῶν μεγαλαύχων καὶ πολυάνδρων
στρατιὰν ὀλέσας
ἄστυ τὸ Σούσων ἠδ' Ἀγβατάνων
πένθει δνοφερῷ κατέκρυψας·
πολλαὶ δ' ἀμαλαῖς χερσὶ καλύπτρας
κατερεικόμεναι μητέρες οἰκτραὶ
διαμυδαλέοις δάκρυσι κόλπους
τέγγουσ', ἄλγους μετέχουσαι.
αἱ δ' ἁβρόγοοι Περσίδες ἀνδρῶν
ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
λέκτρων εὐνὰς ἁβροχίτωνας,
χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
πενθοῦσι γόοις ἀκορέστοις.
κἀγὼ δὲ μόρον τῶν οἰχομένων
⏑ ⏑ – ⏑ ⏑ – – – –
αἴρω δοκίμως πολυπενθῆ.
νῦν γὰρ πρόπασα μὲν στένει
γαῖ' Ἀσιὰς ἐκκενουμένα,
Ξέρξης μὲν ἄγαγεν, τοτοῖ,
Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ,
τὸ πᾶν τ' ἐπέσπε δυσφόρως
βαρίδεσσι ποντίαις.
τίπτε Δαριὰν μὲν οὕτω τότ' ἀβλαβὴς ἐπῆν
τόξαρχος πολιήταις,
Σουσίδαις φίλος ἄκτωρ,
πεζοῖς τε καὶ θαλασσίοις,
νῦν δὲ κυανώπιδες θοαὶ
νᾶες μὲν ἄγαγον, τοτοῖ,
νᾶες δ' ἀπώλεσαν, τοτοῖ,
ὁμοπτέροισιν ἐμβολαῖς
ἠδ' Ἰαόνων χέρες.
τυτθὰ δ' ἐκφυγεῖν ἄνακτ' αὐτόπουν ἀκούομεν
Θρῄκης ἂμ πεδιήρεις
δυσχίμους τε κελεύθους.
τοὶ δ' ἄρα πρωτομόροιο
ληφθέντες πρὸς ἀνάγκας
ἀκτὰς ἀμφὶ Κυχρείας
ἔρρουσι· στένε καὶ δακνάζου,
βαρὺ δ' ἀμβόασον
οὐράνι' ἄχη, ὀᾶ ὀᾶ,
τεῖνε δὲ δυσβάϋκτον
βοᾶτιν τάλαιναν αὐδάν.
κναπτόμενοι δ' ἁλὶ δεινὰ

548—557. = 558—567.
568—575. = 576—583.

493. Ἀξίου] *Ἀξιοῦ 494. *Βόλβης] βολβῆς 498. *ηὔχετο] εὔχετο 501. στρατὸς — πόρον] κρυσταλλοπῆγα διαπερᾷ στρατὸς πόρον Heimsoethius. 506. ηὐτύχει Paleius] εὐτυχεῖ (*εὐτυχὴς) 516. *ἐνήλλου] ἐνήλου. 517. οἲ 'γὼ Porsonus] οἲ (οἲ Sept. 808.) ἐγὼ 527. *ὑμᾶς] ἡμᾶς 528. *πιστοῖσι] πιστοῖς πιστὰ] πιστοὺς Weilius. 531. *καί τι — πρόσθηται] κέτι — πρόσθητε 532—583. 633—680. De horum carminum emendatione dixi in Leutschii Philologo vol. 13. p. 458—495. et in Praefat. editionis Lips. quintae p. LXIII—LXIX. 532. γὰρ addidit Hermannus coniectura incerta, quum alia pari iure coniici possint, ut ostendi l. c. 535. Ἀγβατάνων] Sic M. *Ἐκβατάνων 537. ἀμαλαῖς Prienus] ἁπαλαῖς M. ἁπαλαῖς vel ἀταλαῖς apographa. 588. μητέρες οἰκτραὶ addidit D. 543. λέκτρων] *λέκτρων τ'

545. ἀκορέστοις Prienus] ἀκορεστοτάτοις Post 546. unius versus defectum indicavit D., fortasse verbis φρενὸς ἐκ φιλίας θρηνῶν παιάν' explendum, de quo dixi l. c. p. 469. 470. 548.* νῦν γάρ] νῦν γὰρ δὴ M. γὰρ delere maluit Porsonus. Ego aliquando ἢ γὰρ conieci. 549. *Ἀσιὰς] ἀσίας 550. μὲν Porsonus] μὲν γὰρ ἄγαγεν Blomfieldus] ἤγαγεν 551—561. in margine habet M ab διορθωτῇ scriptos. 552. τὸ πᾶν τ' ἐπέσπε δυσφόρως D.] ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως 554. *βαρίδεσι (βαρίδεσσι) ποντίαις] βαρίδες τε ποντίαι 555. *τίπτε] τί ποτε Δαριὰν D.] δαρεῖος. De forma nominis Δαριὰν dixi in Philologo l. c. p. 484.
556. πολιήταις Victorius] πολήταις (*πολίταις) 557. *Σουσίδαις] σουσίδες cum ο super ε. 558. πεζοῖς — θαλασσίοις D.] πεζούς — θαλασσίους *τε καὶ] τε γὰρ καὶ 559. νῦν δὲ — χέρες D.] αἱ δ' ὁμόπτεροι κυανώπιδες | νᾶες μὲν ἄγαγον ποποῖ | νᾶες πανωλέθροισιν ἐμβολαῖς | διὰ δ' ἰαόνων χέρας (αἵ τ' Ἰαόνων χέρες Engerus). De horum versuum scriptura quum inepta multa scripta sint, tamen nihil vidi indoctius quam synizesin vocabuli κυανώπιδες syllabis duabus primis adhibendam, cui commento simile est μυριόνταρχον quadrisyllabum v. 994. 565. αὐτόπουν (in Philologo l. c. p. 476.) D.] αὐτὸν ὡς 566. ἂμ πεδιήρεις D.] ἀμπεδιήρεις 567. δυσχίμους Arnaldus] δυσχειμέρους 568. πρωτομόροιο — ἀνάγκας Blomfieldus] πρωτόμοροι φεῦ (φεῦ delevit D.) — ἀνάγκαν 569. *ληφθέντες] λειφθέντες ἠέ in fine versus lectum delevit D. 570. *ἀκτὰς] ἀκτᾶς Κυχρείας Turnebus] κυγχρείας (.π. super χ ab διορθωτῇ: unde *κυπρίας) ὀᾶ 571. ἔρρουσι (ἔρροντες Blomfieldus) addidit D., quod latet sub literis ἐρα, de quibus v. ad v. 580. 573. Syllaba οὐ et in antistropha v. 581. δαι praecedenti utrobique versui addita in M. ὀᾶ ὀᾶ D] ὀᾶ, ut v. 581. 576. κναπτόμενοι D.] γναπτόμενοι ἁλὶ δεινὰ (*δεινᾷ) M, scriptura propter rationes

σκύλλονται πρὸς ἀναύδων
παίδων τᾶς ἀμιάντου.
πενθεῖ δ' ἀνδρα δόμος στερηθείς,
τοκέες τ' ἄπαιδες
δαιμόνι' ἄχη, δᾶ δᾶ,
δυρόμενοι γέροντες
τὸ πᾶν δὴ κλύουσιν ἄλγος.
τοὶ δ' ἀνὰ γᾶν 'Ασιανάν
οὐκέτι περσονομοῦνται,
οὐκέτι δασμοφοροῦσιν
δεσποσύνοισιν ἀνάγκαις,
οὐδ' ἐς γᾶν προπίτνοντες
ἄρξονται· βασιλεία
γὰρ διόλωλεν ἰσχύς.
οὐδ' ἔτι γλῶσσα βροτοῖσιν
ἐν φυλακαῖς· λέλυται γὰρ
λαὸς ἐλεύθερα βάζειν
ὡς ἐλύθη ζυγὸν ἀλκᾶς.
αἱμαχθεῖσα δ' ἄρουραν
Αἴαντος περικλύστα
νᾶσος ἔχει τὰ Περσᾶν.

ΑΤ. φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς, ὅταν κλύδων
κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι
τὸν αὐτὸν ἀεὶ δαίμον' οὐριεῖν τύχης.
ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα
ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν,
βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος·
τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
τοιγὰρ κέλευθον τήνδ' ἄνευ τ' ὀχημάτων
χλιδῆς τε τῆς πάροιθεν ἐκ δόμων πάλιν
ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοὰς
φέρουσ', ἅπερ νεκροῖσι μειλικτήρια,
βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα,
ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε·
τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης ἴσον
ξανθῆς ἐλάας καρπὸς εὐώδης πάρα,
ἄνθη τε πλεκτά, παμφόρου γαίας τέκνα.
ἀλλ', ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων
ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀγκαλεῖσθε, γαπότους δ' ἐγὼ
τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

ΧΟ. βασίλεια γύναι, πρέσβος Πέρσαις,
σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς,
ἡμεῖς δ' ὕμνοις αἰτησόμεθα
φθιμένων πομποὺς
εὔφρονας εἶναι κατὰ γαίας.
ἀλλά, χθόνιοι δαίμονες ἁγνοί,
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,
πέμψατ' ἔνερθε ψυχὴν ἐς φῶς·
εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον,
μόνος ἂν θνητῶν πέρας εἴποι.
ἦ ῥ' ἀΐει μου μακαρίτας ἰσοδαίμων βασιλεὺς
βάρβαρα σαφηνῆ
ἱέντος τὰ παναίολ' αἰανῆ δύσθροα βάγματ', ἦ
παντάλαν' ἄχη διαμβοάσω;
νέρθεν ἆρα κλύει μου;
ἀλλὰ σύ μοι Γᾶ τε καὶ ἄλλοι χθονίων ἁγεμόνες
δαίμονα μεγαυχῆ
ἰόντ' αἰνέσατ' ἐκ δόμων, Περσᾶν Σουσιγενῆ θεόν·
πέμπετε δ' ἄνω τὸν οἷον οὔπω
Περσὶς αἶ' ἐκάλυψεν.
ἦ φίλος ἀνήρ, φίλος ὄχθος· φίλα γὰρ κέκευθεν ἤθη.
'Αϊδωνεὺς δ' ἀναπομπὸς ἀνείης, 'Αϊδωνεύς,
δῖον ἀνάκτορα Δαριᾶνα. [άταις,
οὐδὲ γὰρ ἄνδρας πότ' ἀπώλλυ πολεμοφθόροισιν
θεσμήστωρ δ' ἐκικλήσκετο Πέρσαις, θεομήστωρ δ'
ἔσκεν, ἐπεὶ στρατὸν εὖ ποδούχει.
ἰωά, βαλλὴν ἀρχαῖος, βαλλὴν ἐλθ', ἱκοῦ
τόνδ' ἐπ' ἄκρον κόρυμβον ὄχθου,
κροκόβαπτον ποδὸς εὔμαριν ἀείρων,
βασιλείου τιάρας φάλαρον πιφαύσκων.
βάσκε πάτερ ἄκακε Δαριάν.
ἰωά, βαλλὴν ἀρχαῖος, βαλλὴν ἐλθ', ἱκοῦ,
δέσποτα δεσποτᾶν φάνηθι·
Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται.
νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλε.
βάσκε πάτερ ἄκακε Δαριάν.
αἰαῖ αἰαῖ,
ὦ πολύκλαυτε θανὼν δυνάστα,

584—590. — 591—597.

633—639. = 640—647.
648—652. = 653—657.
658—664. = 665—671.

in Philologo p. 480. expositas suspecta. ἁλὸς αἰνά D., genitivo ἁλὸς cum τᾶς ἀμιάντου coniungendo. Interiectiones φεῦ post δεινά, ἠέ post ἀναύδων et δᾶ post ἀμιάντου lectas delevit D.

577. *σκύλλονται] σκύλονται 580. τοκέες Porsonus] τοκῆες Post ἄπαιδες in M leguntur literae ἐρα, de quibus dixi ad v. 570. Absurde in apographis interpolatum ἔρανται vel ἔρρανται. 581. δᾶ δᾶ D.] δᾶ 584. 'Ασιανάν vel 'Ασιηνὰν Meinekius in Philologo vol. 20. p. 67.] ἀσίαν δὴν 586. *οὐκέτι] οὐδ' ἔτι 588. οὐδ' Brunckius] οὔτ' *προπίτνοντες] προσπίτνοντες 589. ἄρξονται] ἅζονται Halmius in Museo Rhen. vol. 23. p. 205. βασιλεία] βασίλεία (duplici accentu), illato post hoc voc. glossemate η βασιλική, quod recte omissum in apogr. plerisque. 594. ἀλκᾶς] ἀλκῆς pr. M. 595 ἄρουραν Porsonus] ἄρουρα 597. Περσᾶν Blomfieldus] περσῶν 598. κακῶν μέν — βροτοῖσιν — ὅταν — κακῶν] βροτείων — κακῶν — μὲν ὡς ὅτῳ — καινῶν Weilius. *ἔμπειρος] ἔμπορος 602. *ἀεὶ] αἰεὶ τύχης] τύχην Blomfieldus. 609. *ἔστειλα — μειλικτήρια] ἐστειλάτο — μηλικτήρια 616. ἴσον D.] βίον 617. ἐλάας D.] ἐλαίας 618. πλεκτά] πληκτά, ε. ab διορθωτῇ suprascr.

621. ἀγκαλεῖσθε D.] ἀνακαλεῖσθαι (*ἀνακαλεῖσθε) 633. *μου] μοι 635. βάγματ', ἦ D.] βάγματα 636. διαμβοάσω D.] διαβοάσω 641. *μεγαυχῆ] μεγαλαυχῆ 645. τὸν addidit D. 648. ἀνήρ Burnsius] ἀνὴρ ἦ 650. 'Αϊδωνεὺς — 'Αϊδωνεύς] Probabilius 'Αϊδωνεῦ — 'Αϊδωνεῦ ἀνείης Brunckius] ἂν εἴη 651. δῖον ἀνάκτορα Δαριᾶνα D. in Philologo p. 489] οἷον (olov schol. qui per μόνον explicat) ἄνακτα δαρειὰν ἠέ 652. οὐδὲ D.] οὔτε *ἀπώλλυ] ἀπόλλυ 656. εὖ ποδούχει D. l. c. p. 485.] ὑποδώκει (εὖ ἐποδώκει ab διορθωτῇ) ἠέ 657. ἰωά addidit D. l. c. p. 488. 495. βαλλὴν — βαλλὴν] *βαλὴν — βαλὴν, ut saepe βαλάντιον pro βαλλάντιον scribitur. ἐλθ' — τόνδ' ἐπ' D.] ἴθι — ἐλθ' ἐπ' 661. *τιάρας] τιήρας 664. Δαριάν D.] δαριάν (ει in ι mutato) οἶ 665. ἰωά — ἱκοῦ] Hunc versum substitui verbis ab interpolatore lacunae explendae causa fictis ὅπως καινά τε κλύῃς νέα τ' ἄχη: de quo dixi in Philologo p. 489. 667. δεσποτᾶν D.] δεσπότου 670. νεολαία] ε super αι ab διορθωτῇ. 671. Δαριάν D.] δαρειάν οἶ 673. αἶ αἶ αἰ αἰ M. Probabilius οἰοῖ οἰοῖ. 674. ὦ — ἁμάρτια D. in Philologo p. 491.] ὦ πολύκλαυτε φίλοισι θανών. | τί τάδε δυνάτα δυνάτα | περὶ ταὶ σαὶ διδυμαγόεν (δ' supra versum addidit διορθωτής) ἁμάρτια (ἁμαρτίσ pr.)

τί τάδε φίλοισι περίβαλες
δίδυμα γοᾶν ἁμάρτια;
πᾶσαι γὰρ γᾷ τᾷδ' ἐξέφθινθ' αἱ τρίσκαλμοι
νᾶες ἄναες, οἰοῖ.

ΔΑΡΕΙΟΣ.

ὦ πιστὰ πιστῶν ἥλικές θ' ἥβης ἐμῆς
Πέρσαι γεραιοί, τίνα πόλις πονεῖ πόνον,
στένει, κέκοπται, καὶ χαράσσεται πέδον;
λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας
ταρβῶ, χοὰς δὲ πρευμενὴς ἐδεξάμην.
ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου
καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις
οἰκτρῶς καλεῖσθέ μ'· ἔστι δ' οὐκ εὐέξοδον,
ἄλλως τε πάντως χοἰ κατὰ χθονὸς θεοὶ
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
ἥκω· τάχυνε δ', ὡς ἄμεμπτος ὦ χρόνου.
τί δ' ἐστὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;
ΧΟ. σέβομαι μὲν προσιδέσθαι, σέβομαι δ' ἀντία λέξαι
σέθεν ἀρχαίῳ περὶ τάρβει.
ΔΑ. ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,
μή τι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων
εἰπὲ καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς.
ΧΟ. δίεμαι μὲν χαρίσασθαι, δίεμαι δ' ἀντία φάσθαι,
λέξας δύσλεκτα φίλοισιν.
ΔΑ. ἀλλ' ἐπεὶ δέος παλαιὸν σοὶ φρενῶν ἀνθίσταται,
τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ' εὐγενὲς γύναι,
κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τί μοι
λέξον. ἀνθρώπεια δ' ἄν τοι πήματ' ἂν τύχοι βροτοῖς.
πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ
γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσω.
ΑΤ. ὦ βροτῶν πάντων ὑπεραχὼν ὄλβον εὐτυχεῖ πότμῳ,
ὅς θ', ἕως ἔλευσσες αὐγὰς ἡλίου, ζηλωτὸς ὢν
βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς διήγαγες,
νῦν τέ σε ζηλῶ θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος·
πάντα γάρ, Δαρεῖ', ἀκούσει μῦθον ἐν βραχεῖ λόγῳ·
διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.
ΔΑ. τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκηπτός, ἢ στάσις πόλει;
ΑΤ. οὐδαμῶς· ἀλλ' ἀμφ' Ἀθήνας πᾶς κατέφθαρται στρατός.
ΔΑ. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον
ΑΤ. θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.

694—696. = 700—702.

ΔΑ. πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;
ΑΤ. ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν.
ΔΑ. πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν;
ΑΤ. μηχαναῖς ἔζευξεν Ἕλλης πορθμόν, ὥστ' ἔχειν πόρον.
ΔΑ. καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλῇσαι μέγαν;
ΑΤ. ὧδ' ἔχει· γνώμης δέ πού τις δαιμόνων ξυνήψατο.
ΔΑ. φεῦ, μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.
ΑΤ. ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.
ΔΑ. καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;
ΑΤ. ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.
ΔΑ. ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;
ΑΤ. πρὸς τάδ' ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει
ΔΑ. ὢ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
ΑΤ. Βακτρίων δ' ἔρρει πανώλης δῆμος οὐ δή τις γέρων.
ΔΑ. ὢ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσεν.
ΑΤ. μονάδα δὲ Ξέρξην ἐρημόν φασιν οὐ πολλῶν μέτα
ΔΑ. πῶς τε δὴ καὶ ποῖ τελευτᾶν; ἔστι τις σωτηρία;
ΑΤ. ἄσμεναν μολεῖν γέφυραν γαῖν δυοῖν ζευκτηρίαν.
ΔΑ. καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ' ἐτήτυμον;
ΑΤ. ναί· λόγος κρατεῖ σαφηνὴς τοῦτο κοὐκ ἔνι στάσις.
ΔΑ. φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτήσειν θεούς·
ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συνάπτεται.
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν ηὑρῆσθαι φίλοις.
παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει·
ὅστις Ἑλλήσποντον ἱρὸν δοῦλον ὣς δεσμώμασιν
ἤλπισε σχήσειν ῥέοντα, Βόσπορον ῥόον θεοῦ·
καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
περιβαλὼν πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
θνητὸς ὢν θεῶν δὲ πάντων ᾤετ', οὐκ εὐβουλίᾳ,
καὶ Ποσειδῶνος κρατήσειν. πῶς τάδ' οὐ νόσος φρενῶν
εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόνος
οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
ΑΤ. ταῦτά τοι κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
πλοῦτον ἐκτήσω σὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν
τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα.

675. περίβαλες] Loquitur hic ut supra de Dario tanquam deo, qui mala et mittere et avertere possit. 679. πᾶσαι γὰρ γᾷ τᾷδ' D.] πᾶσαν γᾶν τάνδε pr., πᾶσαι γᾶι τᾶιδε corr. *ἐξέφθινθ'] ἐξέφυντ' cum οι super υ 680. οἰοῖ D.] ἄναες 681 ΔΑΡΕΙΟΣ] εἴδωλον δαρείου M. 683. στένει—] Ante hunc versum aliqua excidisse videntur, nisi quis, quod olim conieci, scribere malit πόλις πονοῦσ' ὅπλον | στένει — 687. ὀρθιάζοντες Robortellus] ῥοθιάζοντες 688. *καλεῖσθε] καλεῖσθαι 692. τάχυνε] α super ε 693. *τί δ'] δ' οια. 697. πεπεισμένος addidit διορθωτής. 698. μακιστῆρα] *μακεστῆρα 700. δίεμαι — δίεμαι Hermannus] δείομαι — δείομαι (*δίομαι — δίομαι) φάσθαι Porsonus] φᾶσθαι 703. παλαιὸν σοὶ Porsonus] παλαιόν σοι 706. δ' ἄν τοι] δή τοι D. in Annot. Oxon. p. 292. 708. γίγνεται Porsonus] γίνεται 709. εὐτυχεῖ] ει in ῃ mutatum in litura. *πότμῳ] πότμον 710. *ὅς θ' ἕως] ὡς ἕως τ' 713. ἀκούσει Porsonus] ἀκούσῃ *λόγῳ] χρόνῳ 714. *εἰπεῖν ἔπος] ἔπος εἰπεῖν

720. *δυοῖν στρατευμάτοιν] δοιοῖν (υ super οι) στρατηλάτοιν 721. Scriptura suspecta. πῶς δὲ καὶ τοσόνδε πεζὸς πέλαγος ἤνυσεν περᾶν Weilius. Satis erat πέλαγος pro πεζὸς scribere. *τοσόσδε — ἤνυσεν] ἤνυσεν (ἤνυσεν etiam 726. 744 748.: ἤνυσεν sine spiritu 766.) — τοσόσδε 723. κλῇσαι] κλῄσαι, ει super η ab διορθωτῇ. 726. ὡς] ὧδ' pr. ὧδ' corr., cum σ ab διορθωτῇ superscripto. 729 δορί] δόρι pr., quasi δόρει voluerit. 730. ὡς Σούσων] ὡς σούσων pr. Correxit διορθωτής. κενανδρίαν] Ultimum ν in litura alius literae. 731. κἀπικουρίας] κἀπικουρία pr., σ ab διορθωτῇ addito. 732. οὐ δή D.] οὐδέ 736. μολεῖν] γρ. φυγεῖν adscripsit διορθωτής. γαῖν margo Askewii] ἐν δυοῖν] δοιοῖν cum υ super οι, ut v. 720. 738. τοῦτο κοὐκ D.] τοῦτό γ' (τοῦδε κοὐκ Blomfieldus) 740. *ἐπέσκηψεν] ἀπέσκηψεν 743. κακῶν] κακῶν δ' Weilius. ηὑρῆσθαι D.] εὑρῆσθαι 745. ἱρόν] Sic M, non ἱερόν, quod est in apographis plerisque. 751. *πόρος] πόνος, ut schol. 753 ταῦτά τοι D.] ταῦτα τοῖς 754. *μέγαν] μέγα

ΔΑ. τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
μέγιστον, ἀείμνηστον, οἷον οὐδέπω
τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,
ἐξ οὔτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν,
ἕν' ἄνδρ' ἁπάσης Ἀσίδος μηλοτρόφου
ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσεν,
φρένες γὰρ αὐτοῦ θυμὸν ψακοστρόφουν,
τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ.
θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ηὔθυνε στρατόν.
πέμπτος δὲ Μάρδος ἦρξεν, αἰσχύνη πάτρᾳ
θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.
κἀγὼ πάλου τ' ἔκυρσα τοῦπερ ἤθελον,
κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ,
ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος φρονεῖ νέα,
κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς·
εὖ γὰρ σαφῶς τόδ' ἴστ', ἐμοὶ ξυνήλικες,
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα.
ΧΟ. τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
ΔΑ. εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,
μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν·
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
ΧΟ. πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;
ΔΑ. κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν.

778. ἕκτος δὲ Μάραφις, ἕβδομός τ' Ἀρταφρένης.

ΧΟ. ἀλλ' εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.
ΔΑ. ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
στρατὸς κυρήσει νοστίμου σωτηρίας.
ΧΟ. πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
ΔΑ. παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ.
κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
ᾐδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς·
βωμοὶ δ' ἄιστοι, δαιμόνων θ' ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.
τοιγὰρ κακῶς δράσαντες οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπιδύεται.
τόσος γὰρ ἔσται πέλανος αἱματοσταγὴς
πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια
μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένον
πινύσκετ' εὐλόγοισι νουθετήμασιν,
λῆξαι θεοβλαβοῦνθ' ὑπερκόπῳ θράσει.
σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
ἐλθοῦσ' ἐς οἴκους κόσμον ὅστις εὐπρεπὴς
λαβοῦσ' ὑπαντίαζε παιδί. παντὶ γὰρ
κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ' αὐτὸν εὐφρόνως σὺ πράϋνον λόγοις·
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δέ, πρέσβεις, χαίρετ' ἐν κακοῖς ὅμως
ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν,
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.
ΧΟ. ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.
ΑΤ. ὦ δαῖμον, ὥς με πόλλ' ἐσέρχεται κακὰ
ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι

---

762. οὔτε] οὔ γε Porsonus. 763. Ἀσίδος μηλοτρόφου] Imitatur Archilochi verba (ap. schol. Eurip. Med. 708.) Ἀσίδος γῆς καρτεβὸς μηλοτρόφου. 764. εὐθυντήριον] *ἰθυντήριον 765. γὰρ ἦν] ἦν γὰρ M, sed superscr. β et α. 767. post 776. transponit Siebelis. ψακοστρόφουν Porsonus] οἰακοστρόφουν 773. ηὔθυνε Brunckius] ἤθυνε pr., ἴθυνε corr. Aeschylus hic et alibi incertum est utrum εὐθύνειν, an, quod probabilius, ἰθύνειν, pariterque in derivatis, dicere maluerit. 774. *δὲ Μάρδος] δ' ἐμάρδος. Literis ος διορθωτὴς ις superscripsit, hoc addito scholio, ἡ γραφὴ ἡμάρτηται· τὸν γὸρ ἐπιθέμενον τῇ Καμβύσου ἀρχῇ μάγον ὄντα οὐδεὶς Μάρδον εἶπεν, οὔτε γένος οὔτε ὄνομα. μήποτε οὖν γραπτέον "Μάρδις αἰσχύνη πάτρᾳ". πάτρᾳ] πάτρηι, sed .α. superscr. 778. Versum spurium notavit Schuetzius. *τ'] om. 779. *τ'] δ'. In apogr. nonnullis κἀγὼ δ' ἔκυρσα τοῦπερ ἤθελον πάλου. 781. κακόν in fine collocari mavult Weilius. προσέβαλον] Alterum λ superscr., i. e. προσέβαλλον 782. ὢν νέος φρονεῖ νέα Monkius] νέος ἐὼν (* ὢν) νέα φρονεῖ 784. Ante haec verba versum unum excidisse opinatur Weilius et εὖ γὰρ in οὐ γὰρ mutat cum Heimsoethio. 791. εἰ] ἦν Brunckius, recte, si recte legitur πλεῖον ᾖ, quod suspectum est propter πλεῖον, pro quo Attici veteres πλέον dicere solent, neque intelligitur cur sic scripserit poeta, quum in promptu esset στράτευμ' εἴη πλέον. Fortasse igitur aut sic scribendum aut εἰ — πληθύοι, cui glossema adscribi potuit πλέον εἴη. 794. ὑπερπόλλους] ὑπερπόλους pr. (ut πολῷ a m. pr. est 780.): ex quo διορθωτὴς primo ὑπερπόλλους, deinde λ eraso ὑπερπώλους fecit, quod in apogr. plura transiit.

795. *εὐσταλῆ] εὐτελῆ, τ in στ mutato. 796. *τόποις] τρόποις 806. *φίλον] φίλος 810. πιμπράναι] μ ab διορθωτῇ insertum. πιπράναι pr. 811. *θ'] om. 815. ἐκπιδύεται Schuetzius] ἐκπαιδεύεται 816. *αἱματοσταγὴς — Πλαταιῶν — Δωρίδος] αἱματοσφαγὴς — πλατέων — δωριάδος 818. θῖνες νεκρῶν δέ] νεκρῶν δὲ θῖνες Hermannus. 819. *σημανοῦσιν] σημαινοῦσιν (hoc accentu) 827. 831. ὑπερκόπων — ὑπερκόπῳ Blomfieldus] ὑπερκόμπων — ὑπερκόμπῳ 829. κεχρημένον ex schol.] κεχρημένοι 834. παντὶ Canterus] πάντα 841. ψυχὴν — ἡδονῇ Pauwius] ψυχῇ — ἡδονὴν 845. πόλλ' ἐσέρχεται Turnebus] πολλὰ εἰσέρχεται M. Fort. πόλλ' ἐπέρχεται κακὰ] κακῶν Bothius, ut 835.

ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
ἀλλ' εἶμι καὶ λαβοῦσα κόσμον ἐκ δόμων
ὑπαντιάζειν παιδί μου πειράσομαι.
οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

XO. ὢ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν,
εὖθ' ὁ γηραιὸς
πανταρκὴς ἀκάκας ἄμαχος βασιλεὺς
ἰσόθεος Δαρεῖος ἆρχε χώρας.
πρῶτα μὲν εὐδοκίμους στρατιὰς ἀπεφαινόμεθ', ἠδὲ νομίσματα πύργινα
πάντ' ἐπηύθυνον.
νόστοι δ' ἐκ πολέμων ἀπόνους ἀπαθεῖς
⏑ ⏑ ⏑ εὖ πράσσοντας ἆγον οἴκους.
ὅσας δ' εἷλε πόλεις πόρον οὐ διαβὰς Ἅλυος ποταμοῖο,
οὐδ' ἀφ' ἑστίας συθείς,
οἷαι Στρυμονίου πελάγους Ἀχελωΐδες εἰσὶ πάροικοι
Θρηκίων ἐπαύλων,
λίμνας τ' ἔκτοθεν αἳ κατὰ χέρσον ἐληλάμεναι περὶ πύργον
τοῦδ' ἄνακτος ἄιον,
Ἕλλας τ' ἀμφὶ πόρον πλατὺν εὐχόμεναι, μυχία τε Προποντίς,
καὶ στόμωμα Πόντου·
νᾶσοί θ' αἳ κατὰ πρῶν' ἅλιον περίκλυστοι,
τᾷδε γᾷ προσήμεναι,
οἷα Λέσβος, ἐλαιόφυτός τε Σάμος, Χίος,
ἠδὲ Πάρος, Νάξος, Μύκονος, Τήνῳ τε συνάπτουσ'
Ἄνδρος ἀγχιγείτων,
καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους,
Λῆμνον, Ἰκάρου θ' ἕδος,
καὶ Ῥόδον ἠδὲ Κνίδον Κυπρίας τε πόλεις, Πάφον,
ἠδὲ Σόλους, Σαλαμῖνά τε, τᾶς νῦν ματρόπολις τῶνδ'
αἰτία στεναγμῶν.
καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰαόνιον πολυάνδρους
Ἑλλάνων ἐκράτυνε σφετέραις φρεσίν,
ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν τευχηστήρων
παμμίκτων τ' ἐπικούρων,
νῦν δ' οὐκ ἀμφιλόγως θεότρεπτα τάδ' αὖ φέρομεν πολέμοισι
δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισιν.

ΞΕΡΞΗΣ.

ἰώ,
δύστηνος ἐγὼ στυγερᾶς μοίρας
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ· τί πάθω τλήμων;
λέλυται γὰρ ἐμοὶ γυίων ῥώμη
τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
εἴθ' ὄφελε, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν
τῶν οἰχομένων
θανάτου κατὰ μοῖρα καλύψαι.

XO. ὀτοτοῖ, βασιλεῦ, στρατιᾶς ἀγαθῆς
καὶ Περσονόμου τιμῆς μεγάλης,
κόσμου τ' ἀνδρῶν,
οὓς νῦν δαίμων ἐπέκειρεν.
γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
ἥβαν Ξέρξᾳ κταμέναν Ἅιδου
σάκτορι Περσᾶν· ᾀδοβάται γὰρ
πολλοὶ φῶτες, χώρας ἄνθος,
τοξοδάμαντες, πάνυ ταρφύς τις
μυριὰς ἀνδρῶν, ἐξέφθινται.
αἰαῖ αἰαῖ κεδνᾶς ἀλκᾶς.
Ἀσία δὲ χθών, βασιλεῦ γαίας,
αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

ΞΕ. ὅδ' ἐγώ, οἰοῖ, αἰακτὸς
μέλεος γέννᾳ γᾷ τε πατρῴᾳ
κακὸν ἆρ' ἐγενόμαν.

XO. πρόσφθογγόν σοι νόστου τὰν
κακοφάτιδα βοάν, κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος
πέμψω πολύδακρυν ἰακχάν.

ΞΕ. ἵετ' αἰανῆ πάνδυρτον
δύσθροον αὐδάν. δαίμων γὰρ ὅδ' αὖ
μετάτροπος ἐπ' ἐμοί.

XO. ἥσω τοι καὶ πάνδυρτον,
λαοπαθῆ σέβων ἁλίτυπά τε βάρη,
πόλεως γέννας πενθητῆρος.
κλάγξω δ' αὖ γόον ἀρίδακρυν.

ΞΕ. Ἰάνων γὰρ ἀπηύρα,

852—856. = 857—863.
861—870. = 871—878.
879—887. = 888—896.

932—939. = 940—948.
949—961. = 962—971.

---

850. παιδί μου D.] ἐμῷ παιδί, ex quo παιδὶ ἐμῷ fictum in apogr. pluribus, παιδ' ἐμῷ ab Turnebo. ἐμῷ παιδί si glossema sit, etiam μου τέκνῳ scribi potest cum Weilio. παιδ' ἐμὸν Lobeck. ad Soph. Ai. p. 350. ed. sec. 854. *γηραιός] γεραιός 855. πανταρκής Ald.] παντάρκης *ἀκάκας] ἀκάκης 856. *ἆρχε] ἄρχε 857. εὐδοκίμους στρατιὰς Wellauerus] εὐδοκίμου στρατιᾶς *ἀπεφαινόμεθ'] ἀποφαινόμεθ' 859. νομίσματα Hermannus] νόμιμα τά 860. ἐπηύθυνον D.] ἐπέ.θυνον, eraso υ ante θ. ἐπεύθυνεν Bothius. 862. Indicavi trium syllabarum defectum. ἄκτορας supplet Halmius in Museo Rhen. vol. 23. p. 207. *ἆγον] ἄγον οἴκους Porsonus] ἐς οἴκους 864. ποταμοῖο, | οὐδ' Burneius] ποταμοῦ, eraso post id δ' in fine versus et adscripta ab διορθωτῇ litera δ' ante ἀφ'. In apogr. nonnullis ποταμοῦ οὐδ' vel ποταμοῦ γ' οὐδ'. 865. *συθείς] συνθείς 870. *θρηϊκίων (Θρηκίων Brunckius)] θρηΐκων 872. ἐληλάμεναι (*ἐληλαμέναι)] Accentus a m. rec. additos. 875. *τ'] om. εὐχόμεναι] ἀρχόμεναι Blomfieldus. 884 *οἷα] οἷα 888. Ἄνδρος] ἀνδρων, sed superscr. .δσ. ab διορθωτῇ. 889. *μεσάκτους] μεσάγκτους 891. καὶ Ῥόδον] Ῥόδον τ' Hermannus. 895. *ματρόπολις] ματροπόλεις 896. στεναγμῶν Hermannus] στεναγμάτων 899. Ἰαόνιον Hermannus] ἰόνιον 900. Ἑλλάνων] *ἑλαύνων ἐκράτυνε (ἐκράτυνεν M)] Metrum postulat ἐκράτει, quod scripsit Hermannus, vel aliud verbum, si recte habet σφετέραις.

904. *θεότρεπτο] θεόπρεπτα 905. πολέμοισι] πολέμοιο Weilius. 908. ἰώ] Fortasse duplicandum. 913. ἐμοὶ Schuetzius] ἐμῶν 918. ὀτοτοῖ Blomfieldus] ὀτοτοτοῖ *βασιλεῦ] βασιλεῦς (sic) 922. ἐγγαίαν — σάκτορι] ἐγγαίῳ | κταμέναν ἥβαν σάκτορι Weilius. Ξέρξᾳ Bothius, Ἅιδου Heimsoethius deleverat. 924. ᾀδοβάται Passovius] ἀγδαβάται 926. ταρφύς τις Franzius] γὰρ φύστις 928. αἰαῖ αἰαῖ] αἶ αἶ M. Quater αἶ in apogr. uno. Xerxis personam in M praescriptam delevit Hermannus. 931. ἐγὼ D.] ἐγὼν M hic et absurde in fine trimetri Suppl. 740. οἰοῖ] οἶοῖ (sic) M. 933. πατρῴᾳ Heathius] πατρίᾳ 935. *πρόσφθογγον] πρόφθογγον 939. πέμψω — ἰακχάν Porsonus] πέμψω πέμψω — ἰαχάν 940. αἰανῆ] *αἰανὴν καὶ (καὶ recte delevit Passovius) πάνδυρτον Blomfieldus] καὶ πανόδυρτον 944. πάνδυρτον (πάνδυρτος Hermannus) Blomfieldus] πανόδυρτον 945. λαοπαθῆ corruptum. Requiritur vocabulum ex syllabis quinque brevibus constans, quale est νεοπαθέα, quod coniecit Paleius. σέβων Hermannus] τε σεβίζων (τεσσεβίζων pr.) 949. ΞΕ. addidit Lachmannus.

'Ιάνων ναύφαρκτος
Ἄρης ἑτεραλκὴς
νυχίαν πλάκα κερσάμενος
δυσδαίμονά τ' ἀκτάν.
ΧΟ. οἰοιοῖ βόα καὶ πάντ' ἐκπεύθου.
ποῦ δὲ φίλων ἄλλος ὄχλος,
ποῦ δὲ σοὶ παραστάται,
οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων,
Δοτάμας ἠδ' Ἀγδαβάτας, Ψάμμις,
Σουσισκάνης τ'
Ἀγβάτανα προλιπών.
ΞΕ. ὀλοοὺς ἀπέλειπον
Τυρίας ἐκ ναὸς
ἔρροντας ἐπ' ἀκταῖς
Σαλαμινιάσι στυφελοῦ
θείνοντας ἐπ' ἀκτᾶς.
ΧΟ. οἰοιοῖ βόα, ποῦ σοι Φαρνοῦχος
Ἀριόμαρδός τ' ἀγαθός,
ποῦ δὲ Σευάλκης ἄναξ,
ἢ Λιλαῖος εὐπάτωρ,
Μέμφις, Θάρυβις
καὶ Μασίστρας Ἀρτεμβάρης τ'
ἠδ' Ὑσταίχμας;
τάδε σ' ἐπανερόμαν.
ΞΕ. ἰὼ ἰώ μοι,
τὰς ὠγυγίους κατιδόντες
στυγνὰς Ἀθάνας πάντες ἑνὶ πιτύλῳ,
ἐὴ ἐή, τλάμονες ἀσπαίρουσι χέρσῳ.
ΧΟ. ἦ καὶ τὸν Περσᾶν αὐτοῦ
τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν
μυρία μυρία πεμπαστὰν
Βατανώχου παῖδ' Ἄλπιστον
– ◡́ ◡ – –
τοῦ Σισάμνα τοῦ Μεγαβάτα,
Πάρθον τε μέγαν τ' Οἰβάρην
ἔλιπες ἔλιπες; ὠωὼ δᾴων.
Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.

973—987. = 988—1001.

ΞΕ. ἴυγγά μοι δῆτ'
ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις,
ἄλαστ' ἄλαστα στυγνὰ πρόκακα λέγων.
βοᾷ βοᾷ μοι μελέων ἔντοσθεν ἦτορ.
ΧΟ. καὶ μὴν ἄλλους γε ποθοῦμεν,
Μάρδων ἀνδρῶν μυριοταγὸν
Ξάνθιν ἄρειόν τ' Ἀγχάρην,
Διάϊξίν τ' ἠδ' Ἀρσάκην
ἱππιάνακτας,
Κηγδαδάταν καὶ Λυθίμναν
Τόλμον τ' αἰχμᾶς ἀκόρεστον.
ἔταφον ἔταφον, οὐκ ἀμφὶ σκηναῖς
τροχηλάτοισιν ὄπιθεν ἑπόμενοι.
ΞΕ. βεβᾶσι γὰρ τοίπερ ἀγρέται στρατοῦ,
ΧΟ. βεβᾶσιν, οἶ, νώνυμοι,
ΞΕ. ἰὴ ἰή, ἰὼ ἰώ.
ΧΟ. ἰὼ ἰώ, δαίμονες,
ἔθεσθ' ἄελπτον κακὸν
ζαπρέπον, οἷον δέδορκεν Ἄτα.
ΞΕ. πεπλήγμεθ', οἷαι δι' αἰῶνος τύχαι.
ΧΟ. πεπλήγμεθ', εὔδηλα γάρ,
ΞΕ. νέᾳ νέᾳ δύᾳ δύᾳ,
ΧΟ. Ἰαόνων ναυβατᾶν
κύρσαντες οὐκ εὐτυχῶς.
δυσπόλεμον δὴ γένος τὸ Περσᾶν. [γμαι.
ΞΕ. πῶς δ' οὔ; στρατὸν μὲν τοσοῦτον τάλας πέπλη-
ΧΟ. τί δ' οὐκ; ὄλωλεν μεγάλως τὰ Περσᾶν.
ΞΕ. ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;
ΧΟ. ὁρῶ ὁρῶ.
ΞΕ. τόνδε τ' οἰστοδέγμονα
ΧΟ. τί τόδε λέγεις σεσωσμένον;
ΞΕ. θησαυρὸν βελέεσσιν.
ΧΟ. βαιά γ' ὡς ἀπὸ πολλῶν.
ΞΕ. ἐσπανίσμεθ' ἀρωγῶν.
ΧΟ. Ἰάων λαὸς οὐ φυγαίχμας.

1002—1007. = 1008—1013.
1014—1025. = 1026—1037.

950. Ἰάνων] ἰάων pr., ν supra versum ab διορθωτῇ. ναύφαρκτος D.] ναύφρακτος 952. νυχίαν] μυχίαν Pauwius. κερσάμενος] κερσαμένους Weilius. 954. ΞΕ., 955. ΧΟ. praescriptum in M. Correxit Lachmannus. 954. 966. οἰοιοῖ D.] οἶ οἶ οἶ *ἐκπεύθου] ἐκπεύθοι 956. δὲ σοὶ Porsonus] δέ σοι 959. Δοτάμας Hermannus] καὶ δοτάμας *Ἀγδαβάτας] ἀγαβάτας M. Ἀγβάτας Weilius, qui hos versus sic scripsit, Σ. Π. καὶ Δατάμας | Ψαμμισκάνης τ' ἠδ' Ἀγβάτας | Ἀγαβάτανα λιπών. 961. *προλιπών] λιπών 964. Σαλαμινιάσι Hermannus] σαλαμινῖσιν (*σαλαμινίσι) στυφελοῦ Blomfieldus] στυφέλου 966. βόα ex v. 954. addidit Hermannus et δέ post ποῦ delevit. 967. Ἀριόμαρδος Brunckius] ἢ (sine accentu) ἀριόμαρδος M. κἀριόμαρδος in apographis. 968. Σευάλκης] σευάκης Ald. 969. Λιλαῖος Lehrsius] λίλαιος (ut 308.) 972. ἐπανερόμαν Wellauerus] ἐπανέρομαι (*ἐπανέρωμαι) 973. *μοι] μοὶ μοὶ 976. ἐὴ ἐὴ D.] $\overset{\text{H}}{\epsilon}\ \overset{\text{H}}{\epsilon}\ \overset{\text{H}}{\epsilon}$ 979. τὸν] τῶν pr. Περσᾶν Blomfieldus] περσῶν Post 982. exciderunt duo anapaesti respondentes versui 996. 983. Σισάμνα] σησάμα (*σεισάμα), de quo L. Dindorfius in Thes. vol. 7. p. 199. "Veram scripturam esse Σισάμνα, ceteras librariis deberi ad σήσαμον vel σεισ— aberrantibus, ostendit varietas scripturae apud Herodotum (5, 25. 7, 66.) in nomine Σισάμνης. Diversus autem videtur Σεισάμης ὁ Μύσιος v. 322., nisi quod hic quoque per ι scribendus erit, si recte scribitur Σισάμνης." 984. *τ' Οἰβάρην] τοιβάρην τ' 985. ὠωὼ δᾴων D.] ὦ ὦ δαΐων 986. *πρόκακα] προκακὰ

988. ἴυγγά μοι] ὔϊγγα, sed margo a m. pr. γρ. ἴυγγά μοι μοι δῆτ' | ἀγαθῶν] δή μοι κεδνῶν Weilius. 989. ὑπομιμνήσκεις (ὑπομιμνήισκεις M)] Glossema alius verbi, velut ὑποφαίνεις. 990. ἄλαστ' addidit Hermannus. 991. μοι addidit D. ἔντοσθεν Blomfieldus] ἔνδοθεν 992. ἄλλους D.] ἄλλο ἄλλους γε ποθοῦμεν] ἄλλων ἱμείρω Weilius. 993. μυριοταγὸν D.] μυριονταρχὸν pr. M. μυριόνταρχον corr. 994. Ξάνθιν Hermannus] ξάνθην 995. Διάϊξιν Weilius] δίαιξιν Ἀρσάκην] Ἀρσάμην Burneius ut v. 37. 998. κηγδαδάταν] *κεγδαδάταν vel καὶ δαδάταν. καὶ Δαδάταν (vel καὶ Γαδάταν) καὶ Λυοθίμναν Weilius. 999. *τ'] om. 1000. 1003. ΞΕ. et 1004. (ἰὴ-) — 1006. ΧΟ. praescriptum in M. Correxit Passovius. 1001. ὄπιθεν Wellauerus] ὄπισθεν δ' (δ' delevit Blomfieldus) ἑπόμενοι] ἑπομένους Weilius. 1002. βεβᾶσι γὰρ τοίπερ Passovius] βεβᾶσιν γὰρ οἵπερ M. βεβᾶσιν οὐχ ᾧπερ Heimsoethius. ἀγρέται Toupius] ἀγρόται et in marg. γρ. ἀκρόται 1003. *οἶ νώνυμοι] οἶ νώνυμνοι 1005. ἔθεσθ' Schneiderus] ἔθετ' 1006. ζαπρέπον D.] διαπρέπον 1007. οἷαι — τύχαι] οἶ οἶ — τύχᾳ Blomfieldus. δι' αἰῶνος] γρ. δαίμονος τύχαι margo M ab διορθωτῇ: quod διαίμονες τύχαι esse potest, quale quid ab metro postulatur. 1010. choro continuat M. Correxit Hermannus. νέᾳ νέᾳ δύᾳ δύᾳ Weilius] νέαι νέαι δύαι δύαι 1011. *Ἰαόνων] ἰάνων ναυβατᾶν Robortellus] ναυβάτων 1014. πῶς — τάλας] τί — φθίσας Heimsoethius. 1015. μεγάλως τὰ Hermannus] μεγάλατε 1020. τόνδε Porsonus] τὰν δέ 1022. βελέεσσιν Hermannus] βέλεσσιν 1025. Ἰάων Hermannus] ἰαόνων. Ἰάνων Passovius.

ΞΕ. ἀγανόρειος· κατεῖδον δὲ πῆμ' ἄελπτον.
ΧΟ. τραπέντα ναύφαρκτον ἐρεῖς ὅμιλον;
ΞΕ. πέπλον δ' ἐπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ.
ΧΟ. παπαῖ παπαῖ.
ΞΕ. καὶ πλέον ἢ παπαῖ μὲν οὖν.
ΧΟ. δίδυμα γάρ ἐστι καὶ τριπλᾶ.
ΞΕ. λυπρά, χάρματα δ' ἐχθροῖς.
ΧΟ. καὶ σθένος γ' ἐκολούσθη.
ΞΕ. γυμνός εἰμι προπομπῶν.
ΧΟ. φίλων ἄταισι ποντίαισιν.
ΞΕ. δίαινε δίαινε πῆμα· πρὸς δόμους δ' ἴθι.
ΧΟ. διαίνομαι γοεδνὸς ὤν.
ΞΕ. βόα νυν ἀντίδουπά μοι.
ΧΟ. δόσιν κακὰν κακῶν κακοῖς.
ΞΕ. ἴυζε μέλος ὁμοῦ τιθείς.
ΧΟ. ὀτοτοτοτοῖ,
    βαρεῖά γ' ἅδε συμφορά·
    οἶ μάλα καὶ τόδ' ἀλγῶ.
ΞΕ. ἔρεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν.
ΧΟ. αἰαῖ αἰαῖ, δύα δύα.
ΞΕ. βόα νυν ἀντίδουπά μοι.
ΧΟ. μέλειν πάρεστι, δέσποτα.
ΞΕ. ἐπορθίαζέ νυν γόοις.

1038—1045. = 1046—1053.

ΧΟ. ὀτοτοτοτοῖ,
    μέλαινα δ' ἀμμεμίξεται,
    οἶ, στονόεσσα πλαγά.
ΞΕ. καὶ στέρν' ἄρασσε κἀπιβῶ τὸ Μύσιον.
ΧΟ. ἄνι' ἄνια.
ΞΕ. καί μοι γενείου πέρθε λευκήρη τρίχα.
ΧΟ. ἄπριγδ' ἄπριγδα μάλα γοεδνά.
ΞΕ. ἀΰτει δ' ὀξύ. ΧΟ. καὶ τάδ' ἔρξω.
ΞΕ. πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν.
ΧΟ. ἄνι' ἄνια.
ΞΕ. καὶ ψάλλ' ἔθειραν καὶ κατοίκτισαι στρατόν.
ΧΟ. ἄπριγδ' ἄπριγδα μάλα γοεδνά.
ΞΕ. διαίνου δ' ὄσσε. ΧΟ. τέγγομαί τοι.
ΞΕ. βόα νυν ἀντίδουπά μοι.
ΧΟ. οἰοῖ οἰοῖ.
ΞΕ. αἰακτὸς ἐς δόμους κίε.
ΧΟ. ἰὼ ἰώ, Περσὶς αἶα δύσβατος.
ΞΕ. ἰωὰ δὴ κατ' ἄστυ.
ΧΟ. ἰωὰ δῆτα, ναὶ ναί.
ΞΕ. γοᾶσθ' ἁβροβάται.
ΧΟ. ἰὼ ἰώ, Περσὶς αἶα δύσβατος.
ΞΕ. ἰὴ ἰὴ τρισκάλμοισιν,
    ἰὴ ἰή, βάρισιν ὀλόμενοι.
ΧΟ. πέμψω τοί σε δυσθρόοις γόοις.

1054—1059. = 1060—1065.

1028. ἀγανόρειος] ἄγαν ἄρειος Meinekius ad Theor. p. 396. 1029. ναύφαρκτον D.] ναύφρακτον 1038. δίαινε δίαινε] Si hoc verbo usus est Aeschylus, de quo vix dubitari potest, quum sequatur διαίνομαι et infra 1065. διαίνου, δίαιν δίαινε scribendum erit: de quo dixi in Annot. Oxon. p. 318. ἴαιν' ἴαινε Heimsoethius. 1039. 1047. Horum versuum sedes permutatae in M. Transposuit Butlerus. 1040. 1048. 1066. νυν Pauwius] νῦν. Sic etiam 1050. 1042. μέλος ὁμοῦ τιθείς] συντιθεὶς μέλος Weilius. 1043. 1051. ὀτοτοτοτοῖ (*ὀτοτοῖ)] Probabilius οἰοῖ οἰοῖ, quod posuit Weilius, ut infra v. 1067. Idem v. 1045. οἰοῖ μάλα καὶ τόδ' ἀλγῶ et v. 1053. οἰοῖ στονόεσσα πλαγά. 1045. *οἶ] οἱ 1052. ἀμμεμίξεται D.] ἂν (in αὖ mutatum) μεμίξεται. Huic proximoque versui lineolae praescriptae in M. 1053. οἶ Lachmannus] μοι 1054. κἀπιβῶ D.] κἀπιβόα (καὶ βόα Eustath. ad Dionys. P. 791.) 1055. 1061. ἄνι' ἄνια M. Fortasse utrobique addendum κακά, ut v. 256. 1056. *πέρθε] ὕπερθε 1057. 1064. *ἄπριγδ'] ἄπριγδα 1060. *ἔρεικε] ἔρειδε 1062. κατοίκτισαι] *κατοίκτιζε 1066—1077. Hi versus si ipsi quoque antistrophici fuerint, quae quorundam opinio est. verba plura versusque integri exciderint necesse est. 1074. 1075. ἰὴ ἰὴ Hermannus] ηἠηή utrobique.

ΑΙΣΧΥΛΟΥ ΙΚΕΤΙΔΕΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΧΟΡΟΣ ΔΑΝΑΙΔΩΝ.
ΔΑΝΑΟΣ.
ΒΑΣΙΛΕΥΣ ΑΡΓΕΙΩΝ.
ΚΗΡΥΞ.

ΧΟΡΟΣ.

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
στόλον ἡμέτερον νάϊον ἀρθέντ'
ἀπὸ προστομίων λεπτοψαμάθων
Νείλου. Δίαν δὲ λιποῦσαι
χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,
οὔτιν' ἐφ' αἵματι δημηλασίαν
ψήφῳ πόλεως γνωσθεῖσαι,
ἀλλ' αὐτογενεῖ φυξανορίᾳ,
γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ'
ὀνοταζόμεναι.
Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος
καὶ στασίαρχος τάδε πεσσονομῶν
κύδιστ' ἀχέων ἐπέκρανε,
φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,
κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ
γένος ἡμέτερον τῆς οἰστροδόνου
βοὸς ἐξ ἐπαφῆς κἀξ ἐπιπνοίας
Διὸς εὐχόμενον τετέλεσται.
τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον
τῆσδ' ἀφικοίμεθα
σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις
ἐριοστέπτοισι κλάδοισιν;
ὧν πόλις, ὧν γῆ, καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοί, καὶ βαρύτιμοι
χθόνιοι θήκας κατέχοντες,
καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ
ὁσίων ἀνδρῶν, δέξοιθ' ἱκέτην
τὸν θηλυγενῆ στόλον αἰδοίῳ
πνεύματι χώρας· ἀρσενοπληθῆ δ'
ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
θεῖναι ξὺν ὄχῳ ταχυήρει,
πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι
χειμωνοτύπῳ βροντῇ στεροπῇ τ'
ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας
ἁλὸς ἀντήσαντες ὄλοιντο,
πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει,
σφετεριξάμενοι πατραδέλφειαν
τήνδ' ἀεκόντων ἐπιβῆναι.
νῦν δ' ἐπικεκλομένα
Δῖον πόρτιν ὑπερπόντιον τιμάορ', ἶνιν
ἀνθονομούσας προγόνου
βοὸς ἐξ ἐπιπνοίας
Ζηνὸς ἔφαψιν· ἐπωνυμίᾳ δ' ἐπεκραίνετο μόρσιμος
εὐλόγως, Ἔπαφον δ' ἐγέννασεν· [αἰὼν
ὄντ' ἐπιλεξαμένα,

41—48. = 49—56.

Personarum indicem, quo caret M, addidit Aldus.

2. νάϊον ἀρθέντ' Turnebus] ναῖον ἀρόεντ' 4. λεπτοψαμάθων Pauwius] λεπτομαθῶν 5. Δίαν Seidlerus ad Eur. Tro. 176.] διαν δὲ λιποῦσαι Turnebus] δὲ λειποῦσαι, quod λιποῦσαι esse accentus docet. δ' ἐκλείπουσαι Seidlerus. 7. δημηλασίαν Auratus] δημηλασίαι (i. e. δημηλασίᾳ) 9. αὐτογενεῖ φυξανορίᾳ Bambergerus] αὐτογένητον φυ. ξάνοραν, una post φυ litera erasa superscripto α λ, et in marg. γρ. φυξάνοραν 11. ὀνοταζόμεναι] διάνοιαν addit Weilius. 14. ἀχέων] ἀχαίων, sed ε superscr. 15. διὰ κῦμ' ἅλιον Hesychius s. v. ἀνέδην] διακυμ . αλέον, erasa post μ litera una. 16. κέλσαι Sophianus] κεασαι 17. οἰστροδόνου Turnebus] υἰστροδόμου 18 ἐπιπνοίας] ἐπι. νοίας, eraso ut videtur π. 20. τίν' ἂν οὖν Burgesius] τίνα οὖν, erasa post τίνα litera una.

22. ἐγχειριδίοις] ἐνχειριδίοις pr. 23. ἐριοστέπτοισι Scaliger] ἱεροστέπτοισι 30. δ' ἑσμὸν Turnebus] δεσμὸν 34. ἔνθα δὲ Robortellus] ἐνθάδε 39. σφετεριξάμενοι Hermannus] σφετεριξάμενον πατραδέλφειαν Pauwius] πατραδελφίαν 41 ἐπικεκλομένα Turnebus] ἐπικεκλόμεναι 43. ἶνιν Hermannus] ἶνίν τ' 44. ἀνθονομούσας Porsonus] ἀνθονόμουσ̈ (duo puncta σ delendum esse indicant) τᾶς 48. δ' ἐγέννασεν· | ὄντ' Porsonus] δὲ (*τ') ἐγέννασε ἐ| όντ' (δὲ γέννασ ἐ|όντ' a m sec.)

νῦν ἐν ποιονόμοις ματρὸς ἀρχαίας τόποις τῶν
πρόσθε πόνων μνασαμένα,
γονέων ἐπιδείξω [φανεῖται.
πιστὰ τεκμήρι' ἃ γαιονόμοισιν ἄελπτά περ ὄντα
γνώσεται δέ λόγους τις ἐν μάκει.
εἰ δέ κυρεῖ τις πέλας οἰωνοπόλων
ἐγγάϊος οἶκτον ἀΐων,
δοξάσει τις ἀκούειν ὄπα τᾶς Τηρεΐας
μήτιδος οἰκτρᾶς ἀλόχου,
κιρκηλάτας ἀηδόνος,
ἅτ' ἀπὸ χώρων ποταμῶν τ' ἐργομένα
πενθεῖ νέον οἶκτον ἠθέων·
ξυντίθησι δέ παιδὸς μόρον, ὡς αὐτοφόνως
ὤλετο πρὸς χειρὸς ἕθεν
δυσμάτορος κότου τυχών·
τὼς καὶ ἐγὼ φιλόδυρτος Ἰαονίοισι νόμοισι
δάπτω τὰν ἁπαλὰν Νειλοθερῆ παρειὰν
ἀπειρόδακρύν τε κάρζαν.
γοεδνὰ δ' ἀνθεμίζομαι
δεῖμα, μένουσα φίλους, τᾶσδε φυγᾶς
Ἀερίας ἀπὸ γᾶς
εἴ τις ἐστὶ κηδεμών.
ἀλλά, θεοί γενέται, κλύετ' εὖ τὸ δίκαιον ἰδόντες.
ἥβᾳ μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν,
ὕβριν δ' ἐτύμως στυγοῦντες,
πέλοιτ' ἂν ἔνδικοι γάμοις.
ἔστι δέ κἀκ πολέμου τειρομένοις
βωμὸς ἀρῆς φυγάσιν

57—62. = 63—68.
69—76. = 77—84.

ῥῦμα, δαιμόνων σέβας,
εἰ θείη θεὸς εὖ παναληθῶς.
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη.
παντᾷ τοι φλεγέθει κἀν σκότῳ μελαίνᾳ ξὺν τύχᾳ
μερόπεσσι λαοῖς.
πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ,
κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων δάσκιοί τε τείνουσιν πόροι
κατιδεῖν ἄφραστοι.
ἰάπτει δ' ἐλπίδων
ἀφ' ὑψιπύργων πανώλεις βροτούς,
βίαν δ' οὔτιν' ἐξοπλίζει,
τὰν ἄπονον δαιμονίων· μνῆμον ἄνω φρόνημά πως
αὐτόθεν ἐξέπραξεν ἔμπας ἑδράνων ἀφ' ἁγνῶν.
ἰδέσθω δ' εἰς ὕβριν
βρότειον, οἵα νεάζει, πυθμὴν
δι' ἀμὸν γάμον τεθαλὼς
δυσπαραβούλοισι φρεσίν, καὶ διάνοιαν μαινόλιν
κέντρον ἔχων ἄφυκτον, ἄταν δ' ἀπάτᾳ μετα-
τοιαῦτα πάθεα μέλεα θρεομένα δ' ἐγὼ
  γνούς.
λιγέα βαρέα δακρυοπετῆ,
ἰὴ ἰή,
ἰηλέμοισιν ἐμπρεπῆ ζῶσα γόοις με τιμῶ.
ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,
(καρβᾶν' αὐδὰν εὖ, γᾶ, κοννεῖς)
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι
λίνοισιν ἢ Σιδονίᾳ καλύπτρᾳ.
θεοῖς δ' ἐναγέα τέλεα πελομένων καλῶς
ἐπίδρομ', ὁπόθι θάνατος ἀπῇ.
ἰὼ ἰώ,
ἰὼ δυσάγκριτοι πόνοι. ποῖ τόδε κῦμ' ἀπάξει;
ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,
(καρβᾶν' αὐδὰν εὖ, γᾶ, κοννεῖς)
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι
λίνοισιν ἢ Σιδονίᾳ καλύπτρᾳ.

85—89. = 90—94.
95—102. = 103—110.
111—122. = 123—133.

53. γονέων Hermannus] τά τε νῦν M. γονέων legit schol. qui exp. τὸ ἑξῆς, ὃν ἐπικαλουμένη νῦν ἐν Ἄργει δείξω πιστὰ τεκμήρια, ὡς οὐ ξένος ὢν ἐλεύσεται, ἀλλ' εἰς προγόνων γῆν. 54. τεκμήρια, γαιονόμοισι δ' (debebat τεκμήρι' ἃ γαιονόμοισιν) Hermannus] τεκμήρια τά τ' (τά τ' in litura duarum litorarum, quarum prior non τ fuit) ἀνόμοια οἶδ' 56. λόγους] Schol. προϊόντος τοῦ λόγου, unde λόγου coniecit Fr. Martinus. 59. ἐγγάϊος Bambergerus] ἔγγαιος οἶκτον Bothius] οἶκτον οἰκτρὸν 60. ἀκούειν Heathius] ἀκούων Τηρεΐας Hermannus] τηρείας 62. κιρκηλάτας Hermannus] κιρκηλάτου τ' ἀηδόνος Turnebus] ἀηδονῆς 63. ἅτ' ἀπὸ] ἃ τοπο (o priore ex α facto) χώρων — ἠθέων] Sic Apollonius Rh. 2. 1241. χῶρόν τε καί ἤθεα κεῖνα λιποῦσα. χώρων ποταμῶν τ'] Fort. χώρων ποθ' ἑῶν, *ab suis quondam sedibus*, quod idem est ac προτέρων, quod Fr. Martinus coniecit. Cui apte opponitur νέον οἶκτον ἠθέων, quod est νέων οἶκτον ἠθέων. χλωρῶν πετάλων Hermannus. ἐργομένα] εἰργομένα Victorius. ἐγρομένα Hermannus. Per διωκομένη explicat scholiasta. 66. ἕθεν Porsonus] ἕο ἐν 69. φιλόδυρτος Heathius] φιλοδύρτοις M. Adiectivum aliunde non cognitum, quod φιλόδυρμος scriptum est apud Pollucem 6, 202. Ἰαονίοισι] ἰωνίοισι pr. 70. Νειλοθερῆ] εἰλοθερῆ Bothius. 71. κάρζαν D.] καρδίαν 73. γοεδνὰ Schneiderus] γόεδνα 74. δεῖμα, μένουσα Hermannus] δειμαίνουσα M. δεῖμα νέμουσα Weilius. 77. γενέται Pauwius] οἱ γενέται 79. ἥβᾳ D. (ἥβαν Schuetzius)] ηβαι M. ἢ καὶ Robortellus. 80. *ἐτύμως (i. e. ἐτύμως)] ἑτοίμως στυγοῦντες Turnebus] στυγόντες

81. γάμοις] νόμοις Hermannus, collata schol. annotatione, ἐπὶ τοῖς νενομισμένοις καὶ δόξασιν ὑμῖν. 82. πολέμου Robortellus] πτολέμου 83. ἀρῆς apogr. Guelf. (ἀρᾶς Paleius)] ἄρης M. Utramque scripturam novit schol., qui ἀρῆς per βλάβης explicat (ut ἀρῆς ἀλκτῆρα est ap. Hom. Il. 18, 100.) Ἄρης autem eo quod Ἄρης ὑπερμαχεῖ αὐτῶν καὶ οὐδέν πάσχουσι διὰ τὸ σέβας τῶν θεῶν.

85. εἰ θείη] *εἴθ' εἴη θεὸς Schuetzius] διὸς M. ἰθείη Διὸς Hermannus, commato post σέβας posito. 87. παντᾷ D.] πάνται M. De accentu dixi in Thesauro vol. 6. p. 169. 91. κορυφᾷ Διὸς εἰ] Διὸς εἰ κορυφᾷ Weilius. 93. κατιδεῖν Robortellus] κατειδεῖν 95. δ' ἐλπίδων Hermannus] δέ ἀπιδῶν 99. τὰν] πᾶν Wellauerus. πᾶν δ' Engerus. ἄπονον Wellauerus] ἄποινον μνῆμον Hermannus] ἧμενον M. θᾶσσον (i. e. καθήμενον) Weilius. ἄνω φρόνημα] ἀμφρόνημα pr., sed in ἄν̄ (i. e. ἄνω) φρόνιμα mutatum. 102. ἀφ' anonymus apud Spanhemium] ἐφ' 103. εἰς] ἐς M. 104. οἵα (οἵᾳ Schuetzius) — ἀμὸν Hermannus] οἷα — ἀμὸν 105. τεθαλὼς Bothius] τὸ θάλος 106. δυσπαραβούλοισι D.] δυσπαραβούλοισιν 107. καὶ διάνοιαν] μαργοσύναν τε Weilius. μαινόλιν Turnebus] μενόλιν (*μαινόλη) 110. ἄταν Ald.] ἆται, sed ι in litura. ἀπάτᾳ] ἀπάται, sed ι in litura, cum gl. τῇ ἀπατητικῇ. 111. δ' ἐγὼ Engerus] λέγων 116. ἐμπρεπῆ Turnebus] ἐμπρέπη. Post ἐμπρέπη M addit separato versu θρεομένη μέλη. Delevit Porsonus. ζῶσα — τιμῶ] ζῶσα το οις με τιμᾶι margo M.

117. 127. ἱλέομαι Turnebus] ἱλέωμαι 119. 130. καρβᾶν' Hermannus] καρβᾶνα δ' εὖ, γᾶ, κοννεῖς Boissonadius] εὐγακόννις M. Recte scriptum legit schol., qui exp. ὡς (i. e. ὦ) γῆ νοεῖς. 121. ἢ] ἤι, sed 132. ἤ. 121. 132. Σιδονίᾳ] σινδονίαι, sed ν post σι eraso. 124. ἐπίδρομ', ὁπόθι Hermannus] ἐπιδρομω (o super ω) ποθι (accentu super πόθι deleto) ἀπῇ] ἐπῇ Weilius.

πλάτα μὲν οὖν λινορραφοῦς τε δρόμος ἅλα στέ-
γων δορὸς
ἀχείματόν μ' ἔπεμπε σὺν πνοαῖς φίλαις,
οὐδὲ μέμφομαι·
τελευτὰς δ' ἐν χρόνῳ
πατὴρ ὁ παντόπτας
πρευμενεῖς κτίσειεν.
σπέρμα σεμνᾶς μέγα ματρὸς
εὐνὰς ἀνδρῶν, ἐή,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.
θέλουσα δ' αὖ θέλουσαν ἁγνά μ' ἐπιδέτω Διὸς
κόρα
ἔχουσα σέμν' ἐνώπι' ἀσφαλέστατα,
παντὶ δὲ σθένει
διωγμοὺς εἰσιδοῦσ'
ἄδμητος ἀδμήτας
ῥύσιος γενέσθω.
σπέρμα σεμνᾶς μέγα ματρὸς
εὐνὰς ἀνδρῶν, ἐή,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.
εἰ δὲ μή, μελανθὲς
ἡλιόκτυπον γένος
τὸν γάϊον,
τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων
ἱξόμεσθα σὺν κλάδοις
ἀρτάναις θανοῦσαι,
μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.
ἆ Ζῆν, Ἰοῦς ἰώ
μῆνις μάστειρ' ἐκ θεῶν·
κοννῶ δ' ἄταν γαμετᾶς 164
οὐρανόνικον. χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χει-
μών.
καὶ τότ' οὐ δικαίοις 168
Ζεὺς ἐνέξεται λόγοις,
τὸν τᾶς βοὸς
παῖδ' ἀτιμάσας, τὸν αὐτός ποτ' ἔκτισεν γόνῳ,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν·
ὑψόθεν δ' εὖ κλύοι καλούμενος.
ἆ Ζῆν, Ἰοῦς ἰώ 173
μῆνις μάστειρ' ἐκ θεῶν·
κοννῶ δ' ἄταν γαμετᾶς
οὐρανόνικον. χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χει-
μών.

134—143. = 144—153.
154—167. = 168—175.

ΔΑΝΑΟΣ.

παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἥκετε 176
πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
καὶ τἀπὶ χέρσου νῦν προμηθίαν λαβὼν
αἰνῶ φυλάξαι τἄμ' ἔπη δελτουμένας.
ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ,
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασιν.
τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
ἀλλ' εἴτ' ἀπήμων εἴτε καὶ τεθυμμένος
ὠμῇ ξὺν ὀργῇ τόνδ' ἐπόρνυται στόλον,
ἄμεινόν ἐστι παντὸς οὕνεκ', ὦ κόραι,
πάγον προσίζειν τόνδ' ἀγωνίων θεῶν.
κρείσσων δὲ πύργου βωμός, ἄρρηκτον σάκος.
ἀλλ' ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
ἱκτηρίας, ἀγάλματ' αἰδοίου Διός,
σεμνῶς ἔχουσαι διὰ χερῶν εὐωνύμων,
αἰδοῖα καὶ γοεδνὰ καὶ ζαχρεῖ' ἔπη
ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει,
τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγάς.
φθογγῇ δ' ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ,
τὸ μὴ μάταιον δ' ἐκ σεσωφρονισμένων
ἴτω προσώπων ὄμματος παρ' ἡσύχου.
καὶ μὴ πρόλεσχος μηδ' ἐφολκὸς ἐν λόγῳ
γένῃ· τὸ τῇδε κάρτ' ἐπίφθονον γένος.
μέμνησο δ' εἴκειν· χρεῖος εἶ ξένη φυγάς.
θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.
ΧΟ. πάτερ, φρονούντως πρὸς φρονοῦσαν ἐννέπεις.
φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν
κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι.
ΔΑ. ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος.
ΧΟ. θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν.
ΔΑ. μή νυν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος.
ΧΟ. ὦ Ζεῦ, κόπων οἴκτειρε μἀπολωλότας.
ΔΑ. κείνου θέλοντος εὖ τελευτήσει τάδε.
ΧΟ. ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ –

133. λινορραφοῦς τε δρόμος D.] λινορραφής τε δόμος M: de quo plura dixi in Philologo vol. 13. p. 496. 134. ἀχείματον Turnebus] ἀχίματον σὺν πνοαῖς Porsonus] συμπνοιαῖς φίλαις addidit D. 138. τελευτὰς Burgesius] τελευτᾶς 142. 152. ἐή D.] ἐέ 143. 153. ἀδάματον Bothius] ἀδάμαντον 146. ἀσφαλέστατα D.] ἀσφαλὲς 147. σθένει Heathius] σθένοσι, ο in ε mutato. 148. διωγμοὺς εἰσιδοῦσ' D.] διωγμοῖσι δ' ἀσφαλέας (ἀσφαλείας pr.), librario ad v. 146. aberrante. Versus in M sic divisi παντὶ — διωγμοῖσι | δ ἀσφαλέας | 149. ἄδμητος ἀδμήτας D.] ἀδμήτας ἀδμήτα M. ἄδμητος non correpto, sed producto α pronuntiandum, licet in stropha syllaba brevis sit. 154. δὲ Turnebus] δὴ 155. ἡλιόκτυπον Wellauerus] ἡ διόκτυπον 156. τὸν γάϊον Wellauerus] τὸν ταιον M. Conf. ad fr. 229. 162. ἆ Ζῆν (sic Salvinius) Ἰοῦς ἰώ (sic Robortellus)] ἀζηνιουσίω, accentibus erasis. Ineptum est ἰώ, quod Hermannus in ἰῷ (*ira*) mutavit, collata schol. annotatione, ὦ Ζεῦ, ἡ παρὰ τῶν θεῶν μῆνις κατὰ Ἰοῦς ᾠδῆς (ἰώδης Hermannus) ἐστὶ καὶ μαστιγωτική. Verba in M sic sunt in versus divisa, ἆ ⊣ μῆνις ⊣ κοννῶ ⊣ γαμετᾶς ⊣ χαλεποῦ ⊣ πνεύματος εἶσι χειμών. Hermannus versus anapaesticos tres fecit, inserto σᾶς, ἆ Ζῆν — μῆνις | μάστειρ' — ἄταν | γαμετᾶς σᾶς οὐρανόνικον. Quam rationem non commendant verba reliqua χαλεποῦ — χειμών. 164. γαμετᾶς οὐρανόνικον Victorius] γαμετουρανόνεικον M. γαμετᾶς οὐρανονεῖκον Turnebus. 169. ἐνέξεται Porsonus] ἐνεύξεται

173—175. ἆ Ζῆν — χειμών] Verba in M omissa ex 162—167. repetivit Canterus. 176. ΔΑΝΑΟΣ Scaliger] πρ. (i. e. πρεσβύτης) Infra 204—220. personarum vices solis significantur lineolis. ἥκετε Porsonus] ἵκετε. 178. προμηθίαν] προμήθειαν, sed ι super ει. λαβὼν Wordsworthus] λαβεῖν 183. λεύσσω] λεύσω, altero σ superscr. 186. τεθυμμένος Abreschius] τεθειμένος. τεθηγμένος Pearsonus. 188. οὕνεκ' Heathius] εἵνεκ' 190. κρείσσων pr., κρεῖσσον corr. M. 192. ἱκτηρίας Victorius] ἱκετηρίας εὐωνύμων (quod legit scholiasta) Scaliger] συνωνύμων 194. γόεδνα (debebat γοεδνά) Turnebus] γοειδῆ ζαχρεῖ' Bambergerus] τὰ χρέα (τὰ χρεῖ' Turnebus) 198. ἐκ σεσωφρονισμένων D. in Praefat. ed. Lips. quintae p. LXX.] ἐκ μετώπω σωφρονῶν, glossemate μετώπων σωφρόνων (nam sic scribendum cum Robortello) in textum illato. 202. εἶ ξένη Sophianus] εἶξεν ἡ 204. φρονούντως] φρονοῦντος pr. φρονοῦσαν D.] φρονοῦντας 205. φυλάξομαι] φυλάξομεν Turnebus. 207—211. Hoc ordine in M, 209. 208. 210. 207. 211. Transposuit Hermannus et unius versus defectum indicavit post 211. 209. μή νυν D.] μὴ νῦν ἔστω] ἔσται Hartungus. 210. ὦ Victorius] ἰὼ Ζεῦ] Ζεὺς pr. μἀπολωλότας D.] μὴ ἀπολωλότας

ΔΑ. καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.
ΧΟ. καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους.
ΔΑ. ἁγνόν τ' Ἀπόλλω, φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
ΧΟ. εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς.
ΔΑ. συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.
ΧΟ. τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;
ΔΑ. ὁρῶ τρίαιναν τήνδε σημεῖον θεοῦ.
ΧΟ. ἀλλ' εὖ τ' ἔπεμψεν εὖ τε δεξάσθω χθονί.
ΔΑ. Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
ΧΟ. ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
ΔΑ. πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ'· ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων
ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβῳ,
ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πατρὸς
ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ 'ν Ἅιδου θανὼν
φύγῃ ματαίων αἰτίας, πράξας τάδε.
κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος,
Ζεύς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
σκοπεῖτε, κἀμείβεσθε τόνδε τὸν τόπον,
ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.

ΒΑΣΙΛΕΥΣ.

ποδαπὸν ὅμιλον τόνδ' ἀνελληνόστολον
πέπλοισι βαρβάροισι καὶ πυκνώμασιν
χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
ἐσθὴς γυναικῶν οὐδ' ἀφ' Ἑλλάδος τόπων.
ὅπως δὲ χώραν οὔτε κηρύκων ὕπο,
ἀπρόξενοί τε, νόσφιν ἡγητῶν, μολεῖν
ἔτλητ' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
κλάδοι γε μὲν δὴ κατὰ νόμους ἀφικτόρων
κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις·
μόνον τόδ' Ἑλλὰς χθὼν συνοίσεται στόχῳ.
καὶ τἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν,
εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.
ΧΟ. εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον,
ἐγὼ δὲ πρὸς σὲ πότερον ὡς ἔτην λέγω,
ἢ τηρὸν ἱροῦ ῥάβδον, ἢ πόλεως ἀγόν;
ΒΑ. πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσὴς ἐμοί.
τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος
ἶνις Πελασγός, τῆσδε γῆς ἀρχηγέτης.
ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον
γένος Πελασγῶν τήνδε καρποῦται χθόνα.
καὶ πᾶσαν αἶαν, ἧς δι' ἁγνὸς ἔρχεται
Στρυμών, τὸ πρὸς δύνοντος ἡλίου, κρατῶ.
ὁρίζομαι δὲ τήν τε Περραιβῶν χθόνα
Πίνδου τε τἀπέκεινα, Παιόνων πέλας,
ὄρη τε Δωδωναῖα· συντέμνει δ' ὅρος
ὑγρᾶς θαλάσσης· τῶνδε τἀπὶ τάδε κρατῶ.
αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε
πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν.
Ἆπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας
ἰατρόμαντις παῖς Ἀπόλλωνος χθόνα
τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων,
τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασιν
χρανθεῖσ' ἀνῆκε γαῖα μηνιαῖ' ἄχη,
δρακονθόμιλον δυσμενῆ ξυνοικίαν.
τούτων ἄκη τομαῖα καὶ λυτήρια
πράξας ἀμέμπτως Ἆπις Ἀργείᾳ χθονὶ
μνήμην ποτ' ἀντίμισθον ηὗρετ' ἐν λιταῖς.
ἔχουσα δ' ἤδη τἄπ' ἐμοῦ τεκμήρια
γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω.
μακράν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις.
ΧΟ. βραχὺς τορός θ' ὁ μῦθος· Ἀργεῖαι γένος
ἐξευχόμεσθα, σπέρματ' εὐτέκνου βοός·
καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ.
ΒΑ. ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλύειν ἐμοί,
ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος.
Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι
γυναιξίν ἐστε κοὐδαμῶς ἐγχωρίαις.
καὶ Νεῖλος ἂν θρέψειε τοιοῦτον φυτόν,
Κύπριος χαρακτὴρ τ' ἐν γυναικείοις τύποις
εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων·
Ἰνδάς τ' ἀκούω νομάδας ἱπποβάμοσιν
εἶναι καμήλοις ἀστραβιζούσας, χθόνα
παρ' Αἰθίοψιν ἀστυγειτονουμένας.
καὶ τὰς ἀνάνδρους κρεοβόρους τ' Ἀμαζόνας,
εἰ τοξοτευχεῖς ἦτε, κάρτ' ἂν ᾔκασα
ὑμᾶς. διδαχθεὶς δ' ἂν τόδ' εἰδείην πλέον,
ὅπως γένεθλον σπέρμα τ' Ἀργεῖον τὸ σόν.
ΧΟ. κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ
Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονί.
ΒΑ. ἦν ὡς μάλιστα, καὶ φάτις πολλὴ κρατεῖ. 293
μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ; 295

---

212. κικλήσκετε Robortellus] κικλίσκετε pr. (ut κικλίσκω 217.) κικλήσκετε corr. 215. εἰδὼς] ἰδὼν Turnebus. συγγνοίη Lobeckius] εὐγνώη (συγγνώη Robortellus) 216. συγγνοῖτο Victorius] σύγνοιτο, ν super γ scripto et in marg. ab διορθωτῇ συγγένοιτο.
221. νυν Canterus] νῦν 223. δ' ἑσμὸς Auratus] δεσμὸς 224. ἵζεσθε κίρκων Robortellus] ἵζεσθαι κρέκω (in marg. ἴξεσθε κέρκω) 225. ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων] ἐχθρῶς ὅμαιμον καταμιαινόντων Hermannus. 226. 228. In marg. M ζτ (i. e. ζήτει) 226. ἂν ἁγνεύοι ex Plut. V. Romuli c. 9. et Mor. p. 286 c.] ἀναινεύοι 227. γαμῶν Robortellus] γάμων 228. μὴ 'ν Turnebus] μὴν 229. φύγῃ] φυγὴ pr. ματαίων Schuetzius] μάταιον 230. τἀμπλακήμαθ', ὡς Canterus] ταπλα ἐν μαβως 232. τόπον Stanleius] τρόπον 234. ἀνελληνόστολον Bothius] ἀνέλληνα στόλον 235. πυκνώμασιν] Hesychius ab Spanhemio collatus, σπάθημα: πύκνωμα, ἀπὸ τῶν ταῖς σπάθαις κατακρουόντων τὰ ὕφη. 237. ἀφ'] ἀπ', sed superscr. φ 238. οὔτε Hermannus] οὐδὲ 240. ἀτρέστως Sophianus] ἀκρέστως 244. καὶ τἄλλα] κἄτ' ἄλλα Wellauerus. 247. ἔτην Robortellus] ἐτὴν 248. ἱροῦ D. (ἱεροῦ Turnebus)] ἤερου M. ἱερόραβδον Schuetzius. Margo M. οἶμαι ἢ ἑρμοῦ ῥάβδον, quam διορθωτοῦ coniecturam esse prodit verbum οἶμαι. 249. λέγ' εὐθαρσὴς Turnebus] λέγετ' εὐθαρσεῖς 251. Πελασγὸς Canterus] πελασγοῦ

254. αἶαν, ἧς δι' (sic iam Turnebus) ἁγνὸς Wordsworthus] αἴδνης διάλγος, cum ζτ (i. e. ζήτει) in margine.
255. τὸ pr., a correctore in τοῦ mutatum, sed annotato in margine τό 256. τήν τε Stanleius] τῆνδε (*τήνδε) 259. τῶνδε τἀπὶ τάδε (ut legit schol.) Canterus] τῶνδε τ' ἄπειτα δὲ 265. δὴ Turnebus] δέ 266. χρανθεῖσ' Robortellus] χρανθεὶς μηνιαῖ' ἄχη D. in Praef. ed. Lips. quintae p. LXXI.] μηνεῖται ἄκη 267. δρακονθόμιλον Wellauerus] δράκονθ' (ο ex ω factum) ὁμιλον (sine accentu) 269. ἀμέμπτως Ἆπις Turnebus] μέμπτως ἄπεις 270. ποτ' ἀντίμισθον Turnebus] πονταντινεισθον ηὗρετ' D.] εὗρετ' 271. ἔχουσα δ' Heimsoethius] ἔχον δ' ἄν, et in marg. γρ. ἔχουσαν (ἔχουσ' ἂν Victorius). 272. γένος τ' — λέγοις πρόσω Robortellus] γένοιτ' — λέγοι προσως
273. γε μὲν δὴ ῥῆσιν Sophianus] γέ μιν (μὲν pr.) δηρίσιν 276. πάντα] παντὶ Schuetzius. 277. ἄπιστα Ald.] ἄπειστα 278. τόδ'] ποθ' Meinekius. 280. γυναιξίν — θρέψειε Turnebus] γυναιξὶ δ' — θρέψειεν 282. Κύπριος] κύπρις pr. 284. Ἰνδάς Bothius] ἰνδούς ἀκούω Robortellus] ἀκούων ἱπποβάμοσιν Turnebus] ἱπποβάμοισιν 287. κρεοβόρους anonymus Butleri] κρεοβρότους τ' Porsonus] δ', quod delet Hermannus. 289. δ' addidit Abreschius.
292. τῇδ' ἐν Sophianus] τῇ ἰδεῖν 293. 295. Prio-

ΧΟ. κἀκρυπτά γ' Ἥρας ταῦτα τἀμπαλάγματα.
ΒΑ. πῶς οὖν τελευτᾷ βασιλέων νείκη τάδε;
ΧΟ. βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεός.
ΒΑ. οὔκουν πελάζει Ζεὺς ἐπ' εὐκραίρῳ βοΐ;
ΧΟ. φασίν, πρέποντα βουθόρῳ ταύρῳ δέμας.
ΒΑ. τί δῆτα πρὸς ταῦτ' ἄλοχος ἰσχυρὰ Διός;
ΧΟ. τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ.
ΒΑ. ποῖον πανόπτην οἰοβουκόλον λέγεις;
ΧΟ. Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανεν.
ΒΑ. τί οὖν ἔτευξεν ἄλλο δυσπότμῳ βοΐ;
ΧΟ. βοηλάτην μύωπα κινητήριον.
ΒΑ. οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας.
ΧΟ. τοιγάρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ.
ΒΑ. καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοί.
ΧΟ. καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο.
ΒΑ. ⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏑ –
ΧΟ. καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον.
ΒΑ. τίς οὖν ὁ Δῖος πόρτις εὔχεται βοός;
ΧΟ. Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος.
ΒΑ. ⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏑ –
ΧΟ. Λιβύη, μεγίστης ὄνομα γῆς καρπουμένη.
ΒΑ. τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλαστημόν λέγεις;
ΧΟ. Βῆλον δίπαιδα, πατέρα τοῦδ' ἐμοῦ πατρός.
ΒΑ. τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον.
ΧΟ. Δαναός, ἀδελφὸς δ' ἐστὶ πεντηκοντάπαις.
ΒΑ. καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἀφθόνῳ λόγῳ.
ΧΟ. Αἴγυπτος. εἰδὼς δ' ἁμὸν ἀρχαῖον γένος
πράσσοις ἂν ὡς Ἀργεῖον ἀντήσας στόλον.
ΒΑ. δοκεῖτε δή μοι τῆσδε κοινωνεῖν χθονὸς
τἀρχαῖον. ἀλλὰ πῶς πατρῷα δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
ΧΟ. ἄναξ Πελασγῶν, αἰόλ' ἀνθρώπων κακά.
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν·
ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν
κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρίν,
ἔχθει μεταπτοιοῦσαν εὐναίων γάμων;
ΒΑ. τί φῂς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν,
λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους;
ΧΟ. ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει.
ΒΑ. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;
ΧΟ. τίς δ' ἂν φίλους ὠνοῖτο τοὺς κεκτημένους;
ΒΑ. σθένος μὲν οὕτω μεῖζον αὔξεται βροτοῖς.
ΧΟ. καὶ δυστυχούντων γ' εὐμαρὴς ἀπαλλαγή.
ΒΑ. πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω;
ΧΟ. αἰτοῦσι μὴ 'κδοὺς παισὶν Αἰγύπτου πάλιν.
ΒΑ. βαρέα σύ γ' εἶπας, πόλεμον αἴρεσθαι νέον.
ΧΟ. ἀλλ' ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ.
ΒΑ. εἴπερ γ' ἀπ' ἀρχῆς πραγμάτων κοινωνὸς ἦν.
ΧΟ. αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ' ἐστεμμένην.
ΒΑ. πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους.
ΧΟ. βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.
Παλαίχθονος τέκος, κλῦθί μου
πρόφρονι καρδίᾳ, Πελασγῶν ἄναξ.
ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον,
λυκοδίωκτον ὡς δάμαλιν ἂμ πέτραις
ἠλιβάτοις, ἵν' ἀλκᾷ πίσυνος μέμυκε
φράζουσα βοτῆρι μόχθους.
ΒΑ. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
νεύονθ' ὅμιλον τόνδ' ἀγωνίων θεῶν.
εἴη δ' ἄνατον πρᾶγμα τοῦτ' ἀστοξένων,
μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει
νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.
ΧΟ. ἴδοιτο δῆτ' ἄνατον φυγὰν
ἱκεσία Θέμις Διὸς κλαρίου.
σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραιόφρων·
ποτιτρόπαιον αἰδόμενος οὐ πενεῖ
ἱεροδόκα θεῶν λήμματ' ἀπ' ἀνδρὸς ἁγνοῦ
– ⏒ ⏑ ⏑ – ⏑ ⏒ –
ΒΑ. οὔτοι κάθησθε δωμάτων ἐφέστιοι
ἐμῶν. τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις,
ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη.
ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος,
ἀστοῖς δὲ πᾶσι τῶνδε κοινώσας πέρι.
ΧΟ. σύ τοι πόλις, σὺ δὲ τὸ δάμιον,
πρύτανις ἄκριτος ὤν,
κρατύνεις βωμόν, ἑστίαν χθονός,
μονοψήφοισι νεύμασιν σέθεν,
μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος
πᾶν ἐπικραίνεις· ἄγος φυλάσσου.
ΒΑ. ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις,
ὑμῖν δ' ἀρήγειν οὐκ ἔχω βλάβης ἄτερ·

347—353. = 359—364.
370—375. = 381—386.

---

rem versum choro continuaverant editores ante Hermannum, 295, 296. regi tribuerant, indicato post 293. et 296. unius versus defectu. In M nullae in toto hoc colloquio (246—354.) personarum notae. ἢ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ | ἦν ὡς — Weilius.

296. κἀκρυπτά γ' — τἀμπαλάγματα Hermannus] καὶ κρυπτά γ' — παλλαγμάτων 299. βοῦν τὴν Canterus] βοῦ. την, una ante τ litera erasa. 300. οὔκουν D.] οὐκοῦν 301. πρέποντα Turnebus] πρέποντας

302. τί δὴ προσταῦτα λόχοις χυραδιος M. Correxerunt Victorius (qui τί δῆτα), Robortellus (qui πρὸς ταῦτ' ἄλοχος) et Pauwius (qui ἰσχυρά). 303. τὸν πάνθ'] τὸ πᾶν θ' pr. 306. ἔτευξεν Turnebus] ἔτευξε δ' 308. οἱ Νείλου] Ἰνάχου Hermannus. πέλας Turnebus] πέδας, adscripto in marg. ab alia m. αἷμαι παῖδες 309. γῆς Canterus] τῆς Post 311. lacunam indicavit Hermannus, post 314. Stanleius. 312. φιτύει Scaliger] φυτεύει 313. τίς Stanleius] τί

316. μεγίστης ὄνομα γῆς Porsonus] μέγιστον γῆς 317. βλαστημόν D.] βλάστημον 320. ἀδελφὸς δ' ἐστὶ Scaliger] δ' ἀδελφός ἐστιν πεντηκοντάπαις Heathius] πεντηκοστόπαις 321. τοῦδ' ἄνοιγε Porsonus] τοῦ δαναοίγε ἀφθόνῳ] Sic M et Robortellus. In ἀφώνῳ corruptum in apographis. 322. δ' εἰδὼς Turnebus] δ' εἰδὼς δ' ἁμὸν Robortellus] ἀμόν 323. ἀντήσας] ἀνστήσας, sed adscr. ἀντήσας. 324. δὴ addidit Turnebus. 326. λιπεῖν] λειπεῖν pr. 328. δ' ἴδοις —πτερόν Turnebus] δείδοισ —πότερον 330. κέλσειν Robortellus] κέλσειεν 331. ἔχθει μεταπτοιοῦσαν Turnebus] ἔχει μεταπτοίουσαν 333. νεοδρέπτους] νεοδρόπους Wunderus.

336. ὠνοῖτο Turnebus] ὤνοιτσ M, quasi ὄναιτσ voluerit, quod coniecit Boissonadius. 337. οὕτω Turnebus] οὕτως 338. γ' Turnebus] τ' 340. 'κδοὺς Schuetzius] 'κδῷς 343. κοινωνὸς Sophianus] κοινόσ M, οσ in litura. Videtur fuisse κοῖννος, quod nihil aliud est quam κοινωνός. 344. πόλεος — ἐστεμμένην Turnebus] πόλεως — ἐστεμμένη 345. τάς δ' (τάσδ' Victor.) ἕδρας Robortellus] τάσ δέδραν 346. Hic Xo. praescriptum in M, sed personarum notas om. in sequentibus, appositis plerumque lineolis. 348. με τὰν Victorius] μέγαν ἱκέτιν] ἱκέτην pr. 350 λυκοδίωκτον Hermannus] λευκόδικτον 351. ἠλιβάτοις, ἵν' Valckenarius] ἠλιβάτοισιν 355. νεύονθ' Bambergerus] νέον θ' τόνδ' Hermannus] τῶνδ' 359. δῆτ' ἄνατον Pauwius] δῆτα τὰν ἄνατον 361. γεραιόφρων Burgesius] γεραφρόνων. γεραρὰ φρονῶν Weilius. 362. οὔνπερ M corrupte. οὐ πενεῖ Hermannus ex annot. schol. οὐ πτωχεύσεις 363. λήμματ' Turnebus] λῆματ' 367. ἐκπονεῖν Turnebus] ἐκπνοεῖν

368. πάρος Sophianus] παροκρος 369. ἀστοῖς — τῶνδε Scaliger] ἀστῶν — τοῖσδε 370. δάμιον D.] δήμιον 374. θρόνοις Pauwius] χρόνοισι (θρόνοισι Sophianus) 375. ἄγος Robortellus] ἄλγος

οὐδ' αὖ τόδ' εὖφρον, τάσδ' ἀτιμάσαι λιτάς.
ἀμηχανῶ δὲ καὶ φόβος μ' ἔχει φρένας
δρᾶσαί τε μὴ δρᾶσαί τε καὶ τύχην ἑλεῖν.
ΧΟ. τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει,
φύλακα πολυπόνων
βροτῶν, οἳ τοῖς πέλας προσήμενοι
δίκας οὐ τυγχάνουσιν ἐννόμου.
μένει τοι Ζηνὸς ἱκτίου κότος
δυσπαράθελκτος παθόντος οἴκτοις.
ΒΑ. εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν
νόμῳ πόλεως, φάσκοντες ἐγγύτατα γένους
εἶναι, τίς ἂν τοῖσδ' ἀντιωθῆναι θέλοι;
δεῖ τοι σὲ φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν,
ὡς οὐκ ἔχουσι κῦρος οὐδὲν ἀμφὶ σοῦ.
ΧΟ. μή τί ποτ' οὖν γενοίμαν ὑποχείριος
κράτεσιν ἀρσένων. ὕπαστρον δέ τοι
μῆχαρ ὁρίζομαι γάμου δύσφρονος
φυγᾷ. ξύμμαχον δ' ἑλόμενος δίκαν κρῖνε σέβας τὸ
πρὸς θεῶν.
ΒΑ. οὐκ εὔκριτον τὸ κρῖμα· μή μ' αἱροῦ κριτήν.
εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδε
πράξαιμ' ἄν, οὐδέπερ κρατῶν, μὴ καί ποτε
εἴπῃ λεώς, εἴ πού τι μὴ τοῖον τύχοι,
"ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν".
ΧΟ. ἀμφοτέροις ὁμαίμων τάδ' ἐπισκοπεῖ
Ζεὺς ἑτερορρεπής, νέμων εἰκότως
ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις.
τί τῶνδ' ἐξ ἴσου ῥεπομένων μεταλγεῖς τὸ δίκαιον
ἔρξαι;
ΒΑ. δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν
δεδορκὸς ὄμμα, μηδ' ἄγαν ᾠνωμένον,
ὅπως ἄνατα ταῦτα πρῶτα μὲν πόλει,
αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς,
καὶ μήτε δῆρις ῥυσίων ἐφάψεται
μήτ' ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας
ἐκδόντες ὑμᾶς τὸν πανώλεθρον θεὸν
βαρὺν ξύνοικον θησόμεσθ' ἀλάστορα,
ὃς οὐδ' ἐν Ἅιδου τὸν θανόντ' ἐλευθεροῖ.
μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;
ΧΟ. φρόντισον καὶ γενοῦ πανδίκως
εὐσεβὴς πρόξενος· τὰν φυγάδα μὴ προδῷς,
τὰν ἕκαθεν ἐκβολαῖς δυσθέοις ὀρμέναν·
μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν πολυθέων
ῥυσιασθεῖσαν, ὦ πᾶν κράτος ἔχων χθονός.
γνῶθι δ' ὕβριν ἀνέρων καὶ φύλαξαι κότον.

392—396. = 402—406.
418—422. = 423—427.
428—432. = 433—437.

μή τι τλῇς τὰν ἱκέτιν εἰσιδεῖν
ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν
ἱππηδὸν ἀμπύκων
πολυμίτων πέπλων τ' ἐπιλαβὰς ἐμῶν.
ἴσθι γάρ, παισὶ τάδε καὶ δόμοις,
ὁπότερ' ἂν κτίσῃς, μένει δορὶ τίνειν
ὁμοίαν θέμιν.
τάδε φράσαι δίκαια Διόθεν κράτη.
ΒΑ. καὶ δὴ πέφρασμαι· δεῦρο δ' ἐξοκέλλεται·
ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἴρεσθαι μέγαν
πᾶσ' ἔστ' ἀνάγκη· καὶ γεγόμφωται σκάφος
στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον.
ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.
καὶ χρημάτων μὲν ἐκ δόμων πορθουμένων
[ἄτην γε μείζω καὶ μέγ' ἐμπλήσας γόμου]
γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν·
καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,
γένοιτο μύθου μῦθος ἂν θελκτήριος·
[ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια].
ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται,
δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια
θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκη,
ἢ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι·
θέλω δ' ἀΐδρις μᾶλλον ἢ σοφὸς κακῶν
εἶναι· γένοιτο δ' εὖ παρὰ γνώμην ἐμήν.
ΧΟ. πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων.
ΒΑ. ἤκουσα, καὶ λέγοις ἄν· οὔ με φεύξεται.
ΧΟ. ἔχω στρόφους ζώνας τε, συλλαβὰς πέπλων.
ΒΑ. τάχ' ἂν γυναικῶν ταῦτα συμπρεπῆ πέλοι.
ΧΟ. ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλή.
ΒΑ. λέξον τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσει.
ΧΟ. εἰ μή τι πιστὸν τῷδ' ὑποστήσεις στόλῳ —
ΒΑ. τί σοι περαίνει μηχανὴ συζωμάτων;
ΧΟ. νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε.
ΒΑ. αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπλῶς φράσον.
ΧΟ. ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.
ΒΑ. ἤκουσα μαστικτῆρα καρδίας λόγον.
ΧΟ. ξυνῆκας· ὠμμάτωσα γὰρ σαφέστερον.
ΒΑ. καὶ πολλαχῇ γε δυσπάλαιστα πράγματα,
κακῶν δὲ πλῆθος ποταμὸς ὣς ἐπέρχεται·
ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον

381. ἐπισκόπει Robortellus] ἐπισκοπεῖ 385. ἱκτίου D.] ἱκταίου 386. δ. Schuetzius] ὦ δ. δυσπαράθελκτος Schuetzius] δυσπαρθέλκτοις (δυσπαραθέλκτοις Robortellus) M, adscripto in marg. δυσπαρθενήτοις 389. τίς Victorius] τίσδ' θέλοι] θέλει, superscr. οι 391. ἔχουσι Turnebus] ἔχουσιν 392. ὑποχείριος Robortellus] ὑποχέριος 395. φυγᾷ Victorius] φυγαὶ M. φυγάς Robortellus. γάμου δύσφρονος μῆχαρ ὁρίζομαι | φυγάν Weilius. 399. μὴ καί ποτε Cantorus] καὶ μήποτε 400. μὴ Turnebus] καὶ μὴ τύχοι Porsonus] τυχθῇ (τύχῃ Turnebus) 401. ἐπήλυδας Robortellus] εἰπήλυδας 402. ἀμφοτέροις Schuetzius] ἀμφοτέρους M. ἀμφοτέρωσ' Bambergerus. 404. ἄδικα] δίκαν Weilius. 409. ᾠνωμένον Salvinius] ᾠνωμένων 415. θησόμεσθ' Victorius] θησόμεθ' 416. ὃς οὐδ' ἐν Victorius] ὡς οὐδέν 417. δοκεῖ δεῖν Turnebus] δοκεῖν δεῖ 420. ὀρμέναν Pauwius] ὀρομέναν, ω alteri ο superser. 424. πολυθέων] πανθέων Heimsoethius.

429. τλῇς τὰν Pauwius] τάαῖσταν et in marg. οἶμαι μή τι τλαίης τὰν ἱκέτιν, quae διορθωτοῦ coniectura est. τλᾷς τὰν Ahrensius de dial. Dor. p. 313. 430. δίκας ἀγομέναν] τ' ἀγομέναν δίκας Weilius et in antistropha (435) μένει ἄρ' ἐκτίνειν. 433. πολυμίτων Turnebus] πολυμήτων 435. μένει δορὶ τίνειν Boissonadius] μενειδρεικτείνειν 436. ὁμοίαν Klausenus] ὁμοίαν M. ἀντίρροπον Heimsoethius. 441. προσηγμένον] προσηρμένον Scaliger. 443. χρημάτων] χρήμασιν, sed adscripto in margine χρημάτων. 444. Hunc versum et 448., undecunque venerint, loco alieno illatos esse patet. γε μείζω] Haud dubie ex γεμίζων corruptum, ut ex scholiastae annotatione colligi potest, τοῦ Διὸς ἐμπιπλῶντος καὶ γεμίζοντος ἄτης τὸν γόμον: unde Turnebus ἄτης et γόμον. 447. *θελκτήριος apogr. Guelf. ab corr.] θελκτηρίοις 451. Post haec verba versum 442. collocavit Weilius. 452. ἢ] Accentus a m. recentiore. ἡ Turnebus. 457. στρόφους Spanhemius ad Callim. p. 135.] στρόβους. τὰς στροφὰς τῶν ζωνῶν exp. schol. 458. τάχ' ἂν Markscheffelius] τύχαν (τύχῃ Turnebus) γυναικῶν] γυναικὶ Hermannus. τάχ' ἂν γυναικῶν ταῦτα συμπρέποι στολῇ Weilius. 459. καλή Turnebus] καλεῖ 460. γηρυθεῖσ' Turnebus] γηρυθεὶς ἔσει Porsonus] ἔσῃ 461. ὑποστήσεις Wellauerus] ὑποστήσει 463. πίναξι Turnebus] πίναξιν 464. ἀλλ' ἁπλῶς Abreschius] ἀλλὰ πῶς 466. μαστικτῆρα Auratus] μακιστῆρα 468. καὶ Turnebus] καὶ μὴν

τόδ' ἐσβέβηκα, κοὐδαμοῦ λιμὴν κακῶν.
εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος,
μίασμ' ἔλεξας οὐχ ὑπερτοξεύσιμον·
εἰ δ' αὖθ' ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν
σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν,
ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον;
ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον
ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.
σὺ μέν, πάτερ γεραιὲ τῶνδε παρθένων,
κλάδους γε τούτους αἶψ' ἐν ἀγκάλαις λαβὼν
βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων
θές, ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ
ἅπαντες πολῖται, μηδ' ἀπορριφθῇ λόγος
ἐμοῦ· κατ' ἀρχῆς γὰρ φιλαίτιος λεώς.
καὶ γὰρ τάχ' ἄν τις οἶκτος εἰσιδὼν τάδε
ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου,
ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος·
τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.
ΔΑ. πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα,
αἰδοῖον εὑρεθέντα πρόξενον λαβεῖν.
ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων
ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν
βωμοὺς προνάους καὶ ⏑ – ⏑ – ἕδρας
εὕρωμεν, ἀσφάλεια δ' ᾖ δι' ἄστεως
στείχουσι· μορφῆς δ' οὐχ ὁμόστολος φύσις.
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχῳ γένος
τρέφει. φύλαξαι μὴ θράσος τέκῃ φόβον.
καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.
ΒΑ. στείχοιτ' ἄν, ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει.
ἡγεῖσθε βωμοὺς ἀστικούς, θεῶν ἕδρας·
καὶ ξυμβολοῦσιν οὐ πολυστομεῖν χρεὼν
ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν.
ΧΟ. τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίοι·
ἐγὼ δὲ πῶς δρῶ, ποῦ θράσος νέμεις ἐμοί;
ΒΑ. κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου.
ΧΟ. καὶ δή σφε λείπω χειρία λόγοις σέθεν.
ΒΑ. λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.
ΧΟ. καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;
ΒΑ. οὔτοι πτερωτῶν ἁρπαγαῖς σ' ἐκδώσομεν.
ΧΟ. ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν;
ΒΑ. εὔφημον εἴη τοὔπος εὐφημουμένῃ.
ΧΟ. οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενός.
ΒΑ. ἀεὶ δ' ἀνάκτων ἐστὶ δεῖμ' ἐξαίσιον.
ΧΟ. σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρένα.
ΒΑ. ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατήρ.
ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους
στείχω, τὸ κοινὸν ὡς ἂν εὐμενὲς τιθῶ,
καὶ σὸν διδάξω πατέρα ποῖα χρὴ λέγειν.
πρὸς ταῦτα μίμνε καὶ θεοὺς ἐγχωρίους
λιταῖς παραιτοῦ τῶν σ' ἔρως ἔχει τυχεῖν.
ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι·
πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.
ΧΟ. ἄναξ ἀνάκτων, μακάρων
μακάρτατε καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ,
πιθοῦ τε καὶ γενέσθω·
ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας·
λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ
τὰ πρὸς γυναικῶν ἐπιδὼν
παλαίφατον ἁμέτερον
γένος φιλίας προγόνου γυναικὸς
νέωσον εὔφρον' αἶνον,
γενοῦ πολυμνάστορ ἔφαπτορ Ἰοῦς.
Δίας τοι γένος εὐχόμεθ' εἶναι
γᾶς ἀπὸ τᾶσδ' ἔνοικοι.
παλαιὸν δ' εἰς ἴχνος μετέσταν
ματέρος ἀνθονόμους ἐπωπάς,
λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ
οἴστρῳ ἐρεσσομένα
φεύγει ἁμαρτίνοος,
πολλὰ βροτῶν διαμειβομένα
φῦλα, διχῇ δ' ἀντίποραν
γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον κυματίαν ὁρίζει·
ἰάπτει δ' Ἀσίδος δι' αἴας
μηλοβότου Φρυγίας διαμπάξ·
περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν,
Λύδιά τ' ἂγ γύαλα,
καὶ δι' ὀρῶν Κιλίκων
Παμφύλων τε διορνυμένα
γᾶς ποταμοὺς ἀενάους
καὶ βαθύπλουτον χθόνα καὶ τὰν Ἀφροδίτας πολύπυρον αἶαν.
ἱκνεῖται δ' εἰσικνουμένου βέλει

524—530. = 531—537.
538—545. = 547—555.
556—564. = 565—573.

471. ἐσβέβηκα Schuetzius] ἐσέβηκα (ἐσβέβηκε Turnebus) 474. ὁμαίμοις Turnebus] ἀμαίμους 481. γε Auratus] τε 485. οἶκτος] οἰκτρός (quod pro οἰκτίρμων dictum sit) Stanleius. οἰκτίσας ἰδὼν τάδε Linwoodius. 491. εὑρεθέντα Porsonus] εὖ ῥέοντα πρόξενον Casterus] προσξένον 494. Indicavi lacunam, eiecto quod in M est πολισσούχων, quod ex v. 493. illatum esse iam ab aliis est animadversum, qui πολυλλίτους, πολυξέστους, πολυστεφεῖς, πολυχρύσους coniecerunt, quorum nihil certum haberi potest. Minus probabiliter unum ex duobus versibus versum fecit Bothius ξύμπεμψον, ὡς ἂν θεῶν πολισσούχων ἕδρας —. 495. ἀσφάλεια δ' ᾖ δι' ἄστεος Turnebus] ἀσφαλείας δὲ δι' ἄστεως, ο super ω scripto. 498. φόβον] φόνον G. Hauptius. 501. ἀστικοὺς Turnebus] ἀστίκτους 502. ξυμβολοῦσιν Hermannus] ξυμβόλοισιν 505. νέμεις] νεμεῖς Porsonus. 507. χειρία Valckenarius] χειρὶ καὶ 508. ἐπιστρέφου Robortellus] ἐπιστρέφω 509. ἄλσος ἂν] ἂν ἄλσος ἄν, priore ἂν punctis notato, altero supra versum scripto. 510. ἁρπαγαῖς Turnebus] ἅρπαγες σ' addidit Porsonus. 511. εἰ] ἢ Porsonus. 514 ἀεὶ δ' ἀνάκτων] Suspectum est δέ, ubi γε potius dicendum erat. ἀεὶ δ' ἀνάρκτων Hermannus.

515. φρένα Heathius] φρενί 518—520. in margine ab alia manu antiqua literis minusculis. 518. στείχω Weilius] πιετω (πείσω Turnebus) 519. *ποῖα] τοῖα, cui ποῖα superscr. in apographo Paris. 522. πορσυνῶν Heathius] πορσύνων 527. πιθοῦ Stanleius] πείθου γενέσθω· ἄλευσον] γένει σῷ ἄλευσον Lobeckius. 532. ἁμέτεραν γένος] ἁμετέρου γένους Weilius. 535. πολυμνῆστορ (debebat πολυμνᾶστορ) Hermannus] πολυμνήστωρ ἔφαπτορ Porsonus] ἐφάπτωρ 536. Δίας (quod schol. quoque legit)] δι' ἇς Porsonus. 543. πολλὰ βροτῶν] πόλλ' ἀνδρῶν Meinekius, quod melius respondet versui antistrophico 552. 544. ἀντίποραν] ἀγχίπορον Franckenus in Dissert. de Aeschyli interpr. p. 48. 547. δ' Ἀσίδος Turnebus] βασίδος 549. Μυσῶν — Λύδια Turnebus] μουσῶν — λύγια 550. τ' ἂγ Hermannus] τε 551. ὀρῶν] ἀρῶν, sed superscr. spiritu leni. 552. τε Heathius] τε γένη 553. γᾶς Hermannus] τὰν (πὰρ Robortellus.) *ποταμοὺς] ποταμοὺς δ' ἀενάους] ἀεννάους pr., sed altero ν eraso. 554. τὰν Ἀφροδίτας Hermannus] τὰς ἀφροδίτης (τᾶς Ἀφροδίτας Turnebus) 556. εἰσικνουμένου] εἰς ἱκνουμένου, ου in rasura scripto. εἰσικνουμένη apogr. Guelf. ἐγκεχριμένα Hermannus.

βουκόλου πτερόεντος
Δῖον πάμβοτον ἄλσος,
λειμῶνα χιονόβοσκον, ὅντ' ἐπέρχεται Τυφῶ μένος,
ὕδωρ τό Νείλου νόσοις ἄθικτον,
μαινομένα πόνοις ἀτίμοις ὀδύναις τε κεντροδαλή-
τισι θυιάς Ἥρας.
βροτοὶ δ', οἳ γᾶς τότ' ἦσαν ἔννομοι,
χλωρῷ δείματι θυμόν
πάλλοντ' ὄψιν ἀήθη,' [βοὸς,
βοτόν ἐσορῶντες δυσχερὲς μιξόμβροτον, τάν μέν
τάν δ' αὖ γυναικός· τέρας δ' ἐθάμβουν.
καὶ τότε δὴ τίς ἦν ὁ θέλξας πολύπλαγκτον ἀθλίαν
οἰστροδόνητον Ἰώ;
δι' αἰῶνος κρέων ἀπαύστου
πράκτωρ τῶνδ' ἐφάνη Ζεύς,
βίᾳ δ' ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις
παύεται, δακρύων δ' ἀποστάζει πένθιμον αἰδῶ.
λαβοῦσα δ' ἕρμα Δῖον ἀψευδεῖ λόγῳ
γείνατο παῖδ' ἀμεμφῆ,
δι' αἰῶνος μακροῦ πάνολβον·
ἔνθεν πᾶσα βοᾷ χθών
"φυσίζοον γένος τόδε Ζηνός ἐστιν ἀληθῶς·
τίς γάρ ἂν κατέπαυσεν Ἥρας νόσους ἐπιβούλους;
Διός τόδ' ἔργον· καὶ τόδ' ἂν γένος λέγων
ἐξ Ἐπάφου κυρήσαις."
τίν' ἂν θεῶν ἐνδικωτέροισιν
κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις;
— ⏑́ ⏑ πατὴρ φυτουργός αὐτόχειρ ἄναξ
γένους παλαιόφρων μέγας
τέκτων, τό πᾶν μῆχαρ οὔριος Ζεύς.
ὑπ' ἀρχᾶς δ' οὔτινος θοάζων
τό μεῖον κρεισσόνων κρατύνειν
οὔτινος ἄνωθεν ἡμένου σέβει κάτω.
πάρεστι δ' ἔργον ὡς ἔπος
σπεῦσαί τι τῶν βούλιος φέρει φρήν.
ΔΑ. θαρσεῖτε, παῖδες· εὖ τά τῶν ἐγχωρίων
⏑ ⏑́ ⏑ — ⏑ ⏑́ ⏑ — ⏑ ⏑́ ⏑ —
δήμου δέδοκται παντελῆ ψηφίσματα.
ΧΟ. ὦ χαῖρε πρέσβυ, φίλτατ' ἀγγέλλων ἐμοί,
ἔνισπε δ' ἡμῖν ποῖ κεκύρωται τέλος,
δήμου κρατοῦσα χείρ θ' ὅπῃ πληθύνεται.
ΔΑ. ἔδοξεν Ἀργείοισιν οὐ διχορρόπως,
ἀλλ' ὥστ' ἀνηβῆσαί με γηραιᾷ φρενί·
πανδημίᾳ γάρ χερσί δεξιωνύμοις

574—581. = 582—589.
590—594. = 595—599.

ἔφριξεν αἰθὴρ τόνδε κραινόντων λόγον·
ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους
κἀρρυσιάστους ξύν τ' ἀσυλίᾳ βροτῶν·
καὶ μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινά
ἄγειν· ἐάν δὲ προστιθῇ τό καρτερόν,
τόν μὴ βοηθήσαντα τῶνδε γαμόρων
ἄτιμον εἶναι ξύν φυγῇ δημηλάτῳ.
τοιάνδ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων
ἄναξ Πελασγῶν, Ζηνός ἱκεσίου κότον
μέγαν προφωνῶν μήποτ' εἰσόπιν χρόνου
πόλιν παχῦναι, ξενικόν ἀστικόν θ' ἅμα
λέγων διπλοῦν μίασμα πρός πόλεως φανέν
ἀμηχάνου βόσκημα πημονῆς πέλειν.
τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς
ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε.
δημηγόρους δ' ἤκουσεν εὐπιθεὶς στροφὰς
δῆμος Πελασγῶν· Ζεύς δ' ἐπικρᾶναι τέλος.
ΧΟ. ἄγε δή, λέξωμεν ἐπ' Ἀργείοις
εὐχάς ἀγαθάς, ἀγαθῶν ποινάς.
Ζεύς δ' ἐφορεύοι ξένιος ξενίου
στόματος τιμάς ἐπ' ἀληθείᾳ,
τέρμον' ἄμεμπτον πρὸς ἅπαντα.
νῦν ὅτε καὶ θεοὶ
Διογενεῖς κλύοιτ' εὐκταῖα γένει χεούσας·
μήποτε πυρίφατον τάνδε Πελασγίαν
τάν ἄχορον βοάν κτίσαι μάχλον Ἄρη,
τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις,
οὕνεκ' ᾤκτισαν ἡμᾶς,
ψῆφον δ' εὔφρον' ἔθεντο,
αἰδοῦνται δ' ἱκέτας Διός, ποίμναν τάνδ' ἀμέγαρτον·
οὐδὲ μετ' ἀρσένων
ψῆφον ἔθεντ' ἀτιμώσαντες ἔριν γυναικῶν,
Δῖον ἐπιδόμενοι πράκτορά τε σκοπόν
δυσπόλεμον, τόν οὔτις ἂν δόμος ἔχοι
ἐπ' ὀρόφων μιαίνοντα· βαρύς δ' ἐφίζει.
ἅζονται γάρ ὁμαίμους
Ζηνός ἵκτορας ἁγνοῦ.
τοιγάρτοι καθαροῖσι βωμοῖς θεοὺς ἀρέσονται.
τοιγὰρ ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος
μήποτε λοιμός ἀνδρῶν [εὐχά,
τάνδε πόλιν κενῶσαι·
μηδ' ἐπιχωρίοις στάσις
πτώμασιν αἱματίσαι πέδον γᾶς.
ἥβας δ' ἄνθος ἄδρεπτον

630—642. = 643—655.
656—666. = 667—677.

563. κεντροδαλήτισι Erfurdtius] κεντροδαλήτοις 564. θυιάς Heathius] θ' ὑίας, spiritu super υ eraso. 570. τὸν δ'] In τό δ' mutatum in Guelf. δ' ἐθάμβουν Turnebus] δὲ θαμβοῦν 571. τότε Canterus] τόδε 574. δι' Hermannus ex v. 582.] Ζεύς *κρέων] κρεῶν et in marg. κραίνων 575. πράκτωρ τῶνδ' ἐφάνη Ζεὺς addidit Hermannus. 576. βία suspectum. δύᾳ Hermannus. μόχθων Weilius. βίᾳ legisse videtur schol. qui annotavit λείπει ὁ καί. 580 ἀψευδεῖ] ἀψυθεῖ Weilius. ἀτρεκεῖ Heimsoethius. 585. γένος] γ' ἔρνος Weilius. τόδε Porsonus] τό δὴ 592. — ⏑́ ⏑] εὖτέ γε Hermannus. 595. ἀρχᾶς Schuetzius] ἀρχάς 596. κρεισσόνων Turnebus] κρεῖσσον ὢν κρατύνειν Hermannus] κρατύνει 599. βούλιος Auratus] δούλιος Post 600. unius versus defectum indicavit Hermannus. 602. ἀγγέλλων] ἀγγέλων pr. 603. ἐνόσπερ ἡμῖν ποι κεκύρωται M. Correxit Robortellus. 604. χείρ ὅπῃ (debebat χείρ θ' ὅπῃ) πληθύεται (debebat πληθύνεται ut Hermannus) Dobraeus] χειροπληθύεται 606. ἀνηβῆσαί με Tyrwhittus] ἂν ἡβήσαιμι

610. κάρυσιάστους simplici ρ M. 616. Ζηνός ἱκεσίου D. in Praef. ad. Lips. quintae p. LXXI.] ἱκεσίου Ζηνός 617. προφωνῶν Canterus] πρόφρων ὢν 618. παχῦναι] γρ. πλατῦναι margo M. 619. πρός πόλεως Paleius] προπόλεως 620. ἀμηχάνου Stanleius] ἀμήχανον 622. ἔκραν' ἄνευ κλητῆρος Turnebus] ἔκλαναν εὐκλήτορος 623. εὐπιθεὶς Blomfieldus] εὐπειθεὶς 624. ἐπικρᾶναι D.] ἐπέκρανεν 625. λέξωμεν Turnebus] λέξομεν Ἀργείοις] ἀργείους pr. 629. ἄμεμπτον Hermannus] ἀμέμπτων 633. πυρίφατον Turnebus] πυρέφατον 634. τάνδε Πελασγίαν Hermannus] τάν πελασγίαν πόλιν 635. τάν Hermannus] τόν 639. ᾤκτισαν] ᾤκτεισαν M, sed superscr. ι. Scholiasta, qui πόλις supplet, legit ᾤκτισεν. 647. πράκτορά τε σκοπόν] Inutile est τε. πράκτορα πάνσκοπον Hermannus. τὸν πάντα ἐποπτεύοντα explicat scholiasta. 649. δυσπόλεμον, τὸν Butlerus] δυσπολέμητον ὂν ἔχοι — μιαίνοντα] ἔχων — ἰαίνοιτο Weilius. 660. τάνδε Hermannus] τῶνδε 661. στάσις addidit Bambergerus. 662 γᾶς Porsonus] τᾶς

ἔστω, μηδ' Ἀφροδίτας
εὐνάτωρ βροτολοιγὸς Ἄρης κέραειεν ἄωτον.
καὶ γεραροῖσι πρεσβυτοδόκοι ⏑ ⏓ ‒ θυμέλαι φλεόν-
των.
τὼς πόλις εὖ νέμοιτο
Ζῆνα μέγαν σεβόντων,
τὸν ξένιον δ' ὑπερτάτως,
ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ.
τίκτεαθαι δὲ φόρους γᾶς
ἄλλους εὐχόμεθ' ἀεί,
Ἄρτεμιν δ' ἑκάταν γυναικῶν λόχους ἐφορεύειν.
μηδέ τις ἀνδροκμὴς λοιγὸς ἐπελθέτω
τάνδε πόλιν δαΐζων,
ἄχορον ἀκίθαριν δακρυογόνον Ἄρη
βοάν τ' ἔνδημον ἐξοπλίζων.
νούσων δ' ἐσμὸς ἀπ' ἀστῶν
ἵζοι κρατὸς ἀτερπής·
εὐμενὴς δ' ὁ Λύκειος ἔστω πάσᾳ νεολαίᾳ.
καρποτελῆ δέ τοι Ζεὺς ἐπικραινέτω
φέρματι γᾶν πανώρῳ.
πρόνομα δὲ βοτὰ τὼς πολύγονα τελέθοι·
τὸ πᾶν τ' ἐκ δαιμόνων λάχοιεν.
εὔφαμον δ' ἐπὶ βωμοῖς
μοῦσαν θείατ' ἀοιδοί·
ἁγνῶν τ' ἐκ στομάτων φερέσθω φάμα φιλοφόρ
φυλάσσοι τ' ἀτιμίας τιμάς [μιγξ.
τὸ δάμιον, τὸ πτόλιν κρατύνει,
προμαθὶς εὐκοινόμητις ἀρχά·
ξένοισί τ' εὐξυμβόλους,
πρὶν ἐξοπλίζειν Ἄρη,
δίκας ἄτερ πημάτων διδοῖεν.
θεοὺς δ', οἳ γᾶν ἔχουσιν, ἀεὶ
τίοιεν ἐγχωρίους πατρῴαις

678—687. = 688—697.
698—703. = 704—709.

δαφνηφόροις βουθύτοισι τιμαῖς.
τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ' ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου.
ΔΑ. εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι·
ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρὸς
ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
ἱκετοδόκου γὰρ τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ
τὸ πλοῖον. εὔσημον γὰρ οὔ με λανθάνει·
στολμοί τε λαίφους καὶ παραρρύσεις νεώς,
καὶ πρῷρα πρόσθεν ὄμμασι βλέπουσ' ὁδόν,
οἴακος ἰθυντῆρος ὑστάτου νεὼς
ἄγαν καλῶς κλύουσα, τὼς ἂν οὐ φίλη.
πρέπουσι δ' ἄνδρες νάϊοι μελαγχίμοις
γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν,
καὶ τἄλλα πλοῖα πᾶσά θ' ἡ 'πικουρία
εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
στείλασα λαῖφος παγκρότως ἐρέσσεται.
ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως
πρὸς πρᾶγμ' ὁρώσας τῶνδε μἀμελεῖν θεῶν.
ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών.
ἴσως γὰρ ἂν κῆρυξ τις ἢ πρέσβις μόλοι,
ἄγειν θέλοντες ῥυσίων ἐφάπτορες.
ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητέ νιν.
ὅμως ἄμεινον, εἰ βραδύνοιμεν βοῇ,
ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτέ.
θάρσει· χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ
θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.
ΧΟ. πάτερ, φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι
ἥκουσι· μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου.
περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως
πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι.
παροίχομαι, πάτερ, δείματι.
ΔΑ. ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα,
θάρσει, μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.
ΧΟ. ἐξώλές ἐστι μάργον Αἰγύπτου γένος
μάχης τ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
δοριπαγεῖς δ' ἔχοντες κυανώπιδας
νῆας ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ
πολεῖ μελαγχίμῳ σὺν στρατῷ.
ΔΑ. πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίας
θάλπει βραχίον' εὖ κατερρινημένους.
ΧΟ. μόνην δὲ μὴ πρόλειπε· λίσσομαι, πάτερ.
γυνὴ μονωθεῖσ' οὐδέν· οὐκ ἔνεστ' Ἄρης.

734—738. = 741—745.
748—752. = 755—759.

668 ⏑ ⏓ ‒] προβούλοις Hermannus. θυμέλαι φλεόντων Hermannus] γεμόντων θυμέλαι φλεγόντων, illato gl. γεμόντων, quod ad φλεόντων (nunc in φλεγόντων corruptum) adscriptum fuit. 670. τὼς πόλις Robortellus] τῶς πόλεις 671. μέγαν Ald.] μέγα 672. τὸν ξένιον δ' ὑπερτάτως H. L. Ahrensius ex schol. (τῶν γερόντων σεβόντων τὸν Δία τὸν ξένιον ὑπερτάτως)] τὸν ξένιον δ' ὑπέρτατον M. τῶν ξενίων ὑπερστατῶν Weilius. 673. ὃς] ὡς pr., sed ω in ο mutato. 674. δὲ φόρους Erfurdtius] δ' ἐφόρους 677. λόχους Sophianus] λόγους 680. τάνδε] τᾶνδε M, ut saepius. 681. ἄχορον ἀκίθαριν] ἄχορος ἀκίθαρις M. Accusativi restituti ex Plut. Mor. p. 758f. ubi ἄχαριν ἀκίθαριν 683. βοάν τ' ἔνδημον Pauwius (quod legit schol.)] βοάν (βοᾶν pr.) τε δῆμον ἐξοπλίζων Stanleius (quo verbo utitur Plut. l. c.)] ἔξω παίζων 684. νούσων] Vel νόσων, quum in hoc metri genere iambus et spondeus perinde habeantur. δ' ἐσμὸς Turnebus] δεσμός 685. κρατὸς Henr. Vossius] κράτος 686. Λύκειος Arnaldus] λύκιος 687. νεολαίᾳ] ε super αἱ in M. 688. καρποτελῆ Stanleius] καρποτελεῖ 691. βοτὰ τὼς Turnebus] βρότατοσ M. βοτὰ γᾶς Hermannus. 693. λάχοιεν D.] λάθοιεν 694. εὔφημον (debebat εὔφαμον) Hermannus] εὐφήμοις 695. μοῦσαν θείατ' Hermannus] μοῦσαι θεαί τ' 697. φάμα D.] φῆμα 698. ἀτιμίας corrupte M et in marg. ἀσφαλίας. ἀτρεμαῖα Butlerus, collato scholio, ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί. 699. δάμιον D.] δῆμον 700. προμαθὶς Hermannus] προμηθεύς, σ super η M. προμαθὴς et cum Lachmanno κοινόμητις Paleius versu antispastico, et in antistropha v. 706. δαφνοφόροις, quod propter arsin solutam parum probabile est. 705. ἐγχωρίους] ἐνχωρίοις pr.

706. δαφνηφόροις Schuetzius] δαφνοφόροισιν (altero ν punctis notato) M. 711. ὑμεῖς δὲ μὴ τρέσητ' Turnebus] ἡμεῖς δὲ μῆτρες ἀεὶ 714. οὔ με] ὄν μ' οὐ Meinekius. 716. ὄμμασι Robortellus] ὄμμασιν 717. ἰθυντῆρος Salvinius (εὐθυντῆρος Turnebus)] συνουτῆρος 718. * τὼς] τῶς (γ' ὡς Turnebus) 719. νάϊοι D.] νήιοι 720. γυίοισι Turnebus] γύοισι 725. 773. μἀμελεῖν D.] μὴ ἀμελεῖν 726. θ' ἥξω (θήξω M)] τ' ἄξω Heimsoethius. 727. ἂν Burgesius] ἢ κῆρυξ M, non κήρυξ πρέσβις μόλοι D. in Thesauro vol. 6, p. 1585.] πρεσβήμολοι 729. μὴ τρέσητέ νιν] μητρέσαιτε, sed η superscr. 732. θάρσει Turnebus] θαρσεῖτε 734. ὡς supra versum a m. pr. 735. ἥκουσι Turnebus] ἥκουσιν 740. ἐγώ Turnebus] ἐγών. ut Pers. v. 931. 741. ἐξώλές ἐστι μάργον Turnebus] ἐξώλεσες τίμαργον 744. νῆας] νέας Meinekius. ἐπιτυχεῖ Turnebus] ἐπὶ (vel ἐπεὶ) τάχει, litera α ita scripta ut etiam υ fuisse possit. 745. πολεῖ Stanleius] πόλει μελαγχίμῳ Turnebus] μελαγχείμω 746. μεσημβρίας Schuetzius] μεσημβρίαι 747. βραχίον' Turnebus] βραχεῖον 748. πρόλειπε Turnebus] πρόλιπε

σύλόφρονες δέ καl δολιομήτιδες δυαάγνοις φρεσίν,
κόρακες ὥστε, βωμῶν ἀλέγοντες οὐδὲν.
ΔΑ. καλῶς ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνσ,
εἰ σοί τε καὶ θεοῖσιν ἐχθαιροίατο.
ΧΟ. οὐ μὴ τρισίνας τάσbε καὶ θεῶν σέβη
δείσαντες ἡμῶν χεῖρ' ἀπόσχωνται, πάτερ.
φυσίφρονες b' ἄγαν ἀνιέρῳ μένει μεμαργωμένοι
κυνοθρασεῖς, θεῶν οὐδὲν ἐπαΐοντες.
ΔΑ. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν
εἶναι· βύβλου δὲ καρπός οὐ κρατεῖ ατάχυν.
ΧΟ. ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων
ἔχοντας ὀργὸς χρὴ φυλάσσεσθαι κράτος.
ΔΑ. οὔτοι ταχεία ναυτικοῦ στολὴ στρατοῦ,
οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία
ἐς γῆν ἐνεγκεῖν, οὐδ' ἐν ἀγκυρουχίαις
θαρσοῦαι ναῶν ποιμένες παραυτίκα,
ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα
ἐς νύκτ' ἀποστείχοντος ἡλίου. φιλεῖ
ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ.
οὕτω γένοιτ' ἄν οὐδ' ἂν ἔκβασις στρατοῦ
καλή, πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι. σὺ δὲ
φρόνει μὲν ὡς ταρβοῦσα μάμελεῖν θεῶν,
⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ –
πράξας ἀρωγήν· ἄγγελον δ' οὐ μέμψεται
πόλις γέρονθ', ἡβῶντα δ' εὐγλώσσῳ φρενί.
ΧΟ. ἰὼ γᾶ βοῦνι, πάνδικον σέβας,
τί πεισόμεσθα; ποῖ φύγωμεν Ἀπίας
χθονός, κελαινόν εἴ τι κεῦθός ἐστί που;
μέλας γενοίμαν καπνὸς νέφεσι γειτονῶν Διός·
τὸ πᾶν δ' ἄφαντος ἂμ πνοαῖς διψάς ὡς κόνις ἄτερθε
πτερύγων ὀροίμαν.
ἄθικτον δ' οὐκέτ' ἄν πέλοι κέαρ,
κελαινόχρῳ δὲ πάλλεται κλυδωνίῳ.

776—783. = 784—791.

πατρὸς σκοπαὶ δέ μ' εἷλον· οἴχομαι φόβῳ.
θέλοιμι δ' ἂν μορσίμου προπρό τυχεῖν ἐν ἀρτάναις,
πρὶν ἄνδρ' ἀπευκτόν ὧδε χριμφθῆν χροΐ· πρόπαρ
θανούσας δ' Ἀΐδας ἀνάσσοι.
πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος,
πρὸς ὃν κύφελλ' ὑδρηλὰ γίγνεται χιών,
ἢ λισσὰς αἰγίλιψ ἀπρόσδεικτος οἰόφρων κρεμὰς
γυπιὸς πέτρα, βαθὺ πτῶμα μαρτυροῦσά μοι, πρὶν
δαΐκτορος βίᾳ
κάρζας γάμου κυρῆσαι.
κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις
πετῆσι δεῖπνον οὐκ ἀναίνομαι πέλειν.
τῷ γὰρ θανεῖν ἐλευθεροῦμαι φιλοστόνων κακῶν.
ἐλθέτω μόρος, πρὸ κοίτας γαμηλίου τυχών, ἀλλύ-
τας. τίν' ἂν πόρον
τέμνοιν γάμου λυτῆρα;
ἴυζε δ' ὀμφὰν οὐράνια μέλη θεοῖσι λιτανά,
τέλεα δέ πῶς πελόμενά μοι;
λύσιμά μ' ἄχειμ' ἔπιδε, πάτερ,
βίαια μὴ φιλεῖς ὁρῶν

792—799. = 800—807.
808—816. = 817—824.

750. οὐλόφρονες Valckenarius] δουλόφρονες δολιομήτιδες margo Askewii] δολομήτιδες 755. σέβη] ἕδη Coningtonus. στέφη Naekius. 756. χεῖρ'] Schol. χεῖρε (nam sic correxi quod in cod. est χειρί) τὸ ἐντελές. Est potius χεῖρα. 757. φυσίφρονες D. ex gl. Hesychii φυσίφρονες: πεφυσημένοι τὰς φρένας, μάταιοι] περίφρονες 759. ἐπαΐοντες in marg. habet M. 760. κρείσσους] κρείσσων, sed superscr. ους. κρείσσονας λύκους Hermannus. 762. ὡς καὶ] ὅμως Schuetzius. 763. ἔχοντας Turnebus] ἔχοντες 764. *ταχεῖα] ταχεῖαι στολὴ στρατοῦ D.] στρατοῦ στολῆι (στολὴ Turnebus) 765. πεισμάτων ex schol.] πισμάτων σωτηρία Turnebus] σωτηρίου 766. οὐδ' ἐν Robortellus] οὐδέν 768. ἄλλως τε Victorius] ἀλλ' ὥστε 769. φιλεῖ] δ' addidit Hermannus. 770. τίκτειν Turnebus] τίκτει M, quod Plutarch. Mor. p. 519 e. 1090 a. pro τίκτειν ponere debebat, quia φιλεῖ omiserat. Altero loco post σοφῷ apud Plut. additum καὶ γαλήνη, (κἂν ᾖ γαλήνη Wyttenb.) ex quo non sequitur Plutarchum post σοφῷ versum legisse qualem finxit Paleius, κἂν ᾖ γαλήνη νήνεμός θ' εὕδῃ κλύδων. 771. γένοιτ' ἂν] Fort. γένοιτ' ἄρ' 773. φρόνει Robortellus] φρονεῖ Lacunam post 773. indicavit Hartungus, qua non animadversa πράξας in πράξασ' mutaverat Robortellus. Versum qui excidit probabile est ab ἐγὼ δὲ — incepisse. 775. εὐγλώσσῳ Robortellus] εὐγλώσσωῶσ M. 776. βοῦνι, πάνδικον Paleius ex schol. qui exp. ἣν δικαίως πάντες τιμῶσιν] βουνῖτι ἔνδικον 782. ἂμ πνοαῖς διψὰς ὡς D. in Praef. edit. Lips. quintae p. LXXIII.] ἀμπετήσαις δόσως 783. ἄτερθε Turnebus] ἄτερθεν ὀροίμαν D. l. c.] ὀλοίμαν 784. ἄθικτον D. l. c. p. LXXIV.] ἄφυκτον 785. κελαινόχρῳ δὲ πάλλεται κλυδωνίῳ D. l. c.] μελανόχρως (κελαινόχρως Pauwius) δὲ πάλλεταί μου καρδία, syllaba longa μου interpolatoris manum prodente.

786. πατρὸς σκοπαὶ δέ μ' εἷλον Victorius] πατροσκοπαι δὲ μειλον 787. μορσίμου] i. e. τοῦ μορσίμου (*fati*), de quo dixi l. c., non μόρον μοι ἐπάγοντος, ut exp. schol. προπρό D. l. c.] βρόχου M, unde in stropha v. 780. νέφεσσι pro νέφεσι Arnaldus. Sed versu iambico si uti voluisset Aeschylus, quum ἐν ἀρτάναις sequatur, non μορσίμου βρόχου, sed μορσίμου λάχους scripsisset. προπρὸ, si recte coalesci, hoc uno loco legitur apud Aeschylum, ut πρόπαρ v. 790. 788. ἀρτάναις Lascaris in apogr. Paris.] σαργάναις 790. ὧδε χριμφθῆν χροΐ D. (collatis Hesychii glossis χριμφθῆν (χριμφθῆναι codex): ἐμπελασθῆναι, [ἐκριφῆναι] ἐνορμῆσαι (ἀνορμῆσαι codex) et χροΐ: σώματι, ἐπιφανείᾳ)] τῶδ' ἐγχριμφθῆν χροῖν M, ex quo in apogr. Guelf. τῷδ' ἐγχριμφθῆναι χεροῖν, in Scorial. τῷδ' ἐγχριμφθῆναι χροΐ factum, ut in gl. Hesychii aut ipse aut librarius ignotae sibi formae χριμφθῆν usitatam χριμφθῆναι substituit, et hic et in alia gl. χρημφθῆναι: προσπελάσαι, ἐγγίσαι, ἐνορμῆσαι. 793. κύφελλ' D. l. c.] νέφη δ' γίνεται Ald.] γείνεται 795. κρεμὰς Hermannus] κρέμας 799. κάρζας D. l. c. p. LXXV] καρδίας 800. κυσὶν Robortellus] κύσειν 801. πετῆσι D. l. c.] ὄρνισιν M, quod servari posset, πρός in stropha v. 793. in ἀμφ' mutato ut Weilius fecit, nisi omnes huius carminis trimetri ex puris constarent iambis. δεῖπνον apogr. Guelf.] δεῖπναν 802. τῷ — ἐλευθεροῦμαι Schuetzius] τὸ — ἐλευθεροῦται M et in marg. ἀντὶ τοῦ ἐλεύθεροι. φιλοστόνων D. l. c.] φιλαιακτῶν M. Facillima emendatio foret φιλαιακῶν, si de usu vocabuli αἰακή ἀπὸ τοῦ αἰάζω, quod inter oxytona in ακη terminata memorat Arcadius p. 107, 2. satis constaret, pro quo Lentzius in Herodianeis vol. 1. p. 315, 20. ἰακή ἀπὸ τοῦ ἰάζω scripsit, Theognosti confisus testimonio, qui p. 18, 3. ἰάζει per βοᾷ explicat, et Hesychii glossa, ἰακαῖς: βοαῖς, cuius vocabuli usitatae sunt formae ἰαχὴ et ἰακχή, pariterque ἰαχεῖν et ἰακχεῖν, non ἰακή et ἰακεῖν. 804. ἐλθέτω Pauwius] Duplicatum in M, priore ἐλθέτω versu separato. 805. τυχὼν — λυτῆρα D. l. c.] τυχών. τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον τέμνω γάμου καὶ λυτήριν M. γάμου λυτῆρα correxerat Schuetzius. 808. ἴυζε Robortellus] ἴυζεν 809. θεοῖσι λιτανά Hermannus] λίτανα θεοῖσι καὶ (καὶ delevit Weilius.) 810. δέ πῶς — μ' ἄχειμ' Weilius] δέ μοι πῶς πελόμενά μοι | λύσιμα μάχιμα δ' M (ut ἀχίματον pro ἀχείματον v. 136. Scholion manus recentioris, ἀντὶ τοῦ ἀτάραχα. 812. φιλεῖς corruptum. φίλοις Lachmannus. Melius φαιδροῖς Weilius, στέρξῃς (cui gl. φιλήσῃς adscriptum fuerit) Hermannus.

σεβίζου δ' ἱκέτας σέθεν,
γαιάοχε παγκρατὲς Ζεῦ.
γένος γὰρ Αἰγύπτειον ὕβριν ἄφερτον ἀρσενογενὲς
μετά με δρόμοισι διόμενοι
φυγάδα μάταισι πολυθρόοις
βίαια δίζηνται λαβεῖν.
σόν δ' ἐπίπαν ζυγόν
ταλάντου. τί δ' ἄνευ σέθεν
θνατοῖσι τέλειόν ἐστιν;
ὁ ὁ ὁ ἁ ἁ ἁ.
ὅδε μάρπτις
νάϊος
γάϊος
τῶν πρό σύ, μάρπτι, κάμνοις,
ἰόφ
ὄμ
δυΐαν βοὰν ἀμφαίνω.
ὁρῶ
τάδε φροίμια πράξαν πόνων
βιαίων ἐμῶν.
ἠὲ ἠέ,
βαῖνε φυγᾷ πρὸς ἀλκάν·
βλοσυρόφρονα χλιδᾷ
δύσφορα ναῖ κὰν γᾷ.
γαῖ ἄναξ προτάσσου.

825—828. = 829—835.

ΚΗΡΥΞ.
σοῦσθε σοῦσθ' ἐπὶ βᾶριν ὅπως ποδῶν.
οὐκοῦν οὐκοῦν
τιλμοὶ τιλμοὶ καὶ στιγμοί,
πολυαίμων φόνιος
ἀποκοπὰ κρατός.
σοῦσθε σοῦσθ' ὀλοαὶ μέγ' ἐπ' ἄμαλα.
ΧΟ. εἴθ' ἀνὰ πολύρυτον
ἁλμήεντα πόρον
δεσποσίῳ ξὺν ὕβρει,
γομφοδέτῳ τε δόρει διώλου.
ΚΗ. αἵμον' ἵζω σ' ἐπ' ἄμαλα ησυδουπια τάπιτα
ΧΟ. κελεύω βίᾳ μεθέσθαι
ἴχαρ φρενί τ' ἄταν.
ΚΗ. ἰὼ ἰόν λεῖφ' ἕδρανα, κί' ἐς δόρυ,
ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν.
ΧΟ. μήποτε πάλιν ἴδοιμ'
ἀλφεσίβοιον ὕδωρ,
ἔνθεν ἀεξόμενον
ζώφυτον αἷμα βροτοῖσι θάλλει.
ΚΗ. σὺ δ' ἐν ναῒ ναῒ βάσει τάχα θέλεος ἀθέλεος.
ΧΟ. ἄγειος ἐγὼ βαθυχαῖος
βαθρείας βαθρείας, γέρον.
ΧΟ. βίᾳ βίᾳ τε πολλᾷ φροῦδα

843—853. = 854—865.

817. Αἰγύπτειον Hermannus] αἰγύπτιον ἄφερτον M. Schmidtius] δύσφορον 821. δίζηνται Robortellus] διζῆνται 823. τί δ' ἄνευ Robortellus] πιδανευ 825—835. Versus hos magna ex parte insanabiles exhibui ut leguntur in M. 825. ὁ ὁ ὁ ἁ ἁ ἁ] In his literis et quae iis in antistropha v. 829. respondent ὁρῶ haud dubie duae latent interiectiones disyllabae, ὠὼ (vel ὀὼ) ἀᾶ, aut, quod minus probabile, trisyllabae quas posuit Weilius ὀοῶ ἀαᾶ, quibus quadrisyllaba praeferenda forent ὀοοὼ, ἀααᾶ, ut ὀοοὼ Sophocli Oed. Col. 220. postulante metro restitui pro ὢ ὢ ἰού, quod est in codice. Ibidem 224. est ὠὼ, δύσμορος, ὠώ, ubi codex ἰὼ ὢ ὢ ὢ — ὢ ὢ. 826. ὅδε —γάϊος] ὁ μάρπτις ὅδε (ὅδ' ὁ Weilius) νάϊος γάϊος Engerus. Scholiasta, ὁ πρώην μὲν ἐπὶ νηός, νῦν δὲ ἐπὶ γῆς γεγονώς. μάρπτις Turnebus] μάρπις M. Hesychius, μάρπτυς (sic): ὑβριστής Post γάϊος excidit ἐὴ ἐή, si in antistropha post v. 831. recte legitur ἠὲ ἠέ, quod ipsum quoque ἐὴ ἐή scribendum erit. ἠὲ ἠέ utrobique Hermannus: quae interiectio, etiam alibi interdum pro ἐὴ ἐή illata ab librariis, nunquam exstitit. 827. πρὸ σύ, μάρπτι Hermannus] τῶν πρόμαρπτι M. Schol. πρότερον θάνοις, ὦ μάρπτι, πρὶν ἡμᾶς συλλαβεῖν. 828. ἰόφ— φαίνω] Horum fragmentorum quod metrum fuerit versus antistrophici docent 833. 834. Nihili est ἰόφ ὄμ, nihilque proficitur scholiastae annotatione, ἐπὶ ἀποπτυσμοῦ μίμημα (sic pro μίσημα L. Dindorfius in Thesauro vol. 5. p. 2435.). ἀπὸ δὲ τοῦ ἀποπτύειν ἀπόφθεγμα (recte ἐπίφθεγμα Weilius) ἐποίησε· διό δεῖ τὴν ὑστέραν δασύνειν, et Eustathii p. 900, 27. ubi de voc. ὄφις agit, ἐκ τοῦ ὄφ ἐπιφωνήματος, ὃ κατὰ πνεύματος ἀθρόαν εἰσπνοὴν ἐγγίνεται τοῖς ἀλγοῦσιν ἢ φόβον παθοῦσιν. δυΐαν] Adiectivum δυΐος memorat Theognostus Can. p. 58, 19. Id vero hic locum non habet. εἰδυῖα βόαμα φαίνω Schwerdtius, collata scholiastae annotatione, οὐκέτι παρὰ τοῦ πατρὸς ἀκούσασα, ἀλλ' αὐτόπτης γενομένη βοῶ. 829. ὁρῶ] Vid. ad v. 825. 830. τάδε] τὰ Engerus. πράξαν, ortum, ut videtur, ex gl. ἔπραξαν, delevit Hermannus. 833. Haec sic in ordinem redigere conatus est Hermannus, βλοσυρόφρονι χλιδᾷ δύσφορα ναῖ τάγ-| γάϊ', ἄναξ, προτάσσου. Weilius, βλοσυρόφρονα (quod ad ἀλκὰν rettulit schol.) χλιδᾷ δύσφορα νάϊ'· ἐγ-|γάϊ', ἄναξ προτάσσου.

836—871. Nullae in M personarum notae. 836. Verba non integra in duo versus divisa in M, quorum prior sylla βά (non βᾶ) terminatur. Schol. exp. ὡς ἔχετε τάχους ποδῶν. Usus loquendi postulat ὅπως τάχος, quod restituit Heimsoethius. Sic ὅσον τάχιστα v. 883. 838—840. Haec quoque non integra. 842. ὀλοαὶ μέγ' Hermannus] ὀλύμεναι ὀλόμεν' ἐπ' ἄμαλα] ἐπαμίδα M. Correxit Hermannus collata Hesychii gl. ἄμαλα: τὴν ναῦν ἀπό τοῦ ἀμᾶν τὴν ἅλα. Αἰσχύλος Πρωτεῖ σατυρικῷ. Corrupte Etym. M p. 75, 22. ἀμάδα τὴν ναῦν Αἰσχύλος. 843. εἴθ' ἀνὰ Hermannus] εἰθάνα πολύρυτον Wellauerus] πολύρρυτον 844. ἁλμήεντα] ἁλμιόεντα Hermannus. 845. δεσποσίῳ] δεσποσύνῳ Victorius. 846. δόρει Hermannus] δορὶ διώλου] Sic M, non δι' ὅλου, quod est in apographis. 847—901. In his quoque versibus multa antiquioris codicis vitio, ex quo M derivatus est, lacera et corrupta sunt, quorum ea tantum, quae satis probabiliter corrigi poterant, emendata exhibui, cetera intacta reliqui. 847. αἵμον' ἵζω σ' Turnebus ex annot. scholiastae, ἡμαγμένον σε καθίζω] αἵμονες ὡς ἐπ' ἄμαλα Hermannus] ἐπάμιδα, ut 842. δίαιμόν σ' ἐς ἄμαλ' ἵζω σύδην | ἀπιτέ' ἀπιτέα Weilius. ησυδουπια ταπιτα uno versu M. Ad τάπιτα absurde schol. ἀπιόντα, κατὰ συγκοπήν. Satis probabilis Weilii emendatio est ἀπιτέ' ἀπιτέα 849. ἴχαρ] Vocabulum suspectum explicat schol. τὴν ἐπιθυμίαν ἴχαρ εἶπε τὴν ἄτην τῆς φρενός. αὐδῶ σε βίας μεθίεσθαι, | ἴχαρ φρεσσί τ' ἄταν ἐᾶν Weilius. 851. ἰὼ ἰὸν versui 850. adiunctum in M. Incertum est utrum ἰὼ ἰὼ cum Robortello an ἰού ἰού cum Hermanno sit scribendum. 853. ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν] Verba non integra. ἃ τιέτ' (i. e. τιετὰ) ἀνὰ πόλιν ἐμὰν πάλιν εὐσεβεῖν Weilius. εὐσεβῶν pro genitivo habuit schol. 854. ἴδοιμ' Butlerus] εἴδοι, superscr. ῖ 856. ἀεξόμενον Scaliger] δεξόμενον 858. σὺ δὲ ναῒ — ἀθέλεος] Verba post γέρον v. 860. lecta huc transposuit Weilius. βροτοῖσι] βοτοῖσι Coningtonus. 861. δ' ἐν Hermannus] δὲ βάσει Porsonus] βάση τάχα] τάχος Weilius. 859. ἄγειος] γεῖος Hermannus. ἔγγαιος Weilius. ἐγὼ] ἔχω Butlerus. βαθυχαῖος] βαθυχάϊος L. Dindorfius in Thes. vol. 2. p. 39. 860. Suspectum βαθρείας, post quod M pergit tribus versibus γέρον . . (duabus literis erasis) σὺ δὲ ναῒ ναῒ | βάση τάχα | θέλεος ἀθέλεος. 863. 865. Haec insanabilia. In vocabulis βίαι βίαι et πολλᾶι inter α et ι litera

βάτεαι βαθυμιτροκακὰ παθῶν
ὀλόμεναι παλάμαις.
αἰαῖ αἰαῖ.
εἰ γὰρ δυσπαλάμως ὄλοιο
δι' ἁλίρρυτον ἄλσος,
κατὰ Σαρπηδόνιον χῶμα πολύψαμμον ἀλαθεὶς
εὐρείαις ἐν αὔραις.
ΚΗ. ἴυζε καὶ λάκαζε καὶ κάλει θεούς·
Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορεῖ.
ἴυζε καὶ βόα πικρότερ' ἀχέων οἰζύος ὄνομ' ἔχων.
ΧΟ. οἰοῖ οἰοῖ,
λύμας εἷς σὺ πρὸ γᾶς ὑλάσκων
περιχαμπτὰ βρυάζεις·
ὅς ἐρωτᾷς ὁ μέγας Νεῖλος ὑβρίζοντά σ' ἀποτρέ-
ψειεν ἄϊστον ὕβριν.
ΚΗ. βαίνειν κελεύω βᾶριν εἰς ἀμφίστροφον
ὅσον τάχιστα· μηδέ τις σχολαζέτω.
ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐδάμ' ἅζεται.
ΧΟ. οἰοῖ, πάτερ βρέτεος ἄρος ἄτα μαλδαύγει
ἄραχνος ὡς βάδην ὄναρ μέλαν μέλαν.
ὀτοτοτοτοῖ.
μᾶ Γᾶ μᾶ Γᾶ, βοᾶν
φοβερὸν ἀπότρεπε,
ὦ βᾶ, Γᾶς παῖ, Ζεῦ.
ΚΗ. οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
οὐ γάρ μ' ἔθρεψαν, οὐδ' ἐγήρασαν τροφῇ.
ΧΟ. μαιμᾷ πέλας δίπους ὄφις,
ἔχιδνα δ' ὥς μέ τις πόδ' ἐνδακοῦσ' ἔχει.

866—875. = 876—884.
885—894. = 895—903.

ὀτοτοτοτοῖ.
μᾶ Γᾶ μᾶ Γᾶ, βοᾶν
φοβερὸν ἀπότρεπε,
ὦ βᾶ, Γᾶς παῖ, Ζεῦ.
ΚΗ. εἰ μή τις ἐς ναῦν εἶσιν αἰνέσας τάδε,
λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.
ΧΟ. ἰὼ πόλεως ἀγοὶ πρόμοι, δάμναμαι.
ΚΗ. ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης,
ἐπεὶ οὐκ ἀκούετ' ὀξὺ τῶν ἐμῶν λόγων.
ΧΟ. διωλόμεσθ'· ἄελπτ' ἄναξ, πάσχομεν.
ΚΗ. πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου, τάχα
ὄψεσθε· θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν.
ΒΑ. οὗτος, τί ποιεῖς; ἐκ τίνος φρονήματος
ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;
ἀλλ' ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν δ' Ἕλλησιν ἐγχλίεις ἄγαν,
καὶ πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενί.
ΚΗ. τί δ' ἠμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ;
ΒΑ. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.
ΚΗ. πῶς δ' οὐχί; τἄμ' ὀλωλόθ' εὑρίσκων ἄγω.
ΒΑ. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;
ΚΗ. Ἑρμῇ μεγίστῳ προξένῳ μαστηρίῳ.
ΒΑ. θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβει.
ΚΗ. τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.
ΒΑ. οἱ δ' ἐνθάδ' οὐδέν, ὡς ἐγὼ σέθεν κλύω.
ΚΗ. ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ 'ξαιρήσεται.
ΒΑ. κλάοις ἄν, εἰ ψαύσειας, οὐ μάλ' ἐς μακράν.
ΚΗ. ἤκουσα τοὔπος οὐδαμῶς φιλόξενον.
ΒΑ. οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.
ΚΗ. λέγοιμ' ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε.
ΒΑ. ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι.
ΚΗ. ἀλλ' ὡς ἂν εἰδὼς ἐννέπω σαφέστερον,
καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς
ἕκαστα, πῶς φῶ πρὸς τίνος τ' ἀφαιρεθεὶς
ἥκειν γυναικῶν αὐτανέψιον στόλον;
οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο
Ἄρης· τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ
ἔλυσεν· ἀλλὰ πολλὰ γίγνεται πάρος
πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίων.
ΒΑ. τί σοι λέγειν χρὴ τοὔνομ'; ἐν χρόνῳ μαθὼν
εἴσει σύ τ' αὐτὸς χοὶ συνέμποροι σέθεν.
ταύτας δ' ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν
ἄγοις ἄν, εἴπερ εὐσεβὴς πίθοι λόγος.
τοιάδε δημόπρακτος ἐκ πόλεως μία

901—906. = 907—910.

una erasa. In literis τροκακά (vel ιτροκακά) παθῶν fuerunt qui πρόκακα πάθε' latere opinarentur.

865. παλάμαις] παλάμαις ἐμαῖς Donaldsonus. 866. αἰαῖ αἰαῖ D.] ἀϊάι αἰάι M. 867. εἰ γὰρ Heathius] καὶ γὰρ M. αἲ γὰρ Weilius. 868. ἁλίρρυτον Turnebus] ἁλλίρυτον 870. πολύψαμμον Paleius] πολυψάμαθον 872. εὐρείαις ἐν] Ἀερίαισιν (Ἀερίαις ἐν Hartungus) Hermannus. 874. ὑπερθορεῖ pr., εῖ in ῆι mutato a m. rec. ὑπεκθορεῖ Hartungus. 875. Verba ἴυζε καὶ βόα ex superioribus repetita esse intellexit Hermannus, qui reliqua sic correxit, χέουσα καὶ πικρότερον οἰζύος νόμον. Similiter Engerus καίπερ χέουσα πικρότερ' οἰζύος νόμον, Weilius πρὸς ταῦτα πικρότερ' οἰζύος νόμον χέον. 876. οἰοῖ οἰοῖ D.] οἶ quinquies M.

877. λύμασισυπρογασυλάσκει (οι super ει a m. pr.) M. Scholiastam, qui annotavit εἷς ὑπὲρ τῶν Αἰγυπτίων πρεσβεύοι, legisse videri λύμας, εἷς δὲ πρὸ γᾶς ὑλάσκοι monui in Annot. Oxon. p. 631. λύμας εἷς σὺ πρὸ γᾶς ὑλάσκων Weilius. Alia hic et supra tentavit Badhamus Praef. ad Plat. Euthyd. p. VI. 878. περιχαμπτὰ corruptum. 880. ὅς ἐρωτᾷς] ὃς ἐπωπᾷ σ' Schwerdtius. σ'] σε M. 882. ἀμφίστροφον ex schol. et Etym. Gud. p. 104, 42.] ἀντίστροφον 883. τις Pauwius] τι 884. οὔτοι] οὔτι Schwerdtius. οὔτοι γὰρ ὁλκὴ Weilius. οὐδάμ' ἅζεται Pauwius] οὐ δαμάζεται 885. βρέτεος ἄρος ἄτα Hermannus ex schol. (ἡ τῶν βρετέων ἐπικουρία βλάπτει με)] βροτιοσα | ροσαται M. Eustathius p. 1422, 19. ἀπὸ δὲ τοῦ ἀρῶ καὶ ἄρος τὸ ὄφελος παρ' Αἰσχύλῳ ἐν Ἱκέτισι "βρότεος (corruptum ex βρέτεος) ἄρος ἄτα", ἤτοι τὸ εὖ τῶν βροτῶν καὶ τὸ ὄφελος ἄτη ἐστίν. μαλδαύγει] μ' ἄλαδ' ἄγει Schuetzius. 887. ὄναρ μέλαν μέλαν D.] ὄναρ ὄναρ μέλαν 890. 899. βοᾶν] βοὰν Pauwius. βοᾷ Hermannus. Requiritur substantivum cum φοβερὸν coniungendum. βύαν, *bubonem*, Weilius. 892. 901. βᾶ (βά M)] Per ὦ πάτερ explicat scholiasta, qui ὦ πᾶ legisse videtur, ut monuit Valckenarius, qui ὦ παῖ Γᾶς, πᾶ Ζεῦ coniecit. 895. μαιμᾷ Robortellus] μαι μαι. Versus non integer, ut apparet ex strophico v. 885. 896. τις πόδ' ἐνδακοῦσ' ἔχει Paleius] τι πότ' ἐν | δακοσάχ

904. πρόμοι Stanleius] πρόμνοι 905—910. In M hoc ordine, πολλοὺς — ἀναρχίαν. | διωλόμεσθ' — πάσχομεν. | ἕλξειν — λόγων. Transposuit Heathius. 905. οὐκ ἀκούετ' ὀξὺ τῶν Porsonus] οὐ κακοῦ ἔξυ τῶν M. οὐκ ἀκούειν ἀξιοῦτ' Federus. 908. διωλόμεσθ'· ἄελπτ', ἄναξ Robortellus] διωλόμεσθα ἐπτάναξ 910. θαρσεῖτ'· οὐκ ἐρεῖτ' ἀναρχίαν Robortellus] θαρσει τοῦ χερεῖ ταναρχίαν 911. τίνος anonymus in *Classical Journal* fasc. 7. p. 159.] ποίου 914. ὢν δ' Porsonus] δ' ὢν 915. ὤρθωσας φρενί Robortellus] ὤρθωσα φρενεί 918. τἄμ' ὀλωλόθ' εὑρίσκων ἄγω Porsonus] τἀπολωλόθ' εὑρίσκων ἐγώ 919. προξένοις Victorius] προσξένοις 921. σέβει Porsonus] σέβη 923. κλύω Robortellus] κάτω 925. κλάοις] κλάεις, sed superscr. οι οὐ Robortellus] οὐδὲ 928. λέγοιμ' Heathius] λέγοις 934—937. Haec non cohaerent cum praecedentibus: quamobrem post 949. transposuit Schuetzius, opinione probabili, quum proxima regis verba v. 938. aptissime sequantur statim post 933. 937. γίγνεται Porsonus] γίνεται βίων ex Plut. Mor. p. 517 f. 937 f.] βίου 938. εἴσει σύ τ' αὐτὸς χοὶ Burgesius] εἰσθιγαυτοσ χοϊ M, et in marg. ἴσως γ' αὐτὸς χ' οἱ ξυνέμποροι.
941. λόγος Turnebus] λόγοις

ψῆφος κέκρανται, μήποτ' ἐκδοῦναι βίᾳ
στόλον γυναικῶν· τῶνδ' ἐφήλωται τορῶς
γόμφος διαμπάξ, ὡς μένειν ἀραρότως.
ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα
οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα,
σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου
γλώσσης. κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων.
ΚΗ. ἦ 'σται τάδ', ἦ δεῖ πόλεμον αἱρεσθαι νέον.
εἴη δὲ νίκη καὶ κράτος τοῖς ἄρσεσιν.
ΒΑ. ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας
εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ.
ὑμεῖς δὲ πᾶσαι σὺν φίλαις ὀπάοσι
θράσος λαβοῦσαι στείχετ' εὐερκῆ πόλιν,
πύργων βαθείᾳ μηχανῇ κεκλῃμένην.
καὶ δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια,
δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερί.
ἔνθ' ἔστιν ὑμῖν εὐτύκους ναίειν δόμους
πολλῶν μετ' ἄλλων· εἰ δέ τις μείζων χάρις,
πάρεστιν οἰκεῖν καὶ μονορρύθμους δόμους.
τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα
πάρεστι, λωτίσασθε. προστάτης δ' ἐγὼ
ἀστοί τε πάντες, ὧνπερ ἥδε κραίνεται
ψῆφος. τί τῶνδε κυριωτέρους μένεις;
ΧΟ. ἀλλ' ἀντ' ἀγαθῶν ἀγαθοῖσι βρύοις,
δῖε Πελασγῶν.
πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον
πατέρ' εὐθαρσῆ
Δαναὸν πρόνοον καὶ βούλαρχον.
τοῦ γὰρ προτέρα μῆτις ὅπου χρὴ
δώματα ναίειν, καὶ τόπος εὔφρων.
πᾶς τις ἐπειπεῖν ψόγον ἀλλοθρόοις
εὔτυκος· εἴη δὲ τὰ λῷστα.

* * * *

σύν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ
βάξει λαῶν τῶν ἐγχώρων.
τάσσεσθε, φίλαι δμωΐδες, οὕτως
ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν
Δαναὸς θεραποντίδα φερνήν.
ΔΑ. ὦ παῖδες, Ἀργείοισιν εὔχεσθαι χρεὼν
θύειν τε λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις,
σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως.
καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐγγενεῖς
φίλους πικρῶς ἤκουσαν αὐτανεψίοις·
ἐμοῦ δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους
ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας,
καὶ μήτ' ἀέλπτως δορικανεῖ μόρῳ θανὼν
λάθοιμι, χώρᾳ δ' ἄχθος ἀείζων πέλοι.
τοιῶνδε τυγχάνοντας εὐπρυμνῆ φρενός
χάριν σέβεσθε τιμιωτέραν ἐμοῦ.
καὶ ταῦθ' ἅμ' ἐγγράψασθε πρὸς γεγραμμένοις
πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρός,
ἀγνῶθ' ὅμιλον ὡς ἐλέγχεσθαι χρόνῳ.
πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει
κακήν, τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως.
ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμέ,
ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.
τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς,
[θῆρες δὲ κηραίνουσι καὶ βροτοί, τί μήν;
καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ.
καρπώματα στάζοντα κηρύσσει Κύπρις
κάλωρα κωλύουσαν θωσ μένειν ἐρῶ.]
καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι
πᾶς τις παρελθὼν ὄμματος θελκτήριον
τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος.
πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος,
πολὺς δὲ πόντος οὕνεκ' ἠρόθη δορί,
μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς
πράξωμεν. οἴκησις δὲ καὶ διπλῆ πάρα·
τὴν μὲν Πελασγός, τὴν δὲ καὶ πόλις διδοῖ,
οἰκεῖν λάτρων ἄτερθεν· εὐπετῆ τάδε.
μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρός,
τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον.
ΧΟ. τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν Ὀλυμπίων·
ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει, πάτερ.
εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον,
ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενός.
ἴτε μὰν ἀστυάνακτας μάκαρας θεοὺς γανάοντες
πολιούχους τε καὶ οἳ χεῦμ' Ἐρασίνου
περιναίονται παλαιόν.
ὑποδέξασθε δ' ὀπαδοὶ

1018—1025. = 1026—1034.

944. τῶνδ' ἐφήλωται τορῶς Turnebus] τῶνδε φιλωται τορῶ 945. ἀραρότως] ἀραρότα Meinekius. 950. ἦ 'σται τάδ' ἦ δεῖ πόλεμον αἱρεσθαι νέον Porsonus] ἴσθι μὲν τάδ' ἤδη πόλεμον ἐρεισθενέον 951. κράτος Weilius] κράτη 954. φίλαις Schuetzius] φίλοις 956. κεκλημένην M, scripto ί super η 959. ἔνθ' ἔστιν ὑμῖν Weilius (ἔνθ' ὑμῖν ἔστιν Kirchhoffius)] εὐθυμεῖν ἔστιν εὐτυχεῖς (debebat εὐτύκους ut Bothius) ναίειν δόμους Turnebus] εὐτυχουσηναίειν δόμοις 961. μονορρύθμους Turnebus] μονορύθμους 963. λωτίσασθε Canterus] λωτίσασθαι 966. ἀγαθοῖσι Porsonus] ἀγαθοῖς 974. εὔτυκος Spanhemius] εὔτυκτος 975—979. Ante hos versus trium versuum defectum, ut tot sint versus quot systematis praecedentis 966—974., indicavit Hermannus, male tamen, aliis praecinentibus, regi eos tribuens. Weilius lacunam inter λαῶν et ἐν χώρῳ notare maluit. 976 τῶν ἐγχώρων Hermannus] ἐν χώρωι 983. ἐγγενεῖς Heathius] ἐκτενεῖς 984. φίλους apogr. Guelf.] φίλου, .οσ. superscripto. αὐτανεψίοις (cum πικρῶς coniungendum) Krausius] αὐτανεψίους 985. ἐμοῦ δ' apogr. Guelf.] ἐμόυσ M, σ in δ' mutato. ἐμοὶ δ' Schuetzius.

987. καὶ μήτ' ἀέλπτως] μήτ' (debebat μηδ') ἐξ ἀέλπτων Weilius. Paleio post 988. versus excidisse videtur cuius sensus fuerit μήτ' ἐν ξένοισιν αὐτὸς οἰκοίην μόνος. δορικανεῖ μόρῳ Porsonus] δορυκ' ἀνημέρωι 989. εὐπρυμνῆ] Suspectum. ἐν πρύμνῃ olim Paleius, nunc τυγχάνοντα πρευμενῆ 990. σέβεσθε apogr. Guelf. corr.] σέβεσθαι M, quo servato ἐμοῦ in θέμις cum Hermanno aut χρεὼν cum Heimsoethio mutandum foret. 991. ταῦθ' ἅμ' ἐγγράψασθε Hermannus] ταῦτα μὲν γράψεσθε γεγραμμένοις] γεγραμμένους M. Correxit Robortellus, qui προσγεγραμμένως. 992. Post haec verba versum unum excidisse probabiliter coniecit Weilius. 994. εὔτυκον Spanhemius] εὔτυχον 999—1002. Versus spurios seclusit D. 999. *τί μήν] τιμὴν 1000. πεδοστιβῆ Robortellus] παιδοστιβῆ 1002. κάλωρα] κάωρα Stanleius. κάξωρα Canterus. Non liquet quomodo interpolator hunc versum scripserit. θωσ M. θ' ὡς apogr. Guelf. μένειν] μένην, superscr. ει, M. 1007 οὕνεκ' ἠρόθη Heathius] οὐν ἐκληρώθη 1009. οἴκησις Robortellus] οἰκήσεις 1011. λάτρων Hermannus] λατρῶν 1015. Huic versui et 1018 lineola praescripta est in M, nulla sequentibus usque ad finem fabulae versibus. 1016. εἰ γάρ τι μὴ θεοῖς] θεοῖς γὰρ εἴ τι μὴ Weilius. 1019. μάκαρας Stanleius] μακρασ γανάοντες Hermannus] γανάεντες. ἀγάλλοντες Paleius in *The Journal of Philology. Cambridge* 1868. fasc. 1. p. 78. 1021. περιναίονται Hermannus (περιναίουσιν Markscheffelius)] περιναίετε 1022. ὑποδέξασθε δ' Heathius] ὑποδέξασθ' ὑποδέξασθε δ' ὀπαδοὶ —] Ex his verbis Aem. Alberti in Dissert. de Aeschyli choro Supplicum Berolini edita a. 1841. collegit duplicem huius fabulae chorum fuisse, alterum Danaidum quindecim, alterum

μέλος. αἶνος δὲ πόλιν τάνδε Πελασγῶν
ἐχέτω, μηδ' ἔτι Νείλου προχοὰς σέβωμεν ὕμνοις·
ποταμοὺς δ' οἳ διὰ χώρας θελεμὸν πῶμα χέουσιν
πολύτεκνοι, λιπαροῖς χεύμασι γαίας
τόδε μειλίσσοντες οὖδας.
ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ
στόλον οἰκτιζομένα, μηδ' ὑπ' ἀνάγκας
γάμος ἔλθοι Κυθερείας· στυγερῶν πέλοι τόδ' ἆθλον.
Κύπριδος δ' οὐκ ἀμελεῖ θεσμὸς ὅδ' εὔφρων.
δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ·
τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς.
μετάκοινοι δὲ φίλᾳ ματρὶ πάρεισιν
Πόθος ᾇ τ' οὐδὲν ἄπαρνον τελέθει θέλκτορι Πειθοῖ.
δέδοται δ' Ἁρμονίᾳ μοῖρ' Ἀφροδίτας
ψεδυραὶ τρίβοι τ' ἐρώτων.

φυγάδεσσιν δ' ἐπιπνοίας κακά τ' ἄλγη
πολέμους θ' αἱματόεντας προφοβοῦμαι.
τί ποτ' εὔπλοιαν ἔπραξαν ταχυπόμποισι διωγμοῖς;
ὅ τί τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν.
Διὸς οὐ παρβατός ἐστιν μεγάλα φρὴν ἀπέρατος·
μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ
προτερᾶν πέλοι γυναικῶν.

ΗΜΙΧΟΡΙΟΝ Α.

ὁ μέγας Ζεὺς ἀπαλέξαι
γάμον Αἰγυπτογενῆ μοι.
ΗΜ. Β. τὸ μὲν ἂν βέλτατον εἴη.
ΗΜ. Α. σὺ δὲ θέλγοις ἂν ἄθελκτον.
ΗΜ. Β. σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον.
ΗΜ. Α. τί δὲ μέλλω φρένα Δίαν
καθορᾶν, ὄψιν ἄβυσσον;
ΗΜ. Β. μέτριον νῦν ἔπος εὔχου.
ΗΜ, Α. τίνα καιρόν με διδάσκεις;
ΗΜ. Β. τὰ θεῶν μηδὲν ἀγάζειν.
ΗΜ. Α. Ζεὺς ἄναξ ἀποστεροίη γάμον δυσάνορα
δάϊον, ὅσπερ Ἰὼ
πημονᾶς ἐλύσατ' εὖ χειρὶ παιωνίᾳ κατασχεθών,
εὐμενῆ βίᾳ κτίσας.
ΗΜ. Β. καὶ κράτος νέμοι γυναιξίν· τὸ βέλτερον κακοῦ
καὶ τὸ δίμοιρον αἰνῶ,
καὶ δίκᾳ δίκας ἕπεσθαι. ξὺν εὐχαῖς ἐμαῖς λυτη-
ρίοις
μαχαναῖς θεοῦ πάρα.

1035—1043. = 1044—1052.
1053—1057. = 1058—1062.
1063—1068 = 1069—1074.

---

totidem famularum, versibus sic inter utrasque distributis p. 17. Δαν ἡμιχ. α'. ἴτε — ὕμνοις. Θεραπ. ἡμιχ. α'. ποταμοὺς — ἆθλον. Θ. ἡ. β'. Κύπριδος — ἐρώτων. Δ. ἡ. β'. φυγάδεσσιν — γυναικῶν. Δ. ἡ. α'. ὁ μέγας — μοι. Θ. ἡ. α.' τὸ — εἴη. Δ. ἡ. β'. σὺ — ἄθελκτον. Θ. ἡ. β'. σὺ — μέλλον. Δ. ἡ. α'. τί — ἄβυσσον. Θ. ἡ. α'. μέτριον — εὔχου. Δ. ἡ. β'. τίνα — διδάσκεις; Θ. ἡ. β'. τὰ — ἀγάζειν. Δα. χορός. Ζεὺς — κτίσας. Θερ. χορός. καὶ — πάρα. Famularum autem quum in praecedentibus chori carminibus nulla usquam ratio habeatur, manifestum est eas in extrema demum parte fabulae in mediam procedere orchestram, ut Danaidibus in urbem abeuntibus comites se adiungant. De numero personarum chori in hac aliisque Aeschyli fabulis dissentiunt viri docti, aliis duodecim aliis quindecim fuisse credentibus. Conf. annot. ad Agam. v. 1344. 1023. μέλος Legrandius] μένος αἶνος Robortellus] αἰνὸς

1025. προχοὰς Robortellus] πρὸς χοὰς 1030. μειλίσσοντες Pauwius] μελίσσοντες 1033. γάμος] τέλος Weilius. ἔλθοι apogr. Paris.] ἔλθει 1034. στυγερῶν Hermannus] στύγειον (στυγερὸν Turnebus)

1035. δ' addidit Porsonus. 1038. δὲ φίλᾳ Burgesius] δ' αἱ (δὲ Lasc. in apogr. Paris.) φίλαι 1039. ᾇ addidit Wellauerus. θέλκτορι Bothius] θεακτορι Πειθοῖ apogr. Paris.] πιθοῖ 1042. ψεδυραὶ Stanleius] ψεδυρα (θ)

1043. φυγάδεσσιν Burgesius] φυγάδες ἐπιπνοίας Turnebus] ἐπιπνοίαι 1048. παρβατός Askewius] παραβάτας 1051. προτερᾶν Bothius] προτέραν 1056. θέλγοις ἂν ἄθελκτον Stephanus] θέλγεις ἀνάθελκτον 1063. Ζεὺς Robortellus] Ζεῦ ἀποστεροίη] ἀποστρέφοι μοι (μου Schwerdtius) Hartungus. γάμον apogr. Paris.] γάμου 1067. κατασχεθών D.] κατασχέθων M. καταστροφάν Hermannus. 1071. καὶ τὸ Robortellus] καί τε 1072. δίκᾳ Burgesius] δίκα 1073. μαχαναῖς D.] μηχαναῖς

ΑΙΣΧΥΛΟΥ ΑΓΑΜΕΜΝΩΝ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ*

ΦΥΛΑΞ.
ΧΟΡΟΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΤΑΛΘΥΒΙΟΣ ΚΗΡΥΞ.
ΑΓΑΜΕΜΝΩΝ.
ΚΑΣΑΝΔΡΑ.
ΑΙΓΙΣΘΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῇ Κλυταιμνήστρᾳ ὑπέσχετο, εἰ πορθήσοι τὸ Ἴλιον, τῆς αὐτῆς ἡμέρας σημανεῖν διὰ τοῦ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν, αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται περὶ τοῦ πυρσοῦ ἐροῦσα, ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ, Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς καὶ ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανόν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξε, πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν ἑκάτερον διισχυριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίῳ, τὴν μὲν τῇ ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῇ ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

Θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθείς.

* **Personarum indice caret M.**

ΦΥΛΑΞ.

Θεούς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
φρουρᾶς ἐτείας μῆχας, ἣν κοιμώμενος
ατέγης 'Ατρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρας βροτοῖς
λαμπροὺς δυνάατας, ἐμπρέποντας αἰθέρι.
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
εὐνὴν ὀνείροις οὐκ ἐπιακοπουμένην,
λύζω· φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ,
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ·
ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
κλάω τότ' οἴκου το δε συμφορὰν ατένων
οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
ἰοὺ ἰοῦ.
'Αγαμέμνονος γυναικὶ σημανῶ τορῶς
εὐνης ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα

7. ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν

ἄνακτος οἴ ων τῇδε βαστάσαι χερί.
τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν· οἶκος δ' αὐτός, εἰ φθογγὴν λάβοι,
σαφέστατ' ἂν λέξειεν. ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι.

ΧΟΡΟΣ.

δέκατον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμου
μέγας ἀντίδικος,
Μενέλαος ἄναξ ἠδ' 'Αγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς ὀχυρὸν ζεῦγος 'Ατρειδαιν,
στόλον 'Αργείων χιλιοναύτην
τῆσδ' ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀρωγήν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη
τρόπον αἰγυπιῶν,
οἵτ' ἐκπατίοις ἄλγεσι παίδων
ὕπατοι λεχέων στροφοδινοῦνται
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες.
ὕπατος δ' ἀίων ἤ τις 'Απόλλων
ἢ Πὰν ἢ Ζεὺς οἰωνόθροον
γόον ὀξυβόαν τῶνδε μετοίκων
ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
οὕτω δ' 'Ατρέως παῖδας ὁ κρείσσων
ἐπ' 'Αλεξάνδρῳ πέμπει ξένιος
Ζεὺς πολυάνορος ἀμφὶ γυναικὸς
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίαισιν ἐρειδομένου
διακναιομένης τ' ἐν προτελείοις
κάμακος θήσων Δαναοῖσιν
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπῃ νῦν
ἔστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκάων οὔθ' ὑπολείβων
ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει.
ἡμεῖς δ' ἀτίται σαρκὶ παλαιᾷ
της τότ' ἀρωγῆς ὑπολειφθέντες
μίμνομεν ἰσχὺν
ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
ἐντὸς ἀνάσσων
ἰσόπρεσβυς, Ἄρης δ' οὐκ ἔνι χώρᾳ
τὸ θ' ὑπέργηρων φυλλάδος ἤδη
κατακαρφομένης τρίποδας μὲν ὁδοὺς
στείχει, παιδὸς δ' οὐδὲν ἀρείων
ὄναρ ημερόφαντον ἀλαίνει.
αὐ δέ, Τυνδάρεω

Agamemnonis fragmenta tantum supersunt in M (v. 1—310. 1067—1159.) amissis foliis quattuordecim (17—24. et 26—31.). Ex codice iam defecto derivata sunt duo apographa, Florentinum Marcianum 222. et Guelferbytanum: ex codice quum adhuc integer esset, quattuor, Venetum 616. (versus continens 1—45. 1095.—1673.), Venetum 468. (v. 1—348.) et quae fabulam totam habent, Florentinum plutei 31, 8. et Neapolitanum Demetrii Triclinii manu scriptum et licentia multo maiore ab ipso interpolatum quam in Florentino (31, 8.) ab alio correctore factum erat, ut comparatio partium fabulae quae in codice Mediceo supersunt cum his apographis docet. Quo fit ut in partibus amissis locorum corruptorum saepe incerta sit emendatio, quum nesciamus quid in archetypo Mediceo scriptum fuerit. Quas quaestiones explicatius tractavi in Philologi a. 1862. vol. 18. p. 60—70. et scholia Triclinii edidi ibidem a. 1863. vol. 20. p. 15—49., repetita ab Hansdio in Agamemnonis editione a. 1864.

2. μῆχος Stanleius et Valcken. ad Herodot. 4, 151.] μῆκος M. ἣν] δ' ἦν M et in marg. ἣν ἐπὶ μῆκος κοιμώμενος: unde δ' ἦν in apogr. quibusdam interpunctione, ut in M, post ἐτείας posita. 3. στέγης Schneidewinus] στέγαις ἄγκαθεν] Ζτ. (i. e. ζήτει) margo M. 7. Versum spurium eiecit Valcken. Versus 4—6. affert Achilles Tat. Isag. in Arat. p. 122.

11. ἀνδρόβουλον] ἀνδρόβουλος γυνή ap. Phryn. Bekkeri p. 19, 23. fortasse ex hoc loco. ἐλπίζον] ἐλπίζων, superscr. ο. 14. λύζω D.] ἐμὴν M. Vid. Praef. edit. Lips. quintae p. LXXII. 17. ἐντέμνων] *ἐκτέμνων 18. κλάω D.] κλαίω 19. διαπονουμένου] δεσποτουμένου Duebnerus. 25. ἰοὺ ἰοῦ Hermannus] ἰοὺ ἰού 27. *σημανῶ] σημαίνω 29. *ἐπορθιάζειν — ἀγγέλλων] ἐπορθριάζειν — ἀγγέλων

39. κοὐ] καὶ οὐ pr. 40. *Πριάμου] πριάμω 44. χιλιοναύτην] χιλιοναύταν, superscripto η (γρ. ἴλιον αὐτὰν margo). 47. ἀρωγήν] ἀρωγάν, superscr. η (ἀρω-
H
γᾶ . ν pr.) 51. στροφοδινοῦνται] Formam Homericam στρεφεδινοῦνται probabiliter restituit L. Dindorfius in Thes. vol. 7. p. 861. 69. ὑποκαίων Casaubonus] ὑποκλαίων οὔτε δακρύων post ὑπολείβων lectum delevit Paleius. 76. ὅ τε Auratus] ὅτε 77. ἀνάσσων Hermannus] ἀνάσσων 78. ἔνι χώρᾳ] ἐν ἀώροις et v. 79. ὅ θ' ὑπέργηρως Weilius. 79. τόθ' (i. e. τό θ') ὑπέργηρων Triclinius] τίθιπεργήρως 82. ἡμερόφαντον Triclinius] ἡμερόφατον 83. Τυνδά-
α ου
ρεω] τυνδάρέω M, litera ω levi calami ductu ex ao facta et accentu, qui est super ε, lineola transfixo: quibus triplex significatur scriptura, τυνδαρέα, τυνδάρεω, τυνδαρέου.

θύγατερ, βασίλεια Κλυταιμνήστρα,
τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
τίνος ἀγγελίας
πευθοῖ περίπεμπτα θυοσκεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
ὑπάτων, χθονίων,
τῶν τ' οὐρανίων τῶν τ' ἀγοραίων,
βωμοὶ δώροισι φλέγονται·
ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
λαμπὰς ἀνίσχει,
φαρμασσομένη χρίματος ἁγνοῦ
μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελάνῳ μυχόθεν βασιλείῳ.
τούτων λέξαις ὅ τι καὶ δυνατὸν
καὶ θέμις αἰνεῖν,
παιών τε γενοῦ τῆσδε μερίμνης,
ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
τοτὲ δ' ἐκ θυσιῶν ἀγανὴ προφανεῖσ'
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
τὴν θυμοφθόρον λύπης φρένα.
κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν
ἐντελέων· ἔτι γὰρ θεόθεν καταπνείει
πειθὼ μολπᾶν
ἀλκᾷ σύμφυτος αἰών·
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
ξύμφρονε ταγώ,
πέμπει σὺν δορὶ καὶ χερὶ πράκτωρ
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς, ὅ τ'
ἐξόπιν ἀργᾶς,
φανέντες ἴκταρ μελάθρων χερὸς ἐκ δοριπάλτου
παμπρέπτοις ἐν ἕδραισιν,
βοσκόμενοι λαγίναν ἐρικυμάδα φέρματι γένναν,

101—121. = 122—139.

βλαβέντα λοισθίων δρόμων.
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.
κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασιν ἴσους
Ἀτρεΐδας μαχίμους ἐδάη λαγοδαίτας
πομπᾶς ἀρχούς·
οὕτω δ' εἶπε τεράζων
"χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων
κτήνη πρόσθε τὰ δημιοπληθῆ
Μοῖρα λαπάξει πρὸς τὸ βίαιον·
οἷον μή τις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας
στρατωθέν. οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ
πτανοῖσιν κυσὶ πατρὸς
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισι·
στυγεῖ δὲ δεῖπνον ἀετῶν."
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.
"ὅσσων παρ' εὐφρόνων καλὰ Διὸς κόρα
δρόσοισιν μαλερῶν τε λεόντων
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι
τερπνὰ ξύμβολα κράναι.
ἵηιον δ' ἐπανακαλῶ Παιᾶν', ἰή, [αὔρας
μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενηίδας
τεύξῃ, σπευδομένα θυσίαν ἑτέραν ἄνομόν τιν',
νεικέων τέκτονα σύμφυτον αἰνῶν, [ἄδαιτον,
οὐ δεισήνορα. μίμνει γὰρ φοβερὰ παλίνορτος
οἰκονόμος δολία μνάμων μῆνις τεκνόποινος."
τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις,
δεξιὰ μέν, κατάμομφα δὲ φάσματα φαίνων.
τοῖς δ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.
Ζεύς, ὅστις ποτ' ἐστίν, εἰ τόδ' αὐτῷ φίλον κεκλη-
τοῦτό νιν προσεννέπω. [μένῳ,
οὐκ ἔχω προσεικάσαι πάντ' ἐπισταθμώμενος
πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως. [βρύων,
οὐδ' ὅστις πάροιθεν ἦν μέγας, παμμάχῳ θράσει

160—167. = 168—175.

87. πευθοῖ Scaliger] πειθοῖ θυοσκεῖς (quod verbum annotavit Hesychius s. v. θυοσκεῖν) Turnebus] θυοσκνεῖς pr., θυοσκινεῖς corr. Apud Hesychium θεοσκνεῖ: θεοὺς τιμᾷ. 90. οὐρανίων] ἀγρονόμων Weilius, collato Sept. 272. 91. δώροισι Triclinius] δώροις 96. *πελάνῳ] πελανῷ M, in quo πελανός etiam alibi oxytonum est. 97. λέξαις Hartungus] λέξασ' 101. ἀγανὴ προφανεῖσ' Weilius] ἀγανὰ φαίνεις 102. *ἄπληστον] ἄπλειστον 103. τὴν θυμοφθόρον λύπης φρένα] Scripturam corruptam explicat schol. ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός. Aeschylus quid scripserit prorsus incertum est. Sententiae satisfacit καινοῦ θυμοφθόρου ἄλγους, quod proposui in Philologo vol. 18. p. 66. post multas multorum coniecturas, quarum stultissima est Tricliniana τὴν θυμοβόρον λυποφρένα. λύπης, θυμοφθόρον ἄτην Weilius. 104. ὅδιον] Apud Arist. Ran. 1276. ubi hic versus affertur libri alii ὅδιον, alii ὅσιον. Scholiasta vol. 2. p. 138. ἐν τοῖς πλείστοις αἴσιον, Ἀσκληπιάδης τὸ ὅσιον, ubi αἴσιον per errorem ex altera versus parte illatum. Scholiasta, ut iam ab aliis monitum, vel ἐν τοῖς πλείστοις ὅσιον, Ἀ. δὲ ὅδιον, vel inverso ordine ὅδιον — ὅσιον scripserat. 105. ἐντελέων Auratus] ἐκτελέων καταπνείει Ald.] καταπνέ.ει M, una post ἐ litera crasa, quae υ fuisse videtur: unde καταπνεύει in apographis. Aeschylus fortasse καταπνεῖ μου scripserat. 106. μολπᾶν pr. M, μολπὰν corr. ἀλκᾷ Bothius] ἀλκὰν 110. ξύμφρονε ταγὼ D.] ξύμφρονα τὰν γᾶν (ταγὰν cum metri vitio Triclinius) 111. καὶ χερὶ ex Arist. Ran. 1288.] δίκας πράκτωρ D. in Praef. ed. Lips. quintae p. LXXXII.] πράκτορι M, quod Aristophani quoque intulerunt librarii praecedentibus dativis decepti. 115. βασιλεὺς] βασιλεῖς Karstenus, quod βασιλῆς scribendum foret. ὅ τ'] ὁ δ' Hartungus. ἀργᾶς Blomfieldus] ἀργίας 117. δοριπάλτου Turnebus] δορυπάλτου 119. ἐρικυμάδα Seidlerus] ἐρικύματα (*ἐρικύμονα)

122. λήμασιν ἴσους D.] λήμασι δισσοὺς 123. Ἀτρεΐδας Monkius] ἀτρείδας *λαγοδαίτας] λογοδαίτας 124. πομπᾶς ἀρχοὺς Karstenus] πομποὺς (hoc accentu) τ' ἀρχὰς (*ἀρχούς) 125. τεράιζων M, i. e. τεράζων: de quo dixi in Praef. l. c. p. LXXXIII. 129. *πρόσθε τὰ] προσθετὰ 130. Μοῖρα λαπάξει Triclinius] μοῖρ' ἀλαπάξει 132. ἄγα Hermannus] ἄτα 134. στρατωθέν. οἴκῳ] Corruptum. πάροιθεν οἴκων Weilius interpunctione post Τροίας posita. 138. ἀετῶν Porsonus] αἰετῶν 140. ὅσσων παρ' εὐφρόνων D. in Praef. l. c. p. LXXXIV.] τόσσων περ εὔφρων Διὸς κόρα addidit D. 141. μαλερῶν τε λεόντων D.] ἀέλπτοις (*ἀέπτοις) μαλερῶν ὄντων M. λεόντων servavit Etym. M. p. 377, 37. Αἰσχύλος ἐν Ἀγαμέμνονι τοὺς σκύμνους τῶν λεόντων δρόσους κέκληκε. De ceteris emendationibus plura dixi in Fleckeiseni Annal. a. 1863. vol. 87. p. 75—79. et in Praef. l. c. p. LXXXV. Ineptit scholiasta, qui non animadverterat ἀέπτοις (nam sic legit) nihil aliud esse quam ἀετοῖς, glossema vocabulis πτανοῖς κυσὶ πατρὸς adscriptum. 144. τερπνὰ in fine praecedentis versus habet M. ξύμβολα D. in Praef. p. LXXXV.] τούτων αἰτεῖ ξύμβολα Post hunc versum in M sequuntur verba δεξιὰ — φάσματα στρουθῶν, quae emendata transposui post v. 157. 147. δ' ἐπανακαλῶ Παιᾶν', ἰὴ D.] δὲ καλέω παιᾶνα M, nulla metri forma. 150. αὔρας D.] ἀπλοΐας 153. αἰνῶν addidit D. 156 *ἀπέκλαγξεν] ἀπέκλαιξεν 157. φαίνων D.] στρουθῶν M, de quo errore dixi in Praef. p. LXXXVIII. 165. τὸ Pauwius] τόδε

οὐδὲ λέξεται πρὶν ὤν·
ὃς δ' ἔπειτ' ἔφυ, τριακτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
τεύξεται φρενῶν τὸ πᾶν·
τὸν φρονεῖν βροτοὺς ὁδώσαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.
στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας
μνησιπήμων πόνος· καὶ παρ' ἄκοντας ἦλθε σω-
δαιμόνων δέ που χάρις [φρονεῖν.
βιαίως σέλμα σεμνὸν ἡμένων.
καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς νεῶν Ἀχαιικῶν,
μάντιν οὔτινα ψέγων,
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύνοντ' Ἀχαιικὸς λεώς,
Χαλκίδος πέραν ἔχων
παλιρρόχθοις ἐν Αὐλίδος τόποις·
πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι, νήστιδες, δύσορμοι,
βροτῶν ἄλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς,
παλιμμήκη χρόνον τιθεῖσαι
τρίβῳ κατέξαινον ἄνθος Ἀργείων.
ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισιν [βάκ-
μάντις ἔκλαγξεν προφέρων Ἄρτεμιν, ὥστε χθόνα
τροις ἐπικρούσαντας Ἀτρείδας δάκρυ μὴ κατασχεῖν·
ἄναξ δ' ὁ πρέσβυς τότ' εἶπε φωνῶν
"βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
βαρεῖα δ', εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισι
ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας.
τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι
ξυμμαχίας ἁμαρτών;
παυσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀρ
γᾷ περιοργῶς ἐπιθυμεῖν θέμις. εὖ γὰρ εἴη."
ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον
φρενὸς πνέων δυσσεβῆ τροπαίαν
ἄναγνον ἀνίερον, τόθεν
τὸ παντότολμον φρονεῖν μετέγνω.
βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις
τάλαινα παρακοπὰ
πρωτοπήμων. ἔτλα δ' οὖν [ἀρωγὰν
θυτὴρ γενέσθαι θυγατρός, γυναικοποίνων πολέμων
καὶ προτέλεια ναῶν.
λιτὰς δὲ καὶ κληδόνας πατρῴους
παρ' οὐδὲν αἰῶνα παρθένειόν τ'
ἔθεντο φιλόμαχοι βραβῆς.

176—183. = 184—191.
192—204. = 205—217.
218—227. = 228—237.

φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν
δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ
παντὶ θυμῷ προνωπῆ
λαβεῖν ἀέρδην, στόματός τε καλλιπρῴρου φυλα-
κὰν κατασχεῖν
φθόγγον ἀραῖον οἴκοις,
βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει.
κρόκου βαφὰς δ' ἐς πέδον χέουσα [λοίκτῳ,
ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φι-
πρέπουσά θ' ὡς ἐν γραφαῖς, προσεννέπειν
θέλουσ', ἐπεὶ πολλάκις
πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
ἔμελψεν. ἁγνᾷ δ' ἀταύρωτος αὐδᾷ πατρὸς
φίλου τριτόσπονδον εὔποτμον
παιᾶνα φίλως ἐτίμα.
τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω·
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι. [μέλλον,
Δίκα δὲ τοῖς μὲν λαθοῦσιν μαθεῖν ἐπιρρέπει τὸ
⏑ ⏑́ ⏑ – ⏑́ ⏑ – προχαιρέτω·
ἴσον δὲ τῷ προστένειν.
τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς.
πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις, ὡς
θέλει τόδ' ἄγχιστον Ἀπίας
γαίας μονόφρουρον ἕρκος.
ἥκω σεβίζων σόν, Κλυταιμνήστρα, κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου.
σὺ δ' εἴ τι κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία,
ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
πεύσει δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν·
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.
ΧΟ. πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.
ΚΛ. Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;
ΧΟ. χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.
ΚΛ. εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.
ΧΟ. ἦ γάρ τι πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;
ΚΛ. ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.
ΧΟ. πότερα δ' ὀνείρων φάσματ' εὐπιθῆ σέβεις;
ΚΛ. οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.
ΧΟ. ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;
ΚΛ. παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας.
ΧΟ. ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;
ΚΛ. τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω.

238—246. = 247—257.

---

170. οὐδὲ λέξεται H. L. Ahrensius] οὐδὲν λέξαι 177. τὸν πάθει Schuetzius] τῷ (sine iota) πάθει 179. ἔν θ' ὕπνῳ] ἀνθ' ὕπνου Emperius. 182. *δέ που] δὲ ποῦ 183. βιαίως] βίαιος Schoemannus. 191. παλιρρόχθοις H. L. Ahrensius] παλιρρόθοις 195. νεῶν τε καὶ Porsonus] ναῶν καὶ 201. ἔκλαγξεν Porsonus] ἔκλαγξε 205. τότ' Stanleius] τόδ' 206. πιθέσθαι Turnebus] πειθέσθαι (sic) 210. ῥείθροις Triclinius] ῥεέθροις. ῥοαῖς Schoemannus. βωμοῦ πέλας] πέλας βωμοῦ Paleius. 212. πῶς λιπόναυς Triclinius] τί πῶς λιπόναυς τε 216. περιοργῶς D.] περιόργως. Verba autem ὀργᾷ — θέμις vitii sunt suspecta. Schol. ὀργᾷ: τῷ τρόπῳ. γρ. (sic Hermannus pro γὰρ) αὐδᾷ, ὁ μάντις δηλονότι 222. βροτοὺς Schuetzius] βροτοῖς 229. *παρθένειον] παρθένιον τ' addidit Pearsonus. αἰῶ τε παρθένειον Odofr. Muellerus.

244. ἁγνᾷ — αὐδᾷ Schuetzius] ἁγνὰ — αὐδὰ 246. παιῶνα (debebat παιᾶνα) Hartungus] αἰῶνα 249. λαθοῦσιν Aug. Matthiae] παθοῦσιν M, in quo haec sic sunt scripta et in versus divisa, δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν | ἐπιρρέπει | τὸ μέλλον . . τὸ δὲ προκλύειν | ἐπιγένοιτ' (*ἐπεὶ γένοιτ') ἂν κλύοις προχαιρέτω |, verbis τὸ δὲ προκλύειν in fine versus post breve intervallum colore viridiore et, ut videtur, ab alia manu scriptis. Eieci hoc interpolatoris supplementum. Aeschyli verborum haec fuisse videtur sententia, ὁ δ' ἐκφυγεῖν οἱ δοκῶν προχαιρέτω: de quo dixi in Praef. p. LXXXIX.
254. σύνορθρον Wellauerus] συνορθὸν 256. ἄγχιστον ineptum. ἀρχηρὸν (ex v. 259.) Meinekius in Philologo vol. 20. p. 71. Probabilius ἄρχιστον: de quo dixi in Praef. p. XC. 261. εἴ τι] In εἴτε mutavit διορθωτής. 262. *ἐλπίσιν] ἐλπίσειν 266. *πεύσει] πεύσῃ 272. ἦ γάρ τι Karstenus] τί γὰρ τὸ 274. εὐπιθῆ Blomfieldus] εὐπειθῆ

ΧΟ. καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;
ΚΛ. Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
ἔπεμπεν· Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἀθῷον αἶπος Ζηνὸς ἐξεδέξατο,
ὑπερτελής τε, πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
πεύκης τὸ χρυσοφεγγές, ὥς τις ἥλιος,
σέλας παρηγγάρευσε Μακίστου σκοπῷ·
ὁ δ' οὔτι μέλλων οὐδ' ἀφρασμόνως ὕπνῳ
νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρὰ προσαιθρίζουσα πόμπιμον φλόγα·
λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος,
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
ὤτρυνε θεσμὸν μὴ ῥαχίζεσθαι πυρός.
πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ' ἔσκηψεν, ἔς τ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτο σύμβολόν τε σοὶ λέγω
ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
ΧΟ. θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι·
λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διανεκῶς θέλοιμ' ἄν, οὓς λέγεις, πάλιν.
ΚΛ. Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
ὄξος τ' ἄλειφά τ' ἐγχέας ταὐτῷ κύτει
διχοστατοῦντ' ἄν, οὐ φίλω, προσεννέποις·
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.
οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων
παῖδες γερόντων οὐκέτ' ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον·
τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστεις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον·
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
ἐν αἰχμαλώτοις Τρωικοῖς οἰκήμασιν
ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαγέντες, ὡς δὲ δαίμονες
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ' εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
οὔ τἂν ἑλόντες αὖθις ἀνθαλοῖεν ἄν.
ἔρως δὲ μή τις πρότερον ἐμπίπτοι στρατῷ
πορθεῖν ἃ μὴ χρή, κέρδεσιν νικωμένους.
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας·
θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός,
κάμψαι διαύλου θάτερον κῶλον πάλιν
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τεύχοι κακά
ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύεις·
τὸ δ' εὖ κρατοίη μὴ διχορρόπως ἰδεῖν.
πολλῶν γὰρ ἐσθλῶν τήνδ' ὄνησιν εἱλόμην.
ΧΟ. γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προσειπεῖν αὖ παρασκευάζομαι.
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.
ὦ Ζεῦ βασιλεῦ καὶ νὺξ φιλία
μεγάλων κόσμων κτεάτειρα,
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
στεγανὸν δίκτυον, ὡς μήτε μέγαν
μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι
μέγα δουλείας
γάγγαμον ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ
τείνοντα πάλαι τόξον, ὅπως ἂν
μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ ἄστρων
βέλος ἠλίθιον σκήψειεν.
Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν,
πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι.
ἔπραξαν ὡς ἔκρανεν. οὐκ ἔφα τις
θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής.
πέφανται δ' ἐγγόνους
ἀτολμήτων Ἄρη
πνεόντων μεῖζον ἢ δικαίως,

280. ἀγγέλων] ἀγγέλλων Stanleius. 282. ἀγγάρου ex Etym. M. p. 7, 18.] ἀγγέλου 283. *Ἑρμαῖον] ἕρμαιον 284. πανὸν ex Athenaeo 15. p. 700 e.] φανόν 288. πεύκης Schuetzius] πεύκη 289. παρηγγάρευσε Bambergerus] παραγγείλασα σκοπῷ Hermannus] σκοπάς 297. *πεδίον Ἀσωποῦ] παιδίον ὠποῦ 301. προσαιθρίζουσα πόμπιμον φλόγα D. ex gl. Hesychii, προσαιθρίζουσα πόμπιμον φλόγα: πρὸς τὸν αἰθέρα ποιοῦσα, ὥστε ἄνω πέμπεσθαι τὴν φλόγα] πλέον καίουσα τῶν εἰρημένων M, quod imbecilli interpolatoris commentum est versum defectum utcunque explentis. De quo dixi in Praefat. ed. Oxon. secundae p. VII. collatis similibus Aeschyli verbis οὐρανίζειν et προσαυρίζειν (fr. 402.) 304. ῥαχίζεσθαι D. in Praef. ed. Lips. quintae p. XC.] χαρίζεσθαι 306. καὶ] χὼς Karstenus. 307. κάτοπτον Canterus ex schol. (qui per κατόψιον exp.)] κάτοπτραν 308. ἔς τ' Stanleius] εἶτ' 310. *τόδε] τόγε Post hunc versum quo quaternio finitur in M. manus recens adscripsit λείπει πολλά. Exciderat quaternio versus 311—1066. complexus. In hac igitur parte fabulae quas pone lemmata ponimus scripturas apographorum vel omnium vel aliquorum sunt. 312. τοιοίδε τοί μοι Schuetzius] τοιοίδ' ἕτοιμοι 315. τοιοῦτο Victorius] τοιοῦτον 319. διανεκῶς Blomfieldus] διηνεκῶς οὓς Bothius] ὡς 322. ἄλειφα] ἄλειφαρ Pearsonus. ἐγχέας Canterus] ἐκχέας

323. φίλω Stanleius] φίλως 336. δὲ δαίμονες Hermannus] δυσδαίμονες 337. εὖ σέβουσι Valckenarius. 340. οὔ τἂν ἑλόντες Hermannus] οὐκ ἀνελόντες vel οὐκ ἂν γ' ἑλόντες ἀνθαλοῖεν Auratus] ἂν (vel αὖ) θάνοιεν 341—347. legebantur hoc ordine, κάμψαι —| θεοῖς — | ἐγρηγορὸς — γένοιτ' — κακά. Transposuit H. L. Ahrensius et τεύχοι scripsit pro τύχοι 348. ἐγρηγορὸς Porsonus] ἐγρήγορον 350. τήνδ' Hermannus] τὴν 353. αὖ Paleius] εὖ 360. μέγα δουλείας delet Schuetzius. 369. ἔπραξαν ὡς Hermannus] ὡς ἔπραξεν ὡς 374. πέφανται δ' ἐγγόνους (ἐκγόνους superscr. in apogr. Flor.) | ἀτολμήτων Ἄρη] Verba corrupta. ἐγγενὴς — Ἄρης Karstenus. ἔκγονος — ἀρὰ (*perniciea*) Bambergerus.

φλεόντων δωμάτων ὑπέρφευ [ἀπαρκεῖν
ὑπὲρ τὸ βέλτιστον. ἔστω δ' ἀπήμαντον, ὥστ'
εὖ πραπίδων λαχόντα.
οὐ γὰρ ἔστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρὶ
λακτίσαντι μέγαν Δίκας βωμὸν εἰς ἀφάνειαν.
βιᾶται δ' ἁ τάλαινα πειθώ,
προβουλόπαις ἄφερτος ἄτας.
ἄκος δὲ πᾶν μάταιον. οὐκ ἐκρύφθη,
πρέπει δέ, φῶς αἰνολαμπές, σίνος·
κακοῦ δὲ χαλκοῦ τρόπον
τρίβῳ τε καὶ προσβολαῖς
μελαμπαγὴς πέλει
δικαιωθείς, ἐπεὶ
διώκει παῖς ποτανὸν ὄρνιν,
πόλει πρόστριμμ' ἄφερτον ἐνθείς.
λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν· τῶνδ' ἐπίστροφον δὲ
φῶτ' ἄδικον καθαιρεῖ.
οἷος καὶ Πάρις ἐλθὼν
ἐς δόμον τὸν Ἀτρειδᾶν
ᾔσχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικός.
λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας
κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμούς,
ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθορὰν
βέβακεν ῥίμφα διὰ πυλᾶν
ἄτλατα τλᾶσα· πολλὰ δ' ἔστενον
τάδ' ἐννέποντες δόμων προφῆται·
ἰὼ ἰὼ δῶμα δῶμα καὶ πρόμοι,
ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
πάρεστι σιγᾶς ἄτιμος ἀλοίδορος
ἄδιστος ἀφεμένων ἰδεῖν.
πόθῳ δ' ὑπερποντίας
φάσμα δόξει δόμων ἀνάσσειν.
εὐμόρφων δὲ κολοσσῶν
ἔχθεται χάρις ἀνδρί·
ὀμμάτων δ' ἐν ἀχηνίαις ἔρρει πᾶσ' Ἀφροδίτα.
ὀνειρόφαντοι δὲ πενθήμονες
πάρεισιν δοκαὶ φέρουσαι χάριν ματαίαν.
μάταν γάρ, εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾷ,
παραλλάξασα διὰ χερῶν
βέβακεν ὄψις οὐ μεθύστερον
πτεροῖς ὀπαδοῦσ' ὕπνου κελεύθοις.
τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
τάδ' ἐστὶ καὶ τῶνδ' ὑπερβατώτερα.

367—384. = 385—402.
403—419. = 420—436.

τὸ πᾶν δ' ἀφ' Ἑλλανίδος γᾶς συνορμένοις
πένθεια τλησικάρδιος
δόμων ἑκάστου πρέπει.
πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
οὓς μὲν γάρ τις ἔπεμψεν
οἶδεν, ἀντὶ δὲ φωτῶν
τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται.
ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων
καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
πυρωθὲν ἐξ Ἰλίου
φίλοισι πέμπει βραχὺ
ψῆγμα δυσδάκρυτον ἀντήνορος σποδοῦ γεμίζων
λέβητας εὐθέτους.
στένουσι δ' εὖ λέγοντες ἄνδρα τὸν μὲν ὡς
μάχης ἴδρις, τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ'
ἀλλοτρίας διαὶ γυναικός. τάδε σῖγά τις βαΰ-
ζει. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρεί-
δαις.
οἱ δ' αὐτοῦ περὶ τεῖχος
θήκας Ἰλιάδος γᾶς
εὔμορφοι κατέχουσιν· ἐχθρὰ δ' ἔχοντας ἔκρυψεν.
βαρεῖα δ' ἀστῶν φάτις σὺν κότῳ·
δημοκράντου δ' ἀρᾶς τίνει χρέος.
μένει δ' ἀκοῦσαί τί μου
μέριμνα νυκτηρεφές.
τῶν πολυκτόνων γὰρ οὐκ ἄσκοποι θεοί. κελαιναὶ
δ' Ἐρινύες χρόνῳ
τυχηρὸν ὄντ' ἄνευ δίκας παλιντυχεῖ
τριβᾷ βίου τιθεῖσ' ἀμαυρόν, ἐν δ' ἀΐ-
στοις τελέθοντος οὔτις ἀλκά· τὸ δ' ὑπερκόπως
κλύειν
εὖ βαρύ· βάλλεται γὰρ ὄσσοις Διόθεν κεραυνός.
κρίνω δ' ἄφθονον ὄλβον.
μήτ' εἴην πτολιπόρθης
μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλλων βίον κατίδοιμι.
πυρὸς δ' ὑπ' εὐαγγέλου
πόλιν διήκει θοὰ
βάξις· εἰ δ' ἐτήτυμος,
τίς οἶδεν; εἴ τι θεῖόν ἐστι μὴ ψύθος.
τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,
φλογὸς παραγγέλμασιν
νέοις πυρωθέντα καρδίαν ἔπειτ'
ἀλλαγᾷ λόγου καμεῖν;
γυναικὸς αἰχμᾷ πρέπει
πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι.
πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
ταχύπορος· ἀλλὰ ταχύμορον
γυναικογήρυτον ὄλλυται κλέος.

437—455. = 456—477.

378. ὑπὲρ τὸ] μέτρον δὲ Weilius. 379. ὥστ' ἀπαρκεῖν] ὥστε κἀπαρκεῖν Triclinius. 380. λαχόντα] λαχόντι Schuetzius. 388. πᾶν μάταιον Musgravius] παμμάταιον 391. τε addidit Triclinius. προσβολαῖς Porsonus] προβολαῖς 395. ἐνθεὶς Triclinius] θεὶς 396. τῶνδ' ἐ. δὲ Weyrauchius] τὸν δ' ἐ. τῶνδε 400. τὸν — κλοπαῖσι Triclinius] τῶν — κλοπαῖς 407. βέβακεν Triclinius] βέβακε 408. ἄτλατα D.] ἄτλητα πολλὰ δ' ἔστενον Triclinius] πολὺ δ' ἀνέστενον 409. τάδ' Blomfieldus] τόδ' 411. φιλάνορες] φυγάνορες Karstenus. 412. πάρεστι — ἰδεῖν] Versus corrupti, quorum incerta est emendatio. πάρεστι σιγὰς ἀτίμους ἀλοιδόρους αἴστους (scr. ἀστοὺς) ἐφημένων ἰδεῖν Karstenus. Poterat paullo melius πάρεστι σιγὰς ἀτίμως ἀλοιδόρως | ἀστοὺς ἀφημένων ἰδεῖν, ut dixi in Praef. ed. Lips. nostras p. XCI. πάρεστι σιγᾶς ἀτίμους ἀλοιδόρους ἄλγιστ' ἀφειμένων ἰδεῖν Hermannus. 414. ὑπερποντίας Triclinius] ὑπὲρ ποντίας 421. δόκαι (debebat δοκαὶ) Hermannus] δόξαι 423. ὁρᾷ Scholefieldus] ὁρᾶν 426. ὀπαδοῦσ' Dobraeus] ὀπαδοῖς 427. ἐφ' ἑστίας] ἐφεστίους Stanleius. 428. τάδ'] τὰ δ' Halmius. ὑπερβατώτερα] ὑπερτερώτερα Weilius: vid. ad fragm. 351.

429. Ἑλλανίδος γᾶς Hermannus] ἑλλάδος αἴας 430. τλησικάρδιος] Gl. Triclinii τὴν καρδίαν τήκουσα, quasi τηξικάρδιος legere voluerit, quod coniecit Auratus. 433. τις addidit Porsonus. 436. ἀφικνεῖται Porsonus] εἰσαφικνεῖται 438. καὶ] ὁ καὶ Weilius. 441. βραχὺ Schuetzius] βαρὺ 444. εὐθέτους Auratus] εὐθέτου 449. διαὶ ex Crameri Anecd. Oxon. vol. I. p. 119, 13] διὰ γυναικός. τάδε] γυναικός, τὰ δὲ Hermannus. 451. προδίκοις Triclinius] προδίκοισιν 454. εὔμορφοι] εὔμαιροι Wieselerus. ἔμμοροι Valcken. 457. δημοκράντου Porsonus] δημοκράτου. ὁ δημάρατος Weilius. 461. ἄσκοποι Triclinius] ἀπόσκοποι 464. παλιντυχεῖ Scaliger] παλιντυχῆ 467. ὑπερκόπως Grotius] ὑπερκότως 470. ὄσσοις] Corruptum. 472. πτολιπόρθης] πολίπορθε infra 783. ubi πτολίπορθ' Blomfieldus. 473. μήτ' Triclinius] μὴ δ' 477. ἐτήτυμος Auratus] ἐτητύμως 478. ἢ apogr. Flor., sed superscr. εἰ τι Hermannus] τοι 482. λόγου Triclinius] λόγους 483. γυναικὸς Porsonus] ἐν γυναικὸς

ΚΛ. τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγάς,
εἴτ' οὖν ἀληθεῖς εἴτ' ὀνειράτων δίκην
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας.
κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλάας· μαρτυρεῖ δέ μοι κάσις
πηλοῦ ξύνουρος διψία κόνις τάδε,
ὡς οὔτ' ἄναυδος οὔτε σοι δαίων φλόγα
ὕλης ὀρείας σημανεῖ καπνῷ πυρός,
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων·
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
ΧΟ. ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει,
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

ΚΗΡΥΞ.

ἰὼ πατρῷον οὖδας Ἀργείας χθονός,
δεκάτου σε φέγγει τῷδ' ἀφικόμην ἔτους,
πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών.
οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
νῦν χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος,
ὕπατός τε χώρας Ζεύς, ὁ Πύθιός τ' ἄναξ,
τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦσθ' ἀνάρσιος·
νῦν δ' αὖτε σωτὴρ ἴσθι καὶ παιώνιος,
ἄναξ Ἄπολλον. τούς τ' ἀγωνίους θεοὺς
πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
εἴ που πάλαι, φαιδροῖσι καὶ νῦν ὄμμασιν
δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον.
βωμοὶ δ' ἄιστοι καὶ θεῶν ἱδρύματα,
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθονον πατρῷον ἔθρισεν δόμον.
διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια.
ΧΟ. κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.
ΚΗ. χαίρω τι· τεθνάναι δ' οὐκέτ' ἀντερῶ θεοῖς.
ΧΟ. ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν.
ΚΗ. ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.
ΧΟ. τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου.
ΚΗ. πῶς δή; διδαχθεὶς τοῦδε δεσπόσω λόγου.
ΧΟ. τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένοι.
ΚΗ. ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις.
ΧΟ. ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός μ' ἀναστένειν.
ΚΗ. πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος φρενῶν;
ΧΟ. πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.
ΚΗ. καὶ πῶς; ἀπόντων κοιράνων ἔτρεις τινάς;
ΧΟ. ὡς νῦν τὸ σὸν δὴ καὶ θανεῖν πολλὴ χάρις.
ΚΗ. εὖ γὰρ πέπρακται. ταῦτα δ' ἐν πολλῷ χρόνῳ
τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
τὰ δ' αὖτε κἀπίμομφα. τίς δὲ πλὴν θεῶν
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;
μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας,
σπαρνὰς παρήξεις καὶ κακοστρώτους, τί δ' οὐ
στένοντες, οὐ λαχόντες ἤματος μέρος;
τὰ δ' αὖτε χέρσῳ καὶ προσῆν πλέον στύγος·
εὐναὶ γὰρ ἦσαν δαΐων πρὸς τείχεσιν.
ἐξ οὐρανοῦ δὲ κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψάκαζον, ἔμπεδον σίνος
ἐσθημάτων, τιθέντες ἔνθηρον τρίχα.
χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον,
οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιών,
ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών·
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·
παροίχεται δέ, τοῖσι μὲν τεθνηκόσιν
τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν.
τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν,
τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου,
καὶ πολλὰ χαίρειν συμφορὰς καταξιῶ.
ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
νικᾷ τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει.
ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις
"Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος
θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος."
τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς, καὶ χάρις τιμήσεται
Διὸς τόδ' ἐκπράξασα. πάντ' ἔχεις λόγον.
ΧΟ. νικώμενος λόγοισιν οὐκ ἀναίνομαι.
ἀεὶ γὰρ ἥβᾳ τοῖς γέρουσιν εὖ μαθεῖν.
δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν
εἰκὸς μάλιστα, σὺν δὲ πλουτίζειν ἐμέ.
ΚΛ. ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρός,
φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν.
καί τίς μ' ἐνίπτων εἶπε "φρυκτωρῶν δία
πεισθεῖσα Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;

489. ΚΛ. huic versui at ΧΟ. versui 501. praescriptum delebat Scaliger. 494. ἐλάας D.] ἐλαίας 504. δεκάτου Wonderus] δεκάτῳ 511. ἦσθ' (ἧσθ' Hermannus) margo Askewii] ἦλθες 512. καὶ παιώνιος Dobraeus] καὶ παγώνιος (κἀπαγώνιος Auratus) 520. εἴ που Stanleius] ἤπου καὶ νῦν D.] τοισίδ', ab Triclinio in τοῖσιν mutatum. 522. ὑμῖν Triclinius] ἡμῖν

527. delet Salzmannus. Nam illatus videtur ex Pers. 811. ubi legitur βωμοὶ δ' ἄιστοι, δαιμόνων θ' ἱδρύματα —. 534. ὀφλὼν Blomfieldus] ὄφλων 536. Recte, ut videtur, Blomfieldus, αὐτόχθονον in αὐτόχθον' ὂν mutavit: de quo dixit L. Dindorfius in Thesauro vol. I. part. 2. p. 2583. 539. τι addidit D. τεθνάναι D.] τεθνᾶναι οὐκέτ' Triclinius] οὐκ

541. ἐνδακρύειν] ἐκδακρύειν Triclinius. 542. ἦτε Triclinius] ἴστε 544. πεπληγμένοι Tyrwhittus] πεπληγμένος 546. μ' addidit Scaliger. 547. στύγος φρενῶν Emperius] στύγος στρατῷ. στύγος; φράσον Iacobsius. 552. ἂν Auratus] εὖ 556. κακοστρώτους Triclinius] κακοτρώτους 557. λαχόντες] κλαίοντες Stanleius. 559. δαΐων D.] δηΐων 560. δὲ Pearsonus] γὰρ λειμώνιαι] λειμωνίαι apogr. Flor.

561. Notandum δρόσοι cum τιθέντες coniunctum pro feminino τιθεῖσαι, quod metrum non ferebat. κατεψάκαζαν D.] κατεψέκαζον 572. συμφορὰς Blomfieldus] συμφοραῖς 575. 576. Hos versus transposuit Lachmannus, ἡμῖν cum ποτωμένοις coniungendo.

579. ἀρχαῖον] ἀρχαίοις Porsonus. 584. τοῖς] νοῦς Engerus. 587. ἀνωλόλυξα μὲν Stephanus] ἀνωλολύξαμεν 590. ἐνίπτων Triclinius] ἐνίππων

ἢ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ."
λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην.
ὅμως δ' ἔθυον, καὶ γυναικείῳ νόμῳ
ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες ἐν θεῶν ἕδραις
θυηφάγον κοιμῶντες εὐώδη φλόγα.
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν,
ἀπὸ στρατείας ἀνδρὶ σώσαντος θεοῦ
πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει·
ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει·
γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα
ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν,
καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου.
οὐδ' οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν
ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.
ΚΗ. τοιόσδ' ὁ κόμπος τῆς ἀληθείας γέμων
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν·
ΧΟ. αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον·
σὺ δ' εἰπέ, κῆρυξ, Μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός τε καὶ σεσωσμένος πάλιν
ἥκει σὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.
ΚΗ. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.
ΧΟ πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις;
σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε.
ΚΗ. ἀνὴρ ἄφαντος ἐξ Ἀχαιικοῦ στρατοῦ,
αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψευδῆ λέγω.
ΧΟ. πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,
ἢ χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ;
ΚΗ. ἔκυρσας ὥστε τοξότης ἄκρος σκοποῦ·
μακρὸν δὲ πῆμα συντόμως ἐφημίσω.
ΧΟ. πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο;
ΚΗ. οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς,
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.
ΧΟ. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότῳ;
ΚΗ. εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα·
τοιῶνδε μέντοι πημάτων σεσαγμένον
πρέπει λέγειν παιᾶνα τόνδ' Ἐρινύων.
σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν,
πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων
χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρίν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην
φθείροντε τὸν δύστηνον Ἀργείων στρατόν.
ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακά.
ναῦς γὰρ πρὸς ἀλλήλαισι Θρῄκιαι πνοαὶ
ἤρεικον· αἱ δὲ κεροτυπούμεναι βίᾳ
χειμῶνι τυφῶ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ,
ᾤχοντ' ἄφαντοι, ποιμένος κακοῦ στρόβῳ.
ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
ἀνδρῶν Ἀχαιῶν ναυτικοῖς τ' ἐρειπίοις.
ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σάλου
ἤτοι τις ἐξέκλεψεν ἢ ἐξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
τύχη δὲ σωτὴρ ναυστολοῦσ' ἐφέζετο,
ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν
μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
ἔπειτα δ' ᾅδην πόντιον πεφευγότες,
λευκὸν κατ' ἦμαρ οὐ πεποιθότες τύχῃ
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων εἴ τίς ἐστιν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας, τί μή;
ἡμεῖς τ' ἐκείνους ταὔτ' ἔχειν δοξάζομεν.
γένοιτο δ' ὡς ἄριστα. Μενέλεων γὰρ οὖν
πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν.
εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
χλωρόν τε καὶ βλέποντα, μηχαναῖς Διός,
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύων.
ΧΟ. τίς ποτ' ὠνόμαζεν ὧδ' ἐς τὸ πᾶν ἐτητύμως —
μή τις ὅντιν' οὐχ ὁρῶμεν προνοίαισι τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχᾳ νέμων; —
τὰν δορίγαμβρον ἀμφινεικῆ θ' Ἑλέναν; ἐπεὶ πρεπόντως
ἑλέναυς, ἕλανδρος, ἑλέπτολις,
ἐκ τῶν ἀβροπήνων
προκαλυμμάτων ἔπλευσε ζεφύρου γίγαντος αὔρᾳ,
πολύανδροί τε φεράσπιδες κυναγοὶ κατ' ἴχνος πλατᾶν ἄφαντον
κέλσαντες Σιμόεντος
ἀκτὰς ἐπ' ἀεξιφύλλους
δι' ἔριν αἱματόεσσαν.
Ἰλίῳ δὲ κῆδος ὀρθώνυμον τελεσσίφρων
μῆνις ἤλασεν, τραπέζας ἀτίμωσιν ὑστέρῳ χρόνῳ
καὶ ξυνεστίου Διός

681—698. = 699—716.
717—726. = 727—736.

597. κοιμῶντες] καίοντες Casaubonus. κοιῶντες Hermannus. 603. ἀνδρὶ Blomfieldus] ἄνδρα 613. τοιόσδ' ὁ] τοιόσδε Hermanns. 618. τε Paleius] γε 619. ἥκει Karstenns] ἥξει 622. Sequentia disticha, quae Clytaemnestrae data erant, churo tribuit Stanleius. τύχοις Porsonus] τύχης 623. εὔκρυπτα] εὔκαρπα Weilius. γίγνεται Porsonus] γίνεται 624. ἀνὴρ Hermannus] ἀνὴρ 644. σεσαγμένον Schuetzius] σεσαγμένων

649. Ἀχαιῶν—θεοῖς] Ἀχαιοῖς—θεῶν Blomfieldus. 654. ἀλλήλαισι Triclinius] ἀλλήλησι 655. κεροτυπούμεναι Wassius] κερωτυπούμεναι 660. ναυτικοῖς τ' ἐρειπίοις Auratus] ναυτικῶν τ' ἐρειπίων 661. σάλου D.] σκάφος 662. ἤτοι] ἥρως Weilius. ἢ ἐξῃτήσατο Schuetzius] ἢ ἐξῃτήσατο 664. ναυστολοῦσ' Casaubonus] ναῦν θέλουσ' 670. κακῶς σποδουμένου] κατεσποδημένου Meinekius 673. ταὔτ' Stanleius] ταῦτ' 677. χλωρόν τε καὶ Toupius (ex gl. Hesychii χλωρόν τε καὶ βλέποντα: ἀντὶ τοῦ ζῶντα)] ζῶντα καὶ 683. προνοίαισι Pauwius] προνοίαις 689. ἑλέναυς Blomfieldus] ἑλένας 690. ἀβροπήνων Salmasius] ἀβροτίμων 695. πλατᾶν Heathius] πλάταν 696. κέλσαντες Auratus] κελσάντων 697. ἀεξιφύλλους Triclinius] ἀξιφύλλους 700. τελεσσίφρων Triclinius] τελεσίφρων 701. ἤλασεν Porsonus (ἤλασε Triclinius)] ἔλασε ἀτίμωσιν Canterus] ἀτίμως ἵν'

πρασσομένα τὸ νυμφότιμον μέλος ἐκφάτως τίοντας,
ὑμέναιον, ὃς τότ' ἐπέρρεπεν
γαμβροῖσιν ἀείδειν.
μεταμανθάνουσα δ' ὕμνον Πριάμου πόλις γεραιὰ
πολύθρηνον μέγα που σ·ένει κικλήσκουσα Πάριν
παμπρόσθη πολύθρηνον [τὸν αἰνόλεκτρον,
αἰῶνα, φίλον πολιτᾶν
μέλεον αἷμ' ἀνατλᾶσα.
ἔθρεψεν δὲ λέοντος
ἶνιν δόμοις ἀγάλακτον
οὕτως ἀνὴρ φιλόμαστον,
ἐν βιότου προτελείοις
ἅμερον, εὐφιλόπαιδα
καὶ γεραροῖς ἐπίχαρτον.
πολέα δ' ἔσχ' ἐν ἀγκάλαις
νεοτρόφου τέκνου δίκαν,
φαιδρωπὸς ποτὶ χεῖρα σαίνων τε γαστρὸς ἀνάγκαις.
χρονισθεὶς δ' ἀπέδειξεν
ἦθος τὸ πρόσθε τοκήων.
χάριν τροφᾶς γὰρ ἀμείβων
μηλοφόνοισιν ἐν ἄταις
δαῖτ' ἀκέλευστος ἔτευξεν·
αἵματι δ' οἶκος ἐφύρθη,
ἄμαχον ἄλγος οἰκέταις
μέγα σίνος πολύκτονον.
ἐκ θεοῦ δ' ἱερεύς τις ἄτας δόμοις προσεθρέφθη.
παρ' αὐτὰ δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν
λέγοιμ' ἂν φρόνημα μὲν νηνέμου γαλάνας,
ἀκασκαῖόν τ' ἄγαλμα πλούτου,
μαλθακὸν ὀμμάτων βέλος,
δηξίθυμον ἔρωτος ἄνθος.
παρακλίνασ' ἐπέκρανεν δὲ γάμου πικρὰς τελευτάς,
δύσεδρος καὶ δυσόμιλος συμένα Πριαμίδαισιν,
πομπᾷ Διὸς ξενίου,
νυμφόκλαυτος Ἐρινύς.
παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος
τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν,
ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν. [ἔργον
δίχα δ' ἄλλων μονόφρων εἰμί. τὸ δυσσεβὲς γὰρ
μετὰ μὲν πλείονα τίκτει, σφετέρᾳ δ' εἰκότα γέννᾳ.
οἴκων δ' ἄρ' εὐθυδίκων
καλλίπαις πότμος ἀεί.
φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεά-
ζουσαν ἐν κακοῖς βροτῶν
ὕβριν τότ' ἢ τόθ', ὅτε τὸ κύριον μόλῃ φάος τόκου,
δαίμονά τε τὰν ἄμαχον, ἀπόλεμον, ἀνίερον,
θράσος μελαίνας μελάθροισιν Ἄτας,
εἰδομέναν τοκεῦσιν.
Δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν,
τὸν δ' ἐναίσιμον τίει.
τὰ χρυσόπαστα δ' ἔδεθλα σὺν πίνῳ χερῶν παλιν-
τρόποις
ὄμμασι λιποῦσ' ὅσια προσέβαλε, δύναμιν οὐ
σέβουσα πλούτου παράσημον αἴνῳ·
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.
ἄγε δή, βασιλεῦ, Τροίας πτολίπορθ',
Ἀτρέως γένεθλον,
πῶς σε προσείπω; πῶς σε σεβίζω
μήθ' ὑπεράρας μήθ' ὑποκάμψας
καιρὸν χάριτος;
πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι δίκην παραβάντες.
τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται·
καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόσωπα βιαζόμενοι.
ὅστις δ' ἀγαθὸς προβατογνώμων,
οὐκ ἔστι λαθεῖν ὄμματα φωτός,
τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
ὑδαρεῖ σαίνειν φιλότητι.
σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ἑλένης ἕνεκ', οὐ γάρ σ' ἐπικεύσω,
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,
οὐδ' εὖ πραπίδων οἴακα νέμων,
θράσος ἐκ θυσιῶν
ἀνδράσι θνήσκουσι κομίζων·
νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς οὐδ' ἀφίλως
εὔφρων πόνος εὖ τελέσασιν.
γνώσει δὲ χρόνῳ διαπευθόμενος
τόν τε δικαίως καὶ τὸν ἀκαίρως
πόλιν οἰκουροῦντα πολιτῶν.

ΑΓΑΜΕΜΝΩΝ.

πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου· δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλύοντες ἀνδροθνῆτας Ἰλίου φθορὰς
εἰς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένῳ.

717—726. = 727—736.
737—749. = 750—762.
763—772. = 773—782.

707. ὑμέναιον, ὃς] ὑμέναιον οἷς Hermannus. 710. γεραιά] γεραιοῦ Auratus. 714. παμπρόσθη] Corruptum. πάμπροσθ' ἦ Blomfieldus. παμπενθῆ Auratus. παμπορθῆ Seidlerus. 715. αἰῶνα, φίλον Hermannus] αἰῶν' ἀμφὶ πολιτᾶν Auratus] πολίταν 717. λέοντος ἶνιν Coningtonus] λέοντα σίνιν 719. οὕτως Triclinius praeeunte apogr. Flor., in quo οὗτος, superscripto ως 723. ἔσχ'] ἦστ' D. Nam ἔσχ' si recte legeretur, scribendum foret φαιδρωπῶς ποτὶ χεῖρα σαίνοντα γαστρὸς ἀνάγκαις cum Weilio. 724. νεοτρόφου Triclinius] νεοτρόφον 726. ἦθος Coningtonus] ἔθος πρόσθε Wellauerus] πρὸς 729. τροφᾶς γὰρ Pearsonus] γὰρ τροφᾶς 730. ἐν addidit Bothius. ἄταις] ἄταισιν Triclinius: unde μηλοφόνοισιν ἄσαισιν Maldenus 733. ἄμαχον Triclinius] ἄμαχον δ' 736. προσετρέφθη (voluit προσεθρέφθη ut Porsonus) Heathius] προσετράφη 737. παρ' αὐτὰ Heathius (παραυτὰ Triclinius)] πάραυτα 741. τ' addidit Hermannus. 744. παρακλίνασ'] παρακλίνουσ'] Triclinius. πικρὰς] πικροῦ apogr. Flor., sed superscr. ᾶς 756. οἰζὺν — δυσσεβὲς γὰρ Pauwius] ὀιζύν. — γὰρ δυσσεβὲς 761. δ' ἄρ' Auratus] γὰρ

766. ὅτε Klausenus] ὅταν φάος τόκου H. L. Ahrensius in Philologo Supplem. vol. I p. 555.] νεαρὰ φάους κότον 769. τὰν Hermannus] τὸν 770. μελάθροισιν Triclinius] μελάθροις 775. τίει Ahrensius p. 534.] τίει βίον 776. ἔδεθλα Auratus] ἐσθλὰ 779. προσέβαλε (vel προσέμολε) Hermannus] προσέβα τοῦ 782. πτολίπορθ' Blomfieldus (ut v. 473.)] πολίπορθ' 785. σεβίζω Triclinius] σεβίξω 790. δ'] τ' Hermannus. 791. δῆγμα Triclinius, ut est apud Stobaeum Flor. 112, 12.] δεῖγμα 793. καὶ ξυγχαίρουσιν] καὶ (καὶ delet Hermannus) νυκτὶ δὲ χαίρουσιν Stobaeus. 797. σαίνειν] σαίνει Casaubonus. 800. σ' addidit Musgravius. οὐκ ἐπικεύσω Hermannus. 801. ἀπομούσως — οὐδ'] ἀπόμουσός τ' — οὔτ' Elmsleius. 803. θράσος ἐκ θυσιῶν H. L. Ahrensius l. c. p. 559] θράσος (θάρσος Triclinius) ἑκούσιον. θράσος ἀκούσιον Canterus. 806. πόνος] πνόος Weilius. 807. γνώσει Porsonus] γνώσῃ 815. εἰς D.] ἐς 817. χειρὸς] χεῖλος Casaubonus.

καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.
ἄτης θύελλαι ζῶσι· συνθνήσκουσα δὲ
σποδός προσπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν, ἐπείπερ καὶ πάγας ὑπερκόπους
ἐφαρξάμεσθα καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσός, ἀσπιδηφόρος λεώς,
πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
τὰ δ' ἐς τὸ σὸν φρόνημα μέμνημαι κλύων
καὶ φημὶ ταὐτὰ καὶ συνήγορόν μ' ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν.
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
ἄχθος διπλοΐζει τῷ πεπαμένῳ νόσον,
τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.
εἰδὼς λέγοιμ' ἄν, εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον, εἴδωλον σκιᾶς,
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ' Ὀδυσσεύς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος·
εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.
νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
νίκη δ' ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι.

ΚΛ. ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
μαθοῦσ' ἐμαυτῆς δύσφορον λέξω βίον
τοσόνδ' ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ.
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακόν,
πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεσφέρειν κακοῦ
κάκιον ἄλλο πῆμα, λάσκοντας δόμοις.
καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρηται δικτύου πλέον λέγειν.
εἰ δ' ἦν τεθνηκώς, ὡς ἐπλήθυον λόγοι,
τρισώματός τἂν Γηρυὼν ὁ δεύτερος
[πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω]
χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβών,
ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων
πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστωμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίῳ σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥστε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών.
ἐν ὀψικοίτοις δ' ὄμμασι βλάβας ἔχω
τὰς ἀμφί σοι κλάουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασιν
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωΰσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν.
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ
ἠνειχόμεσθα. νῦν δέ μοι, φίλον κάρα,
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ', ὦναξ, Ἰλίου πορθήτορα.
δμωαί, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στορνύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος,
ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
τὸ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως σὺν θεοῖς εἱμαρμένα.

ΑΓ. Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἅβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόραν
τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.

νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.

---

819. θύελλαι] θυηλαὶ Hermannus. 822. ὑπερκόπους Heathius] ὑπερκότους 823. ἐφραξάμεσθα (debebat ἐφαρξάμεσθα) Hermannus] ἐπραξάμεσθα 825. ἀσπιδηφόρος Blomfieldus] ἀσπιδηστρόφος (ἀσπιδοστρόφος Triclinius) 831. ταὐτὰ Auratus] ταῦτυ 833. φθόνου Triclinius] φθόνων. Apud Stobaeum Flor. 38, 28. ψόγου 834. καρδίαν] καρδίᾳ Casaubonus. 835. πεπαμένῳ Porsonus] πεπαμμένῳ νόσον] νόσου Auratus. 850. πῆμ' ἀποστρέψαι νόσου Porsonus] πήματος τρέψαι νόσον 854. ἐμπέδως] ἔμπεδος Cobetus. 860 delet Karstenus. 863. κληδόνας Auratus] ἡδονὰς 864. ἐπεσφέρειν D.] ἐπεισφέρειν 867. ἀνὴρ] ὁνὴρ Hermannus. 868 τέτρηται H. L. Ahrensius] τέτρωται πλέον D.] πλέω 869. ἐπλήθυον Porsonus] ἐπλήθυνον 871. seclusit Weilius. 878. πιστωμάτων Hermannus] πιστευμάτων 889. ὄμμασι D.] ὄμμασιν 990. κλάουσα D.] κλαίουσα 895—902. Eieci versus ab falsario compositos, de quibus dixi in Praef. edit. Lips. quintae p. XCII. 898. στῦλον (sic) Triclinius] στόλον 903. τοί νιν Schuetzius] τοίνυν 905. δέ μοι Scholefieldus] δ' ἐμοί 907. ὦναξ Triclinius] ἄναξ 908. τέλος] τάδε Triclinius. 909. στορνύναι Elmsleius ad Eur. Med. 1209.] στρωννύναι 913. θεοῖς εἱμαρμένα] θεοῖσιν ἄρμενα Meinekios. 920. βόαμα] βόημα superscr. in apogr. Flor.

χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀϋτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.
εἰ πάντα δ' ὣς πράσσοιμεν, εὐθαρσὴς ἐγώ.
ΚΛ. καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.
ΑΓ. γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.
ΚΛ. ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε;
ΑΓ. εἴπερ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος.
ΚΛ. τί δ' ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ' ἤνυσεν;
ΑΓ. ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.
ΚΛ. μή νυν τὸν ἀνθρώπειον αἰδεσθῇς ψόγον.
ΑΓ. φήμη γε μέντοι δημόθρους μέγα σθένει.
ΚΛ. ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.
ΑΓ. οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.
ΚΛ. τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.
ΑΓ. ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;
ΚΛ. πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.
ΑΓ. ἀλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
λύοι τάχος, πρόδουλον ἔμβασιν ποδός.
καὶ τοῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
πολλὴ γὰρ αἰδὼς εἱματοφθορεῖν ποσὶν
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
τούτων μὲν οὕτω· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' ἐσκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
αὕτη δὲ πολλῶν χρημάτων ἐξαίρετον
ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο.
ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' ἐς δόμων μέλαθρα πορφύρας πατῶν.
ΚΛ. ἔστιν θάλασσα, τίς δέ νιν κατασβέσει;
τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
οἴκοις δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
πολλῶν πατησμὸν δ' εἱμάτων ἂν ηὐξάμην,
δόμοισι προυνεχθέντος ἐν χρηστηρίοις,
ψυχῆς κόμιστρα τῆσδε μηχανωμένη.
ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους,
σκιὰν ὑπερτείνασα σειρίου κυνός.
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολόν·
ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

ΧΟ. τίπτε μοι τόδ' ἐμπέδως
δεῖμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά,
οὐδ' ἀποπτύσαν δοκὰς
δυσκρίτων ὀνειράτων
θάρσος εὐπειθὲς ἵζει φρενὸς φίλον θρόνον;
χρόνος δ' ἐπεὶ πρυμνησίων ξυνεμβολαῖς
ψαμμίας ἀκάτα παρήβησεν, εὖθ' ὑπ' Ἴλιον
ὦρτο ναυβάτας στρατός.
πεύθομαι δ' ἀπ' ὀμμάτων
νόστον, αὐτόμαρτυς ὤν·
τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ
θρῆνον Ἐρινύος αὐτοδίδακτος ἔσωθεν
θυμός, οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος.
σπλάγχνα δ' οὔτοι ματάζει πρὸς ἐνδίκοις φρεσὶν
τελεσφόροις δίναις κυκλούμενον κέαρ.
εὔχομαι δ' ἐξ ἐμᾶς ἐλπίδος ψύθη πεσεῖν
ἐς τὸ μὴ τελεσφόρον.
μάλα γέ τοι τὸ τᾶς πολλᾶς ὑγιείας
ἀκόρεστον τέρμα. νόσος γὰρ ἀεὶ
γείτων ὁμότοιχος ἐρείδει,
καὶ πότμος εὐθυπορῶν – ⏑ ⏑ – ⏑ ⏑ –
ἀνδρὸς ἔπαισεν ἄφαντον ἕρμα.
καὶ τὸ μὲν πρὸ χρημάτων
κτησίων ὄκνος βαλὼν
σφενδόνας ἀπ' εὐμέτρου,
οὐκ ἔδυ πρόπας δόμος
πημονᾶς γέμων ἄγαν,
οὐδ' ἐπόντισε σκάφος.
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ ἐξ ἀλό-
κων ἐπετειᾶν
νῆστιν ὤλεσεν νόσον.
τὸ δ' ἐπὶ γᾶν ἅπαξ πεσὸν θανάσιμον
προπάροιθ' ἀνδρὸς μέλαν αἷμα τίς ἂν
πάλιν ἀγκαλέσαιτ' ἐπαείδων;
οὐδὲ τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν

975—987. = 988—1000.
1001—1017. = 1018—1034.

926. τῶν ποικίλων] ποικιλμάτων Karstenus. 930. πράσσοιμεν D.] πράσσοιμ' ἂν 935. δοκεῖ Stanleius] δοκῇ 936. δοκεῖ Triclinius] δοκῇ 937. αἰδεσθῇς Triclinius] αἰδεσθεὶς 942. ἦ] οὐ Weilius (ἦ οὐ Franzius) τήνδε] τῆσδε Auratus. δήριος] δήρεως Bothius. 948. εἱματοφθορεῖν Franzius] σωματοφθορεῖν ποσὶν Schuetzius] πόσιν 949. φθείροντα Triclinius] φθάροντα apogr. Flor. Fort. πατοῦντα, ut πολλῶν πατησμὸν εἱμάτων est v. 963. 950. τούτων] τοὐμὸν Emperius. 954. αὕτη Auratus] αὐτὴ 957. δόμων] δόμους, sed superscr. ων, apogr. Flor. 959. ἰσάργυρον Salmasius] εἰς ἄργυρον 961. οἴκοις Porsonus] οἶκος 963. δ' εἱμάτων Canterus] δειμάτων ηὐξάμην D.] εὐξάμην 965. μηχανωμένη Abreschius] μηχανωμένης. μηχανωμένη Auratus. 967. ὑπερτείνασα Triclinius] ὑπερτίνασα. ὑπερτείνουσα Auratus. 969. μολόν H. Vossius] μολών 970. Ζεὺς Auratus] ζεύς τ' 974. μέλοι δέ τοι σοὶ Triclinius] μέλη (superscr. οι) δέ σοι

976. δεῖμα Triclinius] δεῖγμα 980. ἀποπτύσαν Scaliger] ἀποπτύσας (ἀποπτύσαι Triclinius) δοκὰς Weilius (ut ὀνειρόφαντοι δοκαί v. 421.)] δίκαν (δόκαν Karstenus) 982. εὐπειθὲς Westphalius] εὐπιθὲς ἵζει Scaliger] ἵξει 984. ξυνεμβολαῖς Guil. Schneiderus] ξυνεμβόλοις. ξὺν ἐμβολαῖς Hermannus. 985. ψαμμίας ἀκάτα] Metrum postulat quattuor syllabas, quales sunt ψαμμὶς ἀκτά, quod coniecit Ahrensius p. 594. ψαμμίας ἀκάτας Triclinius. ψαμμίας ἀκτάς Tyrwhittus. 990. ὅμως Stanleius] ὅπως ὑμνῳδεῖ] μελῳδεῖ Heimsoethius. 991. Ἐρινύος Hermannus] ἐριννύς 995. οὔτοι] οὔτι Casaubonus, servato in stropha v. 982. εὐπιθές 999. ἐξ] ἀπ' Triclinius. ψύθη Stephanus] ψύδη 1001. γέ Triclinius] γάρ, quod super γε scripsit Triclinius. τὸ addidit Wellauerus. 1002. ἀεὶ addidit Blomfieldus. 1005. Lacunam indicavit Heathius. Incertum tamen est utrum lacuna ante καὶ πότμος statuenda sit, an post εὐθυπορῶν, an post ἔπαισεν, quae Ahrensii sententia est p. 601. qui coniecit καὶ πότμος εὐθυπορῶν | ἀνδρὸς ἔπαισεν ἄφνω | δυστυχίας ἄφαντον ἕρμα, collato Platone Rep. 8. p. 533a. ἐξαίφνης πταίσαντα ὥσπερ πρὸς ἕρματι τῇ πόλει. 1008. μὲν πρὸ] μέν τι D. πρὸ χρημάτων] φορημάτων Ahrensius p. 602. 1011. δόμος] γόμος Blomfieldus. 1012. πημονᾶς Victorius] πημονὰς 1016. καὶ ἐξ Triclinius] κἀξ 1019. ἅπαξ πεσὸν Porsonus] πεσόνθ' ἅπαξ 1020. προπάροιθ' Triclinius] πρόπαρ

Ζεὺς αὐτ' ἔπαυσ' ἐπ' εὐλαβείᾳ.
εἰ δὲ μὴ τεταγμένα
μοῖρα μοῖραν ἐκ θεῶν
εἶργε μὴ πλέον φέρειν,
προφθάσασα καρδία
γλῶσσαν ἂν τάδ' ἐξέχει.
νῦν δ' ὑπὸ σκότῳ βρέμει
θυμαλγής τε καὶ οὐδὲν ἐπελπομένα ποτὲ καίριον
ζωπυρουμένας φρενός. [ἐκτολυπεύσειν
ΚΑ. εἴσω κομίζου καὶ σύ, Κασάνδραν λέγω,
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτοις δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μετὰ
δούλων σταθεῖσαν κτησίου βωμοῦ πέλας·
ἔκβαιν' ἀπήνης τῆσδε, μηδ' ὑπερφρόνει.
καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι δουλίας μάζης τυχεῖν.
εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιρρέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις.
οἳ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς,
ὠμοί τε δούλοις πάντα καὶ παρὰ στάθμην.
ἔξεις παρ' ἡμῶν οἷάπερ νομίζεται.
ΧΟ. σοί τοι λέγουσα παύεται σαφῆ λόγον.
ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων
πείθοι' ἄν, εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.
ΚΑ. ἀλλ' εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
εἴσω φρενῶν λέγουσα πείθω νιν λόγῳ.
ΧΟ. ἕπου. τὰ λῷστα τῶν παρεστώτων λέγει.
πιθοῦ λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.
ΚΑ. οὔτοι θυραίαν τῆδ' ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πάρος,
ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.
ΧΟ. ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.
ΚΑ. ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἥκει, χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
οὐ μὴν πλέω ῥίψασ' ἀτιμασθήσομαι.
ΧΟ. ἐγὼ δ', ἐποικτείρω γάρ, οὐ θυμώσομαι.
ἴθ', ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον,
εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

ΚΑΣΑΝΔΡΑ.

ὀτοτοτοῖ τοτοῖ δᾶ.
Ἄπολλον Ἄπολλον.
ΧΟ. τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.
ΚΑ. ὀτοτοτοῖ τοτοῖ δᾶ.
Ἄπολλον Ἄπολλον.
ΧΟ. ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ
οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν.
ΚΑ. Ἄπολλον Ἄπολλον
ἀγυιᾶτ', ἀπόλλων ἐμός.
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.
ΧΟ. χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν.
μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενί.
ΚΑ. Ἄπολλον Ἄπολλον
ἀγυιᾶτ', ἀπόλλων ἐμός.
ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;
ΧΟ. πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.
ΚΑ. μισόθεον μὲν οὖν, πολλὰ συνίστορα
καὐτόφονα κακὰ κἀκ', ἀρτάνας,
ἀνδροσφαγεῖον καὶ πεδορραντήριον.
ΧΟ. ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην
εἶναι, ματεύει δ' ὧν ἀνευρήσει φόνον.
ΚΑ. μαρτυρίοισι γὰρ τοῖσδ' ἐπιπείθομαι·
κλαιόμενα τάδε βρέφη, σφαγὰς
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.
ΧΟ. ἦ μὴν κλέος σου μαντικὸν πεπυσμένοι
ἦμεν, προφήτας δ' οὔτινας ματεύομεν.
ΚΑ. ἰὼ πόποι, τί ποτε μήδεται;
τί τόδε νέον ἄχος μέγα
μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν
ἄφερτον φίλοισιν, δυσίατον; ἀλκὰ δ'

1072—1075. = 1076—1079.
1080—1084. = 1085—1089.
1090—1094. = 1095—1099.
1100—1106. = 1107—1113.

1024. Versus inepte interpolatus. Triclinius εὐλαβείᾳ in ἀβλαβείᾳ γε mutavit, ad quam lectionem spectat scholion, τὸν Ἀσκληπιὸν γὰρ ἐκεραύνωσεν ἀναστήσαντα τὸν Ἱππόλυτον, ὥστε μὴ βλαβῆναι. οὔ γε (εὖτε Weilius. εἴ γε Schoemannus) τὸν ὀρθοδαῆ—Ζεὺς ἀπέπαυσεν ἐπ' εὐλαβείᾳ Hartungus. Ζεὺς ἀπέπαυσ' ἐπ' ἀβλαβείᾳ; Ahrensius p. 605. Ζεὺς ἀπέπαυσε βέλει δαμέντα vel Ζεὺς ἀπέπαυσε πυρὶ βλαβέντα Weilius: quorum nihil satisfacit. Postrema verba ἐπ' ἀβλαβείᾳ (vel εὐλαβείᾳ) Cantero ex scholio illata videbantur. 1028. καρδία | γλῶσσαν ἂν τάδ' ἐξέχει] καρδίαν | γλῶσσα πάντ' ἂν ἐξέχει Schuetzius. καρδία | γλῶσσαν ἂν παρεξέχει Weilius. 1030. βρέμει] βλέπει a m. pr. Flor.
1035. Κασάνδραν] Κασσάνδραν Hermannus: quod rectius. V. Thes. vol. 4. p. 1005. 1036. ἀμηνίτοις Auratus] ἀμηνίτως 1041. τυχεῖν Engerus] βίᾳ. Triclinii interpolatio est πραθέντα τλῆναι καὶ ζυγῶν θίγειν βίᾳ 1044. οἳ δ' Stanleius] οἵδ' 1045. παρὰ στάθμην Triclinius] παραστάθμων 1046. ἕξεις Auratus] ἔχεις 1048. ἐντὸς] ἐκτὸς Hermannus. ἂν οὖσα] ἁλοῦσα G. Hauptius. 1052. ἔσω — πείθω νιν] εἴσω (at est 1035.) et πεῖθέ νιν Elmsleius, quo non sanatur versus vel corruptus vel ab interpolatore utcunque compositus. Sententia postulat (collato v. 1060.) εἴσω φρενῶν ξυνεῖσα (vel κλύουσα vel ἑκοῦσα) δέξεται λόγον.
1054. πιθοῦ Blomfieldus] πείθου 1055. τῆδ' Musgravius] τήνδ', quo servato σχολὴν Wieselerus. 1057. πάρος Musgravius] πυρός M. πάλαι Rhodius. 1060. δέχει Porsonus] δέχῃ 1064. ἦ Triclinius] ἡ

1067. Hic rursus incipit M. 1068. πλέω] Fort. πλέον, ut v. 868. 1071. εἴκουσ' Sophianus] ἑκοῦσ' 1072. 1076. ὀτοτοτοῖ Triclinius] ὀτοτοτοτοτοῖ τοτοῖ D.] ποποῖ utrobique. 1073. 1077. *Ἄπολλον Ἄπολλον] ὤπολλον ὤπολλον, sed ἄπολλον ἄπολλον 1080. 1085. Crasis ὤπολλον memoratur in Etym. M. p. 514, 30. 1083. αὑτῆς Turnebus] αὐτῆς 1084. περ ἐν Schuetzius] παρεν pr., παρ' ἐν a correctore M. 1087. ποίαν] τίνα D. Ante 1090. ἆ ἆ M, recte omissum in apogr. Flor. et Triclin. *συνίστορα] ξυνίστορα 1091. καὐτοφόνα Karstenus] αὐτὸ φονὰ pr. M. αὐτοφόνα corr. αὐτόφονα Ald. κἀκ', ἀρτάνας D.] καρτάναι (κάρτάναι Casaubonus) 1092. ἀνδροσφαγεῖον Dobraeus] ἀνδρὸς σφάγιον (σφαγεῖον pr.) πεδορραντήριον D.] πέδον (ν ex ρ facto) ῥαντήριον 1093. εὖρις] εὖριν Blomfieldus. εὔροις pr. M. 1094. *ματεύει] μαντεύει ἀνευρήσει Porsonus] ἂν εὑρήσῃ 1095. μαρτυρίοισι Porsonus] μαρτυρίοις τοῖσδ' ἐπιπείθομαι] τοῖσδε πιπείθομαι M. (non τοῖσδε πεπείθομαι, ut apographa) 1097. κλαόμενα D.] κλαιόμενα τάδε] ταδὲ pr. 1098. ἦ μὴν Porsonus] ἤμην, superscr. ἦ μεν (*ἦμεν) πεπυσμένοι] πεπυσμένον pr. M. 1099. ματεύομεν Schuetzius] μαστεύομεν. προφήτου δ' οὔτινος χατεύομεν Karstenus. 1100. πόποι] πόποῖ M. 1101. ἄχος] ἄχθος M, sed superscr. ἄχος. τί τόδ' ἄχος νέον μέγα Hermannus. μέγα et (1108.) πόσιν delet Engerus. 1103 φίλοισιν Triclinius] φίλοισι

ἑκὰς ἀποστατεῖ.
ΧΟ. τούτων ἄιδρίς εἰμι τῶν μαντευμάτων·
ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾷ.
ΚΑ. ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς,
τὸν ὁμοδέμνιον πόσιν
λουτροῖσι φαιδρύνασα, πῶς φράσω τέλος;
τάχος γὰρ τόδ' ἔσται· προτείνει δὲ χεὶρ ἐκ
χερὸς ὀρέγματα,
ΧΟ. οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.
ΚΑ. ἐὴ, παπαῖ παπαῖ, τί τόδε φαίνεται;
ἦ δίκτυόν τι Ἅιδου;
ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία
φόνου. στάσις δ' ἀκόρετος γένει.
κατολολυξάτ' ὦ θύματος λευσίμου.
ΧΟ. ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλει
ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος.
ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγών, ἅτε καιρία πτώσιμος
ξυνανύτει βίου δύντος αὐγαῖς.
ταχεῖα δ' ἄτα πέλει.
ΚΑ. ἆ ἆ, ἰδοὺ ἰδού· ἄπεχε τᾶς βοὸς
τὸν ταῦρον· ἐν πέπλοισιν
μελαγκέρῳ λαβοῦσα μηχανήματι
τύπτει· πίτνει δ' ἐν ἐνύδρῳ τεύχει.
δολοφόνου λέβητος τύχαν σοι λέγω.
ΧΟ. οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.
ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
βροτοῖς τέλλεται; κακῶν γὰρ διαὶ
πολυεπεῖς τέχναι θεσπιῳδοὶ
φόβον φέρουσιν μαθεῖν.
ΚΑ. ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι·
τὸ γὰρ ἐμὸν θροεῖς πάθος ἐπεγχέας.
ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγεν;
οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην. τί γάρ;
ΧΟ. φρενομανής τις εἶ θεοφόρητος, ἀμφὶ δ' αὐτᾶς
θροεῖς
νόμον ἄνομον, οἷά τις ξουθὰ

1114—1124. = 1125—1135.

ἀκόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν
Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς ἀηδὼν βίον.
ΚΑ. ἰὼ ἰὼ λιγείας μόρον ἀηδόνος·
περιβάλοντό οἱ πτεροφόρον δέμας
θεοὶ γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.
ΧΟ. πόθεν ἐπισσύτους θεοφόρους ἔχεις ματαίους δύας,
τὰ δ' ἐπίφοβα δυσφάτῳ κλαγγᾷ
μελοτυπεῖς ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις;
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ κακορρήμονας;
ΚΑ ἰὼ γάμοι γάμοι Πάριδος ὀλέθριοι φίλων.
ἰὼ Σκαμάνδρου πάτριον ποτόν. [φαῖς·
τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαιν' ἠνυτόμαν τρο-
νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθας ἔοικα θεσπιῳδήσειν τάχα.
ΧΟ. τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
καὶ παῖς νεόγονος ἂν μάθοι.
πέπληγμαι δ' ὅπως δήγματι φοινίῳ
δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας, θαύματ' ἐμοὶ
κλύειν.
ΚΑ. ἰὼ πόνοι πόνοι πόλεος ὀλομένας τὸ πάν.
ἰὼ πρόπυργοι θυσίαι πατρὸς
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ' οὐδὲν ἐπήρ-
κεσεν ·
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν.
ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ.
ΧΟ. ἑπόμενα προτέροις τάδ' ἐπεφημίσω.
καί τίς σε κακοφρονῶν τίθη-
σι δαίμων ὑπερβαρὴς ἐμπίτνων
μελίζειν πάθη γοερὰ θανατοφόρα, τέρμα δ' ἀμη-
ΚΑ. καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων [χανῶ.
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην·
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσᾴξειν, ὥστε κύματος δίκην

1136—1145. = 1146—1155.
1156—1166. = 1167—1177.

1110. χεὶρ pr. M., χεῖρ' corr. 1111. *χερὸς] χειρὸς ὀρέγματα (quo voc. schol. utitur) Hermannus] ὀρεγομένα (ὀρεγόμενα pr.). Ita apogr. Flor. et Triclin. ὀρεγμένα 1114. ἐὴ D.] ἒ ἔ 1115. τι D.] τί γ' Ἅιδου Schuetzius] ἀΐδου 1117. ἀκόρετος Bothius] ἀκόρεστος 1118. κατολολυξάτ' ὦ Meinekius Philol. vol. 19. p. 207.] κατολολυξάτω, ut ἐπολολύξατ' ὦ Choeph. 942. in ἐπολολυξάτω corruptum. 1119. *ἐρινὺν vel ἐριννὺν] ἐρινῦν κέλει Porsonus] κέλῃ 1121 ἔδραμε κροκοβαφὴς] κροκοβαφὴς δράμε Engerus.

1122. καιρία D.] καὶ δορία 1123. ξυνανύτει Porsonus] ξυνανυτεῖ 1125. ἆ ἆ D.] ἆ ἆ 1126. πέπλοισιν] πέπλου νιν Weilius. 1127. μελάγκέρωι M (prior accentus a m. recentiore), quo duplex indicatur scriptura, μελαγκέρῳ et μελάγκερων. A m. pr. μελαγκέρων scriptum fuerat. In scholiis triplex explicatur scriptura, μελάγκερων, μελαγκέρῳ et μελαγκέρῳ. μελάγκερως Weilius. 1128. πίτνει pr. M. πίπει (sic) ab correctore] *πιτνεῖ ἐν addidit Schuetzius. τεύχει] κύτει Blomfieldus. 1129. τύχαν] τέχναν Weilius. 1133. τέλλεται Emperius] στέλλεται διαὶ Hermannus] διά 1134. θεσπιῳδοὶ Hermannus] θεσπιῳδόν 1135. φέρουσιν Triclinius] φέρουσι 1136. 1146. Alterum ἰὼ delet Butlerus. 1137. θροεῖς Hermannus (θροεῖ Franzius)] θροῶ ἐπεγχέας Franzius et Hermannus] ἐπεγχέασα, quod per συναναμίξασα explicat scholiasta, miro ot suspecto verbi usu. 1138. ἤγαγεν Hermannus] ἤγαγες 1141. αὐτᾶς Triclinius] αὐτᾶς

1143. ἀκόρετος Ald.] ἀκόρεστος *βοᾶς] βοάις ταλαίναις Victorius] ταλαίνας 1146. μόρον ἀηδόνος Hermannus] ἀηδόνος μόρον περιβάλοντο Turnebus] περεβάλοντο οἱ Hermannus] γάρ οἱ. Servari potest γάρ, si περίβαλον scribatur cum Blomfieldo. 1148. αἰῶνα] ἀγῶνα, sed adscr. ab eadem manu γρ. αἰῶνα

1150. θεοφόρους Hermannus] θεοφόρους τ' 1151. δύας] δοίας pr. M. 1152. *ἐπίφοβα] ἐπιφόβωι 1153. μελοτυπεῖς] ο super ε in apogr. Flor., unde μολοτυπεῖς Triclinius, sed superscr. ε. ὁμοῦ τ'] ἄμουσ' Schoemannus. 1160—1673. exciderant ex M. 1160. κἀχερουσίους] κἀχερουσίας Blomfieldus. 1161. ὄχθας Casaubonus et Blomfieldus] ὄχθους 1163. καὶ παῖς νεόγονος ἂν Hermannus] νεογνὸς ἀνθρώπων 1164. ὅπως Hermannus (ἅπερ Karstenus)] ὑπὸ (ὑπαὶ Triclinius) δήγματι] δάκει Hermannus. πλήγματι Engerus. 1165. δυσαλγεῖ Canterus] δυσαγγεῖ μινυρὰ Blomfieldus] μινυρὰ κακά 1166. θαύματ' Triclinius] θραύματ'. Sic in gl. Photii et Etym. M. θραύματα: νευροσπάσματα scriptum pro θαύματα. 1170. ἐπήρκεσεν Blomfieldus] ἐπήρκεσαν 1172. θερμόνους] θερμὸν οὓς Canterus, quod non magis satisfacit quam aliae aliorum coniecturae, enumeratae ab Ahrensio p. 620. ἐν πέδῳ Casaubonus] ἐμπέδῳ 1173. ἐπεφημίσω Weilius] ἐφημίσω: unde προτέροισι Pauwius. 1174. καί τις Butlerus] καὶ τίς κακοφρονῶν Schuetzius] κακοφρονεῖν 1175. ὑπερβαρὴς (ὑπερβαρὺς Triclinius) ἐμπίτνων] ὑπέρβαρυς (ὑπέρβριθυς Meinekius Philol. vol. 19. p. 207.) ἐπεμπίτνων Engerus.

1176. θανατοφόρα] θανατηφόρα Triclinius. 1179. νύμφης Triclinius] νύμφας 1181. ἐσᾴξειν Bothius] ἐς ἥξειν (ἐσήξειν Victorius) 1182. κλύζειν Auratus] κλύειν αὐγάς] ἀκτὰς Auratus. ἀγάς Ahrensius.

κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν
ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
σύμφθογγος οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
δύσπεμπτος ἔξω, συγγόνων Ἐρινύων.
ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι
πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ θηρῶ τι τοξότης τις ὥς;
ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
ἐκμαρτύρησον προυμόσας τό μ' εἰδέναι
λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.
ΧΟ. καὶ πῶς ἂν ὅρκου πῆγμα γενναίως παγὲν
παιώνιον γένοιτο; θαυμάζω δέ σε
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις.
ΚΑ. μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει.
ΧΟ. μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;
ΚΑ. προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.
ΧΟ. ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.
ΚΑ. ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν.
ΧΟ. ἦ καὶ τέκνων εἰς ἔργον ἠλθέτην νόμῳ;
ΚΑ. ξυναινέσασα Λοξίαν ἐψευσάμην.
ΧΟ. ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη;
ΚΑ. ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.
ΧΟ. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ;
ΚΑ. ἔπειθον οὐδέν' οὐδέν, ὡς τάδ' ἤμπλακον.
ΧΟ. ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.
ΚΑ. ἰοὺ ἰού, ὢ ὢ κακά.
ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ ταράσσων φροιμίοις ⏑ ⏑́ ⏑ –.
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προσφερεῖς μορφώμασιν;
παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων,
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
σὺν ἐντέροις τε σπλάγχν', ἐποίκτιστον γέμος,
πρέπουσ' ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ
λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον
οἰκουρόν, οἴμοι, τῷ μολόντι δεσπότῃ
ἐμῷ· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν·
νεῶν τ' ἔπαρχος Ἰλίου τ' ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λέξασα κἀκτείνασα φαιδρόνους, δίκην
ἄτης λαθραίου, τεύξεται κακῇ τύχῃ.
τοιάδε τόλμα· θῆλυς ἄρσενος φονεὺς
ἔστιν. τί νιν καλοῦσα δυσφιλὲς δάκος
τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν Ἅιδου μητέρ' ἄσπονδόν τ' Ἄρη
φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ.
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει, καὶ σύ μ' ἐν τάχει παρὼν
ἄγαν ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.
ΧΟ. τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
ξυνῆκα καὶ πέφρικα, καὶ φόβος μ' ἔχει
κλύοντ' ἀληθῶς οὐδὲν ἐξῃκασμένα.
τὰ δ' ἄλλ' ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.
ΚΑ. Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον.
ΧΟ. εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.
ΚΑ. ἀλλ' οὔτι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.
ΧΟ. οὔκ, εἴπερ ἔσται γ'· ἀλλὰ μὴ γένοιτό πως.
ΚΑ. σὺ μὲν κατεύχει, τοῖς δ' ἀποκτείνειν μέλει.
ΧΟ. τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄγος πορσύνεται;
ΚΑ. ἦ κάρτα χρησμῶν παρεκόπης κλύων ἐμῶν.
ΧΟ. τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.
ΚΑ. καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.
ΧΟ. καὶ γὰρ τὰ πυθόκραντα· δυσμαθῆ δ' ὅμως.
ΚΑ. παπαῖ, οἷον τὸ πῦρ ἐπέρχεται δέ μοι.
ὀτοτοῖ, Λύκει' Ἄπολλον, οἳ ἐγὼ ἐγώ.
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ,
κἀπεύξεται θήγουσα φωτὶ φάσγανον
ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ·

1182. τοῦδε] πῆμα Engerus. 1187. ξύμφθογγος Triclinius] σύμφογγος (sic) 1192. πρώταρχον Triclinius] πρώταρχος 1194. θηρῶ Canterus (κυρῶ Ahrensius)] τηρῶ 1196. τό μ'] τὸ μὴ Dobraeus. 1198. ὅρκου πῆγμα Auratus] ὅρκος πῆμα 1199. σε Auratus] σου

1200. πόλιν] Interpolatoris, ut videtur, supplementum pro τάδε, quod exciderat. ἀλλόθρουν autem de Cassandra dicitur ut v. 1051. ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη. 1203. 1204. inverso ordine lectos transposuit Hermannus. 1207. ἠλθέτην Elmsleius] ἤλθετον 1211. ἄνατος — οὐδέν' Canterus] ἄνακτος — οὐδὲν κότῳ] κότου Blomfieldus. 1214. ὢ ὢ D.] ὦ ὦ

1216. Lacunam indicavit Butlerus, eiecto quod ex v. 1217. illatum erat ἐφημένους. Excidit adiectivum aliquod. φροιμίοις πολυρρόθοις dixit Sept. 7. 1227. τ' (δ' Ger. Vossius) ἔπαρχος Canterus] τ' ἄπαρχος (τάγαρχος Meinekius Philol. vol. 19. p. 208.) ἄπαρχος hic et Pers. 322. Choeph. 663. defendit Ahrensius p. 629. 1229. λέξασα] λείξασα Tyrwhittus. κἀκτείνασα Canterus] καὶ κτείνασα φαιδρόνους] φαιδρωπὸς Blomfieldus.

1231. τοιάδε] τοιοῦτα Triclinius. τοιᾷδε τόλμῃ Martinus. τόλμα H. L. Ahrensius] τολμᾷ 1232. ἔστιν] ἔσται Elmsleius. 1235. μητέρ'] μαινάδ' Weilius. Ἄρη anonymus Blomfieldi] ἀρὰν 1237. ὥσπερ ἐν] ὡσπερεὶ Meinekius in Philologo vol. 19. p. 209. ὥσπερ ἐκ Karstenus. 1238. δοκεῖ δὲ] δοκοῦσα Engerus. 1240. μ' ἐν Casaubonus] μὴν 1241. ἄγαν Bothius] ἄγαν γ' 1242. παιδείων Schuetzius] παιδίων 1244. ἀληθῶς οὐδὲν] ἀληθῶς οὖσιν Schoemannus Opusc. 3. p. 143.

1247. κοίμησον] κοίμισον Triclinius. 1249. εἴπερ ἔσται Schuetzius] εἰ παρέσται 1250. κατεύχει Porsonus] κατεύχῃ 1251. ἄγος Auratus] ἄχος 1252. ἦ κάρτ' ἄρ' ἂν παρεσκόπης (sic apogr. Flor. et Ven. superscripto ει, i. e. παρεσκόπεις): in apogr. Tricliniano παρεσκόπ, supra scripto ης) χρησμῶν ἐμῶν. Correxi ἦ κάρτα χρισμῶν παρεκόπης κλύων ἐμῶν, praeeunte Meinekio, qui coniecerat ἦ κάρτα τἄρ' αὖ παρεκόπης χρησμῶν ἐμῶν 1253. Post τελοῦντος interrogandi signum posuit Weilius. 1255. δυσμαθῆ Canterus] δυσπαθῆ 1256. Versus interpolatus. παπαῖ παπαῖ, | οἷον τὸ θεῖον αὖ με πῦρ ἐπέρχεται Weilius. 1257. οἳ ἐγὼ ἐγώ] Scriptura suspecta: nam οἳ 'γω tragici dicunt. 1258. δίπους Victorius] δίπλους 1260. κτενεῖ] κτείνει Heimsoethius. 1261. κότῳ] Corruptum. ποτῷ Auratus. κύτει Scaliger. 1262. κἀπεύξεται Hartungus] ἐπεύχεται: unde ἐνθήσειν pro ἐνθήσει Triclinius. 1266. σὲ] Per ὦ στολὴ explicat Triclinius. Versus inutilis, qui non intelligo quo consilio ab Aeschylo addi potuerit, quum nihil aliud contineat quam verba proxima ἴτ' ἐς φθορὸν πεσόντα, quae aptissime sequuntur post v. 1265.

ἴτ' ἐς φθόρον πεσόντ', ἐγὼ δ' ἅμ' ἕψομαι.
ἄλλην τιν' ἄτης ἀντ' ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ', ἐποπτεύσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην μέγα
φίλων ὑπ' ἐχθρῶν, οὐ διχορρόπως, μάτην.
καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια
πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην.
καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει,
θερμῷ κοπεῖσαν φοινίῳ προσφάγματι.
οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.
ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
ἄραρε γάρ τις ὅρκος ἐκ θεῶν μέγας,
ἥξειν τιν' ὑπτίασμα κειμένου πατρός.
τί δῆτ' ἐγὼ κάτοικτος ὧδ' ἀναστένω;
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν, οἳ δ' εἷχον πόλιν,
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει,
ἰοῦσα κἀγὼ τλήσομαι τὸ κατθανεῖν.
Ἅιδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.
ΧΟ. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ
γύναι, μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
μόρον τὸν αὑτῆς οἶσθα, πῶς θεηλάτου
βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;
ΚΑ. οὐκ ἔστ' ἄλυξις, ὦ ξένοι, χρόνῳ πλέω.
ΧΟ. ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.
ΚΑ. ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.
ΧΟ. ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.
ΚΑ. οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.
ΧΟ. ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.
ΚΑ. ἰὼ πάτερ σοῦ σῶν τε γενναίων τέκνων.
ΧΟ. τί δ' ἐστὶ χρῆμα; τίς σ' ἀποστρέφει φόβος;
ΚΑ. φεῦ φεῦ.
ΧΟ. τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.
ΚΑ. φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.
ΧΟ. καὶ πῶς; τόδ' ὄζει θυμάτων ἐφεστίων.
ΚΑ. ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.
ΧΟ. οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.
ΚΑ. ἰὼ ξένοι.
οὔτοι δυσοίζω θάμνον ὡς ὄρνις φόβῳ,
ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε,
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ.
ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη.
ΧΟ. ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου.
ΚΑ. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς. ἡλίου δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς τοῖς ἐμοῖς τιμαόροις
ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ
δούλης θανούσης, εὐμαροῦς χειρώματος.
ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος.
ΧΟ. ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιᾷ τις ἂν πρέψειεν· εἰ δὲ δυστυχῆ,
βολαῖς ὑγρώσσων σφόγγος ὤλεσεν γραφήν.
καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.
τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖσιν· δακτυλοδείκτων δ'
οὔτις ἀπειπὼν εἴργει μελάθρων,
μηκέτ' ἐσέλθῃς τάδε φωνῶν.
καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
μάκαρες Πριάμου·
θεοτίμητος δ' οἴκαδ' ἱκάνει.
νῦν δ' εἰ προτέρων αἷμ' ἀποτίσει
καὶ τοῖσι θανοῦσι θανὼν ἄλλων
ποινὰς θανάτων ἐπικρανεῖ,
τίς ποτ' ἂν εὔξαιτο βροτῶν ἀσινεῖ
δαίμονι φῦναι τάδ' ἀκούων;
ΑΓ. ὤμοι, πέπληγμαι καιρίαν πληγὴν ἔσω.

ΧΟΡΟΥ ὁ ά.

σῖγα· τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος;
ΑΓ. ὤμοι μάλ' αὖθις, δευτέραν πεπληγμένος.

1267. ἐγὼ δ' ἅμ' ἕψομαι Hermannus] ἀγαθῷ δ' ἀμείψομαι 1268. ἄτης Stanleius] ἄτην 1270. δέ με] ἐμὲ Engerus. 1271. μέγα Hermannus] μετά 1273. φοιτὰς] φοιβὰς Spanhemius et ὡς in οὖσ' mutato Engerus. 1274. λιμοθνὴς Elberlingius] λιμόθνης 1277. ἀντ' ἐπίξηνον Auratus] ἀντεπίξηνον (sic) vel ἀντεπίξηνον 1278. κοπεῖσαν Auratus] κοπείσης, quod servari potest si θερμῷ in δέρης mutetur cum Weilio. 1284. Versum post 1290. lectum huc transposuit Hermannus. ἄραρε γάρ τις ὅρκος] Legebatur ὀμώμοται γὰρ ὅρκος. Correxi ex Crameri Anecd. Oxon. vol. 1. p. 88, 8. et cod. Voss. Etym. M. p. 134, 35. ubi de verbo ἀρηρέναι agitur versusque omisso poetae nomine sic scriptus affertur, ἄραρε γὰρ ὅρκος ἐκ θεῶν μέγας 1285. ἥξειν τιν' Karstenus] ἄξειν νυν Flor. ἄξει νιν Triclinius. 1286. κάτοικτος Scaliger] κάτοικος Κάτοικτος si recte restitutum est, semel dictum est ut ἐποίκτιστος et ἔποικτος v. 1221. 1614. 1288. εἶχον] εἷλον Musgravius. 1290. κἀγὼ Heathius] πράξω 1291. τάσδ' ἐγὼ Auratus] τὰς λέγω 1295. δ' αὖ Triclinius] δὲ 1299. ὦ Casaubonus] οὐ (οὔ, ξένοι Triclinius) χρόνῳ πλέω] Verba ab librario et fortasse ulterius ab correctore corrupta. χρονουλκίᾳ Valckenar. in schedis mss. Verbo χρονουλκεῖν utitur Hesychius s. v. μοργύλλει. χρόνου τριβὴν dixerunt Sophocles aliique. 1305. σῶν Auratus] τῶν 1303. 4. Hos versus transponit Heathius, inversis etiam personarum vicibus.

1309. φόνον Triclinius] φόβον 1312. Post hunc versum legebantur verba ἀλλ' εἶμι — βίος, quae post 1326. transposuit Weilius. 1316. φόβῳ, ἀλλ' ὡς θ.] φόβῳ ἄλλως Hermannus. Mihi probabilius videtur unum post 1316. excidisse versum, qui quum nesciamus qualis fuerit, incertum manet utrum μαρτυρεῖτε an, quod aliis placuit, μαρτυρῆτε ab Aeschylo scriptum sit. 1322. ἢ] οὐ Hermannus. 1323. ἡλίου Iacobsius] ἡλίῳ 1324. 1325. Sententiam tolerabilem restituit Paleius, τοὺς ἐμοὺς τιμαόρους, | ἐχθροὺς φονεῦσι τοῖς ἐμοῖς, τίνειν φόνον | δούλης —. 1313. δόμοισι] θανοῦσι Karstenus. 1327. ΧΟ. hic addidit et v. 1331. delevit Weilius. 1328. σκιᾷ Wieselerus] σκιά ἂν πρέψειεν Boissonadius (ex Photio p. 447, 14. πρέψαι: τὸ ὁμοιῶσαι. Αἰσχύλος.)] ἀντρέψειεν δυστυχῆ] δυστυχοῖ Blomfieldus. 1329. σφόγγος Bothius] σπόγγος 1331. πράσσειν Porsonus] πράττειν 1332. βροτοῖσιν Pauwius] βροτοῖς δακτυλοδείκτων Schuetzius] δακτυλοδεικτῶν 1334. μηκέτ' ἐσέλθῃς Hermannus] μηκέτι δ' εἰσέλθῃς 1340. ἐπικρανεῖ si scripsit Aeschylus, quod incertum est, syllabam penultimam produxit, quod perraro fit in hoc verborum genere. Praesens ἐπικραίνει vel, quod Bambergerus coniecit, ἀντεπικραίνει parum probabile est post ἀποτίσει 1341. ποτ' addidit A. I. Ahrensius. 1343. πληγὴν] πλευρῶν Weilius. ἔσω] ἐγὼ Karstenus.

β'. τοὔργον εἰργάσθαι δοκεῖ μοι βαδιλέως οἰμώγματι.
γ'. ἀλλὰ κοινωσαίμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα;
δ'. ἐγὼ μὲν ὑμὶν τὴν ἐμὴν γνώμην λέγω,
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.
ε'. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ
καὶ πρᾶγμ' ἐλέγχειν σὺν νεορρύτῳ ξίφει.
ϛ'. κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν· τὸ μὴ μέλλειν δ' ἀκμή.
ζ'. ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς
τυραννίδος σημεῖα πράσσοντες πόλει.
η'. χρονίζομεν γάρ. οἱ δὲ τῆς μελλοῦς κλέος
πέδοι πατοῦντες οὐ καθεύδουσιν χερί.
θ'. οὐκ οἶδα βουλῆς ἧστινος τυχὼν λέγω.
τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
ι'. κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.
ια'. ἦ καὶ βίον τείνοντες ὧδ' ὑπείξομεν
δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;
ιβ'. ἀλλ' οὐκ ἀνεκτόν, ἀλλὰ κατθανεῖν κρατεῖ·
πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
ιγ'. ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;
ιδ'. σάφ' εἰδότας χρὴ τῶνδε θυμοῦσθαι πέρι·
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.
ιε'. ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
τρανῶς 'Ατρείδην εἰδέναι κυροῦνθ' ὅπως.
ΚΛ. πολλῶν πάροιθεν καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ' ἂν
φάρξειεν ὕψος κρεῖσσον ἐκπηδήματος;
ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
νείκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·
ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.
οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι,
ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον,
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
περιστιχίζω, πλοῦτον εἵματος κακόν.
παίω δέ νιν δίς· κἀν δυοῖν οἰμωγμάτοιν
μεθῆκεν αὑτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς
Διὸς νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
οὕτω τὸν αὑτοῦ θυμὸν ὀρυγάνει πεσών·
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ διοσδότῳ
γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ' ἐχόντων, πρέσβος 'Αργείων τόδε,
χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ,
τῷδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν·
τοσόνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.
ΧΟ. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.
ΚΛ. πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος·
ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω· σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις
ὅμοιον. οὗτός ἐστιν 'Αγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δέ, τῆσδε δεξιᾶς χερὸς
ἔργον, δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.
ΧΟ. τί κακόν, ὦ γύναι, χθονοτρεφὲς ἐδανὸν
ἢ ποτὸν πασαμένα ῥυτᾶς ἐξ ἁλὸς ὀρμενον
τόδ' ἐπέθου θύος δαμοθρόους τ' ἀρὰς
ἀπέδικες ἀπέτεμες· ἀπόπολις δ' ἔσει
μῖσος ὄβριμον ἀστοῖς.
ΚΛ. νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ
καὶ μῖσος ἀστῶν δημόθρους τ' ἔχειν ἀράς,
οὐδὲν τότ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
ὃς οὐ προτιμῶν ὡσπερεὶ βοτοῦ μόρον,
μήλων φλεόντων εὐπόκοις νομεύμασιν,
ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοὶ
ὠδῖν', ἐπῳδὸν Θρῃκίων ἀημάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆν σ' ἀνδρηλατεῖν,
μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
[τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένης]
ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
ἄρξειν σ'· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.
ΧΟ. μεγαλόμητις εἶ, περίφρονα δ' ἔλακες·
ὥσπερ οὖν φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται·
λίπος ἐπ' ὀμμάτων αἵματος ἐμπρέπει·
ἄτιτον ἔτι σὲ χρὴ στερομέναν φίλων
τύμμα τύμματι τῖσαι.

1407—1411. = 1426—1430.

1344. 1346 His versibus et distichis 1348—1371. ΧΟ. praescriptum in libris. Inter quindecim chori personas distribuit Hermannus, qui numerus etiam in scholio traditus est quod Triclinius servavit, de quo dixi in Philologo vol. 20. p. 28. Inter duodecim personas distribuit Odofr. Muellerus, versibus 1344. 1346. 1347. 1370. 1371. coryphaeo tributis. 1346. οἰμώγματι] Sic apogr. Flor., οἰμώγμασιν cetera. 1347. κοινωσαίμεθ' (sic Porsonus) ἄν πως Blomfieldus] κοινωσώμεθ' ἄν πως 1356. μελλοῦς ex Tryphone in Walzii Rhet. vol. 8. p. 741.] μελλούσης 1357. πέδοι Hermannus] πέδον 1362. τείνοντες Canterus] κτείνοντες 1364. κρατεῖ Casaubonus] κράτει 1368. θυμοῦσθαι A. I. Ahrensius] μυθοῦσθαι 1375. πημονῆς Canterus] πημονὴν ἀρκύστατ' ἂν Blomfieldus] ἀρκύστατον 1376. φάρξειεν D.] φράξειεν 1378. νείκης Heathius] νίκης 1381. ἀμύνεσθαι Victorius] ἀμύνασθαι 1383. περιστιχίζω Triclinius] περιστοιχίζων Flor. περιστιχίζων Ven. 1384. οἰμωγμάτοιν Elmsleius] οἰμώγμασιν 1387. Διὸς Engerus] ᾅδου 1388. ὀρυγάνει (quod Hesychius ἐρέρεύγεται explicat) Hermannus] ὁρμαίνει 1389. σφαγὴν] βαφὴν Schneidewinus.

1391. διοσδότῳ γάνει Porsonus] διὸς νότῳ γᾶν εἰ 1396. πρεπόντων] πρεπόντως Blomfieldus. πρέπον τόδ' Karstenus. πρέπον τῷδ' Hermannus. πρέπον τοιῷδ' Schneidewinus, deleto ὥστ'. Quod verum videtur. 1396. τῷδ' Tyrwhittus] τάδ' 1397. τοσόνδε Blomfieldus] τοσῶνδε 1408. ῥυτᾶς Stanleius] ῥύσας ὀρμενον Abreschius] ὀρώμενον (ὀρόμενον Canterus) 1409. δαμοθρόους τ' ἀρὰς ἀπέδικες ἀπέτεμες] δαμόθροός τ' ἀρὰ | σ' ἀπέδικε σ' ἀπέταμεν Weilius: cui praeferendum foret δαμόθροός σ' ἀρὰ | ἀπέδικεν ἀπέταμεν, non impediente hiatu. 1410. ἀπόπολις Seidlerus] ἄπολις M. τάχ' ἄπολις Engerus, servato in antistropha v. 1429. ἀτίετον 1410. 1425. ἔσει et γνώσει Porsonus] ἔσῃ — γνώσῃ 1410. ἀπέτεμες] ἀπέταμες, sed superscr. ε, Flor. ἀπέτεμες Ven. et superscr. α Triclinius. 1414. τότ' Stanleius] τόδ'. τῶνδ' οὐδὲν ἀνδρὶ τῷδ' Heimsoethius (*Kr. Stud.* 1. p. 113.) εὐπόκοις] εὐτόκοις apogr. Ven. 1418. ἀημάτων Canterus] τελημμάτων 1419. χρῆν Porsonus] χρὴ 1422. ἀπειλεῖν, ὡς παρεσκευασμένης] ἀπειλεῖν σ' ὡς παρεσκευασμένη Karstenus. Seclusi versum spurium ab Engero notatum. 1425. ἄρξειν σ' D.] ἄρχειν, omisso σ'. Sententia postulat futurum. 1428. λίπος Porsonus] λίπος (λίβος Casaubonus) ἐμπρέπει ἀτίετον (debebat ἄτιτον vel ἀτίετ' ut Bothius) Auratus] εὖ πρέπει ἀντίετον vel εὐπρέπειαν τίετον 1430. τύμματι Ger. Vossius] τύμμα τῖσαι Porsonus] τίσαι

ΚΛ. καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην,
Ἄτην Ἐρινύν θ', αἶσι τάνδ' ἔσφαξ' ἐγώ,
οὔ μοι μελάθρων ἐλπὶς ἐμπατεῖν φόβον,
ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ σμικρὰ θράσους.
κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηίδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ·
ἥ τ' αἰχμάλωτος ἥδε καὶ τερασκόπος,
ἡ κοινόλεκτρος τοῦδε θεσφατηλόγος,
πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἰσοτριβής. ἄτιμα δ' οὐκ ἐπραξάτην.
ὁ μὲν γὰρ οὕτως, ἡ δέ τοι κύκνου δίκην
τὸν ὕστατον μέλψασα θανάσιμον γόον
κεῖται φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς.
ΧΟ. φεῦ, τίς ἂν ἐν τάχει μὴ περιώδυνος, μηδὲ δε-
μνιοτήρης,
μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν
Μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος
φύλακος εὐμενεστάτου.
πολλὰ τλάντος γυναικὸς διαί;
πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.
ἰὼ ἰὼ παράνους Ἑλένα
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ.
νῦν δὲ τελείαν * *
* * * *
* * * *
* * * *
* * * *
ἢ πολύμναστον ἐπηνθίσω αἷμ' ἄνιπτον,
στᾶσα τότ' ἐν δόμοισιν
ἐρίδματός τις ἀνδρὸς οἰζύς.
ΚΛ. μηδὲν θανάτου μοῖραν ἐπεύχου
τοῖσδε βαρυνθείς·
μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ'
ἀξύστατον ἄλγος ἔπραξεν. [λίδαισιν,
ΧΟ. δαῖμον, ὃς ἐμπίτνεις δώμασι καὶ διφυίοισι Τανta-
κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν

1448—1454. = 1468—1474.
1455—1461. = 1537—1550.

καρδιόδηκτον ἐμοὶ κρατύνεις,
ἐπὶ δὲ σώματος δίκαν
κόρακος ἐχθροῦ σταθεὶς ἐννόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται ⏑ —.
ΚΛ. νῦν δ' ὤρθωσας στόματος γνώμην,
τὸν τριπάχυντον
δαίμονα γέννης τῆσδε κικλήσκων.
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
νείρᾳ τρέφεται, πρὶν καταλῆξαι
τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.
ΧΟ. ἦ μέγαν οἴκοις τοῖσδε
δαίμονα καὶ βαρύμηνιν αἰνεῖς,
φεῦ φεῦ, κακὸν αἶνον ἀτηρᾶς τύχας ἀκορέστου·
ἰὴ ἰή, διαὶ Διὸς παναιτίου πανεργέτα.
τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;
ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον
δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
ΚΛ. αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν·
μηδ' ἐπιλεχθῇς
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος
τόνδ' ἀπέτισεν
τέλεον νεαροῖς ἐπιθύσας.
ΧΟ. ὡς μὲν ἀναίτιος εἶ
τοῦδε φόνου τίς ὁ μαρτυρήσων; [ἀλάστωρ.
πῶς πῶς; πατρόθεν δὲ συλλήπτωρ γένοιτ' ἂν
βιάζεται δ' ὁμοσπόροις ἐπιρροαῖσιν αἱμάτων
μέλας Ἄρης· ὅποι δὲ καὶ προβαίνων
πάχνᾳ κουροβόρῳ παρέξει.
ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον

1462—1467. — 1475—1480.
1481—1504. = 1505—1529.

1431. θέμιν] θέσιν G. Hauptius. 1434. οὔ μοι μελάθρων ἐλπὶς ἐμπατεῖν φόβον Weilius] οὐ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ (ἐμπατεῖν Victorius)
1435. ἐμῆς Porsonus] ἐμᾶς 1438. Ante vel post haec verba versum unum excidisse, in quo ἀνὴρ vel aliud substantivum lectum fuerit, putavit Hermannus.
1441. ἡ Karstenus] καὶ 1443. ἰσοτριβὴς Pauwius] ἱστοτρίβης 1447. εὐνῆς] εὐνῇ Pauwius. παροψώνημα Casaubonus] παροψόνημα 1450. ἐν] ἐφ' Hermannus. 1453. πολλὰ (πολέα Wieslerus; D.] καὶ πολλὰ
1455. Alterum ἰὼ addidit Blomfieldus. παράνους Hermannus] παρανόμους 1458. Exciderunt versus quibus respondent versus 1541—1546. 1459. ἢ addidit Hermannus. αἷμ' Wellauerus] δι' αἷμ' 1460. στᾶσα (οὖσα Schneidewinus) τότ' ἐν δόμοισιν | ἐρίδματός τις (ἐρωτόδματος Bambergerus) ἀνδρὸς Hermannus coniectura incerta] ἥτις ἦν τότ' ἐν δόμοις | ἔρις ἐρίδματος ἀνδρὸς 1466. ὀλέσασ' Triclinius] ὀλέσαν 1468. ἐμπίτνεις Canterus] ἐμπίπτεις 1469. διφυίοισι Hermannus] διφυεῖσι 1470. τ' addidit Hermannus. κράτος κακόψυχον Rauchensteinius. γυναικῶν] γυναικοῖν Keckius. γυναικὸς Hartungus.

1471. καρδιόδηκτον Abreschius] καρδίᾳ δηκτόν 1472. δίκαν D. in Annot. Oxon. p. 421.] δίκαν μοι 1473. σταθεῖσ' Schuetzius. ἐννόμως] ἐκνόμως Triclinius. 1474. Ante vel post ἐπεύχεται excidit iambus. δόμοις Butlerus, γυνὴ Weilius, νεκρῷ Engerus.
1476. τριπάχυντον Bambergerus] τριπάχυιον 1477. γέννης] ας super ης in apogr. Flor. 1479. νείρᾳ Wellauerus (νείρῃ Casaubonus)] νείρει 1480. ἄχος] ἄγος Auratus. 1481. οἴκοις τοῖσδε] Metrum postulat vocabulum quale Weilius restituit, οἰκοτριβῆ. Alia coniecit Schoemannus Opusc. 3. p. 154. αὐτογενῆ, ἐγγενέταν, ἐν μελάθροις 1485. ἰὴ ἰή D.] ἰὴ ἰὼ πανεργέτα (quod legit scriptor Christi P. 1465.) Triclinius] πανεργέταν 1489. 1513. Alterum ἰὼ utrobique addidit Triclinius. 1498. ἐπιλεχθῇς] ἐπιλέξῃς Ger. Vossius. μηκέτι λεχθῇ δ' Hermannus. 1507. πῶς πῶς margo Askewii] πῶ πῶ 1511. δὲ καὶ] δίκαν Butlerus. προβαίνων Canterus] προσβαίνων 1512. πάχνᾳ Hermannus] πάχνα. πάχναν κουροβόρον Auratus. ὅμοια δ' αὖ προβαίνων ποινᾷ κουροβόρῳ παρέξει Schoemannus Opusc. 3. p. 155.

δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
ΚΛ. οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
οἴκοισιν ἔθηκ';
ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθέν,
τὴν πολυκλαύτην Ἰφιγενείαν,
ἄξια δράσας ἄξια πάσχων
μηδὲν ἐν Ἅιδου μεγαλαυχείτω,
ξιφοδηλήτῳ
θανάτῳ τίσας ἅπερ ἔρξεν.
ΧΟ. ἀμηχανῶ φροντίδος στερηθεὶς
εὐπαλάμων μεριμνᾶν
ὅπα τράπωμαι, πίτνοντος οἴκου.
δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψακὰς δὲ λήγει.
δίκη δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης
πρὸς ἄλλαις θηγάναισι Μοῖρα.
ἰὼ γᾶ γᾶ, εἴθ' ἔμ' ἐδέξω,
πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου
δροίτας κατέχοντα χαμεύναν.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
ἦ σὺ τόδ' ἔρξαι τλήσει, κτείνασ'
ἄνδρα τὸν αὑτῆς ἀποκωκῦσαι
ψυχῇ τ' ἄχαριν χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;
τίς δ' ἐπιτύμβιον αἶνον ἐπ' ἀνδρὶ θείῳ
σὺν δακρύοις ἰάπτων
ἀλαθείᾳ φρενῶν πονήσει;
ΚΛ. οὐ σὲ προσήκει τὸ μέλημα λέγειν
τοῦτο· πρὸς ἡμῶν
κάππεσε, κάτθανε, καὶ καταθάψομεν
οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
* * * * *
* * * *
ἀλλ' Ἰφιγένειά νιν ἀσπασίως
θυγάτηρ, ὡς χρή,
πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
πόρθμευμ' ἀχέων
περὶ χεῖρε βαλοῦσα φιλήσει.
ΧΟ. ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους.

οὔτ' ἀνελεύθερον οἶμαι θάνατον 1521
τῷδε γενέσθαι.

1530—1596. == 1560—1566.
1551—1559. = 1567—1776.

δύσμαχα δ' ἐστὶ κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων.
μένει δὲ μίμνοντος ἐν θρόνῳ Διὸς
παθεῖν τὸν ἔρξαντα. θέσμιον γάρ·
τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος πρὸς ἄτᾳ.
ΚΛ. ἐς τόνδ' ἐνέβης σὺν ἀληθείᾳ
χρησμόν. ἐγὼ δ' οὖν
ἐθέλω δαίμονι τῷ Πλεισθενιδῶν
ὅρκους θεμένη τάδε μὲν στέργειν,
δύστλητά περ ὄνθ', ὃ δὲ λοιπόν, ἰόντ'
ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισιν·
κτεάνων δὲ μέρος
βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι
μανίας μελάθρων
ἀλληλοφόνους ἀφελούσῃ.

ΑΙΓΙΣΘΟΣ.

ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου.
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄγη,
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί,
χερὸς πατρῴας ἐκτίνοντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
αὑτοῦ δ' ἀδελφόν, ἀμφίλεκτος ὢν κράτει,
ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης μοῖραν ηὕρετ' ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
αὐτός. ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεύς, προθύμως μᾶλλον ἢ φίλως, πατρὶ
τὠμῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθημένοις
ἄσημ'· ὁ δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν
ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει.
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον
ᾤμωξεν, ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν,
μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ,
οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.

1521. 1522. οὔτ' (οὐκ Schuetzius) — γενέσθαι eiecit Seidlerus de vers. dochm. p. 408. 1526. πολυκλαύτην Porsonus] πολύκλαυτόν τ' Ἰφιγενείαν D.] ἰφιγένειαν 1527. ἄξια δράσας Hermannus] ἀνάξια δράσας 1529. ἔρξεν Naberus] ἦρξεν 1531. εὐπαλάμων μεριμνᾶν Karstenus] εὐπάλαμνον (εὐπάλαμον Porsonus) μέριμναν 1532. ὅπα] ὅποι Elmsleius. 1534. ψακὰς Blomfieldus] ψεκάς 1535. δίκη apogr. Flor. δίκα, superscripto η, alia. δίκην Auratus. δίκης — θηγάνει βέλος Karstenus. θηγάνει (quod Hesychius per ὀξύνει exp.) Hermannus] θήγει 1536. θηγάναισι Porsonus] θηγάναις: quo servato Musgr. Δίκη — θηγάναις μάχαιραν. Locus nondum persanatus. 1538. εἴθ' ἔμ'] εἴθε μ' Triclinius. 1540. δροίτης et χαμεύνην D. 1545. ψυχῇ τ' Hermannus] ψυχὴν 1547. ἐπιτύμβιον αἶνον Ger. Vossius] ἐπιτύμβιος αἶνος 1549. δακρύοις] δακρύοιν apogr. Flor., quasi δάκρυσιν voluerit. 1550. ἀλαθείᾳ D.] ἀληθείᾳ 1551. μέλημα λέγειν] μέλημ' ἀλέγειν Karstenus. 1554. Post haec verba versus duo exciderunt quibus respondent versus 1571. 1572. 1555. Ἰφιγένειά νιν — φιλήσει Stanleius] ἰφιγένειαν ἵν' — φιλήσῃ 1559. χεῖρε Porsonus] χεῖρα

1563. μένει Heimsoethius *Kr. Stud.* I. p. 132.] μίμνει θρόνῳ Schuetzius] χρόνῳ 1565. ἀραῖον Hermannus] ῥᾷον 1566. γένος] γένους Karstenus. πρὸς ἄτᾳ Blomfieldus] προσάψαι 1567. ἐνέβης Canterus] ἐνέβη σὺν] ξὺν Triclinius. 1569. Πλεισθενιδῶν Triclinius] πλεισθενιδᾶν 1571. ἰόντ'] ἴτων Weilius. 1573. δὲ Auratus] τε 1576. μανίας μ. ἀλληλοφόνους Erfurdtius] δ' ἀλληλοφόνους μανίας μ. 1579. ἄγη Auratus] ἄχη 1582. χερὸς] χειρὸς Triclinius. 1585. αὑτοῦ Elmsleius] αὐτοῦ τ' 1587. ἑστίας] ἑστίαν Auratus. 1588. ηὕρετ' D.] εὕρετ' 1590. αὐτός Blomfieldus] αὐτοῦ 1595. ἔθρυπτ'] ἔκρυπτ' Tyrwhittus. ἄνωθεν] ἄνευθεν Blomfieldus. ἄπωθεν Weilius. καθημένοις Casaubonus] καθήμενος 1596. ἄσημ'· ὁ δ' D.] ἄσημα δ' 1597. ὡς ὁρᾷς] Suspectum Bothio. 1599. ἀμπίπτει Canterus] ἂν πίπτει σφαγῆς] σφαγὴν Hartungus. σφαγὰς Schneidewinus. ἐμῶν Auratus] ἐρῶν 1601. ξυνδίκως] ξύνδικον Karstenus. ἀρᾷ] ἀρὰν Ahreschius et Karstenus. 1602. ὀλέσθαι ex Tzetza in Crameri Anecd. Oxon. vol. 3. p. 378, 10 (ubi ἀρᾶτ' ὀλέσθαι)] ὀλέσθη

τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ
συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις·
τραφέντα δ' αὖθις ἡ Δίκη κατήγαγεν.
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν συνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς Δίκης ἐν ἕρκεσιν.

ΧΟ. Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδε φῂς ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον·
οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.

ΑΙ. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσει γέρων ὢν ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ σωφρονεῖν εἰρημένον.
δεσμὸς δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
δύαι διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς.

ΧΟ. γύννις σὺ τοὺς ἥκοντας ἐκ μάχης μένων
οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνας ἅμα
ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον;

ΑΙ. καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ,
σὺ δ' ἐξορίνας νηπίοις ὑλάγμασιν
ἄξει· κρατηθεὶς δ' ἡμερώτερος φανεῖ.

ΧΟ. ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσει,
ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;

ΑΙ. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἢ παλαιγενής.
κρατῶν δὲ τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις οὔτι μοι σειραφόρον
κριθῶντα πῶλον· ἀλλ' ὁ δυσφιλεῖ σκότῳ
λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.

ΧΟ. τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες, ἀλλά νιν γυνὴ
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
ἔκτειν'; Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;

ΑΙ. ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσει τάχα.

ΧΟ. * * * * * * * * * * * * * * * * *

ΑΙ. εἶα δή, φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε.

ΧΟ. εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.

ΑΙ. ἀλλὰ μὴν κἀγὼ πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.

ΧΟ. δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ' αἱρούμεθα.

ΚΛ. μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος·
πημονῆς δ' ἅλις γ' ὑπάρχει· μηδὲν αἱματώμεθα.
στεῖχε καὶ σὺ χοἰ γέροντες πρὸς δόμους πεπρωμένους,
πρὶν παθεῖν ἔρξαντες· αἰνεῖν χρῆν τάδ' ὡς ἐπράξαμεν.
εἰ δέ τοι μόχθων γένοιτο τῶνδ' ἅλις, δεχοίμεθ' ἂν
δαίμονος χηλῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
ὧδ' ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.

ΑΙ. ἀλλὰ τούσδ' ἐμοὶ ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
σώφρονος γνώμης δ' ἁμαρτεῖν τὸν κρατοῦντα ⏓⏑–
* * *

ΧΟ. οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.

ΑΙ. ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι.

ΧΟ. οὔκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.

ΑΙ. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.

ΧΟ. πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην, ἐπεὶ πάρα.

ΑΙ. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.

ΧΟ. κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.

ΚΛ. μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων· ἐγὼ
καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς.

1605. ἐπὶ δέκ'] Numerus iusto maior: nam tres tantum Thyestae filii fuerunt. ἐπὶ δύ' Emperius. ἐπὶ δυσαθλίῳ πατρὶ Schoemannus Opusc. 3. p. 159. ἔτι τρισαθλίῳ Meinekius. ἔτι δυσαθλίῳ Guil. Schneiderus. ἐπίτεκ' Weilius. 1609. δυσβουλίας] εὐβουλίας Karstenus. 1611. ἰδόντα] ἰδόντι Triclinius. 1612. Unius versus defectum post 1612. indicavit Hermannus.

1613. τόνδε φῂς Pauwius] τόνδ' ἔφης 1619. γνώσει Porsonus] γνώσῃ 1620. εἰρημένον] κεχρημένον Elmsleius. 1621. δεσμὸς Triclinius] δεσμόν 1624. πταίσας Butlerus] πήσας, παίσας schol. cod. Gotting. Pindari Pyth. 2. extr. 1625. γύννις ex Meinekii coniectura, quamvis incerta, scripsi pro γύναι, quod supplementum interpolatoris esse videtur (fortasse pro σὺ δή, de quo cogitavit Schneidewinus) Clytaemnestram compellari opinati, mutato eadem de caussa αἰσχύνας in αἰσχύνουσ'. Manifestum vero est Aegisthum compellari. μένων — αἰσχύνας Wieselerus] νέον — αἰσχύνουσ' 1631. νηπίοις Iacobsius] ἠπίοις 1632. ἄξει — φανεῖ — ἔσει Porsonus] ἄξῃ — φανῇ — ἔσῃ 1633 — 1648. Hos versus sic transposuit Engerus, 1643 — 1648. 1636 — 1642. 1633 — 1635. 1634. ὃς οὐκ] ὅστις γ' Karstenus. 1637. ἢ Porsonus] ἡ 1638. κρατῶν δὲ Weilius] ἐκ τῶνδε 1640. μοι Pauwius] μὴ (μὴν Wieselerus) σειραφόρον apogr. Venetum, Triclinius et Pollux 7, 24.] σειρασφόρον apogr. Flor. 1641. δυσφιλεῖ σκότῳ Scaliger] δυσφιλὴς κότῳ

1644. ἀλλά νιν Spanhemius] ἀλλὰ σὺν 1649. δοκεῖς] δοκεῖ Auratus. καὶ] κοὐ Auratus. γνώσει Porsonus] γνώσῃ Post v. 1648. unum excidisse versum vidit Hermannus. 1652. μὴν κἀγὼ Porsonus] κἀγὼ μὴν πρόκωπος apogr. Ven., πρόκοπος Flor., πρόκοπτος Triclinius. 1653. αἱρούμεθα Auratus] ἐρούμεθα 1654. δράσωμεν Victorius] δράσομεν 1655. θέρος Schuetzius] ὁ ἔρως 1656. δ' ἅλις γ'] ἅλις δ' Hermannus. ὑπάρχει Scaliger] ὕπαρχε μηδὲν] μηδ' ἔθ' Blomfieldus. αἱματώμεθα Stanleius] ἡματώμεθα 1657. στεῖχε καὶ σὺ χοἰ Franzius] στείχετε δ' οἱ πεπρωμένους Scaliger] πεπρωμένους τούσδε. Mire vero dictum πεπρωμένους, pro quo τετραμμένοι, quod Weyrauchius coniecit, vel simile quid exspectabatur. 1658. ἔρξαντες Flor. ἔρξαντα apogr. Ven. et Triclinius. αἰνεῖν Lobeck, Pathol. Proleg. p. 248.] καιρόν 1659. δεχοίμεθ' Hermannus] γ' ἐχοίμεθ' 1662. ἀπανθίσαι] ἀκοντίσαι Wakefieldus. 1663. δαίμονος Casaubonus] δαίμονας 1664. Hunc versum post 1656. transposuit Hermannus. ἁμαρτεῖν τὸν Casaubonus] ἁμαρτῆτον κρατοῦντα] δ' ὑβρίσαι addit Blomfieldus. κρατοῦντ' αἶσχος μέγα Hermannus. 1668. φεύγοντας ἄνδρας] φεύγοντος ἀνδρὸς Auratus. 1671. θαρσῶν Porsonus] θαρρῶν ὥστε Scaliger] ὥσπερ 1672. 1673. ἐγὼ et καλῶς ex scholiastae annotatione addita. 1673. καλῶς] τέλος Karstenus.

ΑΙΣΧΥΛΟΥ ΧΟΗΦΟΡΟΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ*

ΟΡΕΣΤΗΣ.	ΟΙΚΕΤΗΣ.
ΠΥΛΑΔΗΣ.	ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΧΟΡΟΣ.	ΤΡΟΦΟΣ.
ΗΛΕΚΤΡΑ.	ΑΙΓΙΣΘΟΣ.

* Indicem personarum confecit Canterus.

ΟΡΕΣΤΗΣ.

Ἑρμῆ χθόνιε πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ·
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.
τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν, ἀκοῦσαι. * *
* * * * * * * *
⏑ ⏓ ⏑ πλόκαμον Ἰνάχῳ θρεπτήριον,
τὸν δεύτερον δὲ τόνδε πενθητήριον
* * * * * * * *
οὐ γὰρ παρὼν ᾤμωξα σόν, πάτερ, μόρον
οὐδ' ἐξέτεινα χεῖρ' ἐπ' ἐκφορᾷ νεκροῦ.
* * * * * * * *
ἔα.
τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
πρέπουσα; ποίᾳ ξυμφορᾷ προσεικάσω;
πότερα δόμοισι πῆμα προσκυρεῖ νέον;
ἢ πατρὶ τὠμῷ τάσδ' ἐπεικάσας τύχω
χοὰς φερούσας νερτέροις μειλίγματα·
οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ
πρέπουσαν. ὦ Ζεῦ, δός με τίσασθαι μόρον
πατρός, γενοῦ δὲ σύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκποδών, ὡς ἂν σαφῶς
μάθω γυναικῶν ἥτις ἥδε προστροπή.

ΧΟΡΟΣ.

ἰαλτὸς ἐκ δόμων ἔβαν
χοᾶν προπομπὸς ὀξύχειρι σὺν κόπῳ.
πρέπει παρηῒς αἱμοτοῦσσ' ἀμυγμοῖς
ὄνυχος ἄλοκι νεοτόμῳ,
δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ.
λινοφθόροι δ' ὑφασμάτων

22—31. = 32—41.

Χοηφόρων prologi pars prior in magnam incidit codicis Medicei lacunam, de qua supra dixi p. 54. Initium fabulae in folii 31. nunc perditi pagina aversa scriptum fuit: nam folium 32. incipit ab verbis τί χρῆμα λεύσσω (nunc v. 10.) —. Nec defectus ex duobus quae adhuc sola innotuerunt apographis (Florentino Marciano 222. et Guelferbytano) suppleri potuit, ex codice Mediceo, quum iam defectus esset, derivatis: de quo dixi in Philologo vol. 18. p. 57. Primum fabulae versum servavit Aristophanes in Ranis, ubi Aeschylus et Euripides de prologis suis disceptant, v. 1138., secundum et tertium 1152. 1153., quartum eum quinti initio 1172. 1173. τύμβου — ἀκοῦσαι.

3. 4. Inter hos versus tres alios ab Aeschylo positos fuisse de caede Agamemnonis agentes, quos omiserit Aristophanes, quia nihil in iis reprehendendum fuerit, Hermanni coniectura est tanto incertior, quum nesciamus quod fuerit versuum post κλύειν ἀκοῦσαι positorum argumentum. 6. 7. Hos versus servavit schol. Pindari Pyth. 4, 145. 6. ⏑ ⏓ ⏑] φέρω δὲ Erfurdtius. 8. 9. Hos versus ego edidi ex codice schol. Eurip. Vaticano Alcest. 768. vol. 4. p. 108, 16. Possunt autem hi versus proximi fuisse post v. 7.

10. Ante hunc versum addidi ἔα. 13. Schol. ἀντὶ τοῦ πῆμα νέον, quem ne quis aliud quam πῆμα vocabulum legisse credat, monendum est scholiastam scripsisse ἀντὶ τοῦ πῆμα προσεγγίζει νέον, quod collata Hesychii glossa προσκυρεῖ: προσεγγίζει intellexit Io. Frey in Dissert. de scholiis Aeschyli (Bonnae a. 1857) p. 6. 15. μειλίγματα Casaubonus] μειλίγμασι 20. ἐκποδών Stanleius] ἐκποδῶν 22. ἰαλτὸς Turnebus] ἴαλτος ἔβαν D. (ἔβην Robortellus)] ἔβη 23. χοᾶν Casaubonus] χοὰς προπομπὸς Victorius] πρόπομπος σὺν κόπῳ Pauwius] συγκύπωι, a m. sec. in σὺν κύπτωι mutatum: unde σὺν κτύπῳ Arnaldus. κόπῳ legit scholiasta, qui exp. σὺν κοπετῷ. 24. αἱματοῦσσ' ἀμυγμοῖς D.] φοινισσαμυγμοῖς, ortum ex gl. φοινισσομένη, ut Hesychius αἱματῶσαι per φοινίξαι explicat. 26. δ' ἰυγμοῖσι Canterus] διοιγμοῖσι

λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν
προστέρνων στολμῶν,
οἴκων ἀγελάστοις
ξυμφοραῖς πεπληγμένων.
τορὸς γὰρ ὀρθόθριξ φόβος,
δόμων ὀνειρόμαντις, ἐξ ὕπνου κότον
πνέων, ἀωρόνυκτον ἀμβόαμα
μυχόθεν ἔλακε περὶ φόβῳ,
γυναικείοισιν ἐν δώμασιν βαρὺς πίτνων.
κριταὶ δὲ τῶνδ' ὀνειράτων
θεόθεν ἔλακον ὑπέγγυοι
μέμφεσθαι τοὺς γᾶς
νέρθεν περιθύμως
τοῖς κτανοῦσί τ' ἐγκοτεῖν.
τοιάνδε χάριν ἀχάριτον ἀπότροπον κακῶν,
ἰὼ γαῖα μαῖα, μωμένα μ' ἰάλλει
δύσθεος γυνά· φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν.
τί γὰρ λύτρον πεσόντος αἵματος πέδοι;
ἰὼ πάνοιζυς ἑστία,
ἰὼ κατασκαφαὶ δόμων.
ἀνήλιοι βροτοστυγεῖς
δνόφοι καλύπτουσι δόμους
* δεσποτῶν θανάτοισι.
σέβας δ' ἄμαχον ἀδάματον ἀπόλεμον τὸ πρὶν
δι' ὤτων φρενός τε δαμίας περαῖνον
νῦν ἀφίσταται. φοβεῖται δέ τις. τὸ δ' εὐτυχεῖν,
τόδ' ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον.
ῥοπὴ δ' ἐπισκοπεῖ Δίκας
ταχεῖα τοὺς μὲν ἐν φάει,
τὰ δ' ἐν μεταιχμίῳ σκότου
μένει χρονίζοντας ἄχη,
τοὺς δ' ἄκρατος ἔχει νύξ.
δι' αἵματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ
τίτας φόνος πέπηγεν οὐ διαρρύδαν.

42—53. = 54—65.
66—70. = 71—74.

διαλγὴς δ' ἄτα
διαφέρει τὸν αἴτιον παναρκέτας νόσου βρύειν.
θιγόντι δ' οὔτι νυμφικῶν ἑδωλίων
ἄκος, πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ
βαίνοντες τὸν
χερομυσῆ φόνον καθαίροντες ἴουσαν μάταν.
ἐμοὶ δ' — ἀνάγκαν γὰρ ἀμφίπτολιν
θεοὶ προσήνεγκαν· ἐκ γὰρ οἴκων
πατρῴων δούλιον ἐσᾶγον αἶσαν —
δίκαια καὶ μὴ δίκαια,
πρέποντ' ἀρχὰς βίου,
βίᾳ φερομένων αἰνέσαι, πικρὸν φρενῶν
στύγος κρατούσῃ. δακρύω δ' ὑφ' εἱμάτων
ματαίοισι δεσποτᾶν
τύχαις, κρυφαίοις πένθεσιν παχνουμένη.

ΗΛΕΚΤΡΑ.

δμωαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
πομποί, γένεσθε τῶνδε σύμβουλοι πέρι·
τύμβῳ χέουσα τάσδε κηδείους χοὰς
πῶς εὔφρον' εἴπω, πῶς κατεύξωμαι πατρί;
πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα;
τῶνδ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ,
χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός.
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
ἴσ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν γε τῶν κακῶν ἐπαξίαν;
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατήρ, τάδ' ἐκχέασα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ' ἐστὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι.
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινός.
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει

---

28. ἄλγεσιν Etym. M. p. 403, 49.] ἄλγεσι 29. προστέρνων στολμῶν Heimsoethius] πρόστέλνοι (cum duplici accentu et ρ super λ) στολμοὶ οἴκων Keckius in Symb. Phil. Bonn. p. 194. (δόμων Hartungus et Heimsoethius)] πέπλων (glossema ad στολμῶν olim adscriptum) 32. ὀρθόθριξ φόβος Heathius] φοῖβος (φόβος Turnebus ex schol. annot.) ὀρθόθριξ 35. ἔλακε] ἔλαχε M, sed superscr. κ περὶ φόβῳ quum nihil aliud significare possit quam *prae timore*, non aptum huic loco est. περιφόβως Portus. 36. γυναικείοισιν Victorius] γυναικίοισιν πίτνων Blomfieldus] πιτνῶν 37. κριταὶ] κρειταὶ pr. M. δὲ addidit Arnaldus. 38. ἔλακον Turnebus] ἔλαχον 44. ἀχάριτον Elmsleius] ἄχαριν 45. μαῖα] γαῖα Robortellus. μωμένα μ' ἰάλλει Stanleius] μωμέν αμιλλεῖ 47. ἐκβαλεῖν Stanleius] ἐκβάλλειν 48. λύτρον Canterus] λυγρόν πέδοι D.] πέδῳ 49. πάνοιζυς Lobeckius] πανοϊζὺς 53. *δεσποτῶν] δεσποτῶμ (sic) 54. ἀδάματον Hermannus] ἀδάμαντον 56. φρενός Victorius] φρένες 58. ἀφίσταται] μ superscr., i. e. ἀμφίσταται 61. δίκας Turnebus ex schol.] δίκα M. De sensu huius loci dixit Mehlerus Mnemos. vol. 6. p. 92. 62. τοὺς Turnebus ex schol.] τοῖς 64. χρονίζοντας D. in Thesauro vol. 8. p. 1096.] χρονίζοντ'. Quum praecedat τοὺς μέν et sequatur τοὺς δὲ, hic dicendum erat τοὺς δὲ χρονίζοντας ἐν μεταιχμίῳ σκότου ἄχη μένει, quod quum metrum non ferret, mutata orationis forma dixit τὰ δ' ἐν μεταιχμίῳ σκότου μένει χρονίζοντας ἄχη. quod eodem redit. ἄχη] ἄχη (ἄχει pr.) βρύει M. βρύει, ex v. 70. illatum, ubi βρύειν, delevit Hermannus. 65. ἄκρατος Schuetzius] ἄκραντος 66. ἐκποθένθ' Schuetzius] ἔκποθεν 67. διαρρύδαν Lobeckius] διαρρυδάν

68. Versus in M sic sunt divisi, διαλγὴς ἄτη | δ. τὸν αἴτιον | π. ν. βρύειν, et in antistropha, βαίνοντες | τὸν χ. φόνον καθαί- | ροντες ἱ. ἄτην. Suspectum est v. 68. διαλγής, quod schol. exp. per ἡ διαιωνίζουσα ἄτη: unde διαρκὴς Heimsoethius, αἰανὴς Weilius. δ' addidit Schuetzius et ἄτα scripsit pro ἄτη, ut reliquae quoque in hoc carmine formae vulgares haud dubie in Doricas sunt mutandae. 70. παναρκέτας] Requiritur vocabulum cretici mensuram habens. Post βρύειν repetitur in M τοὺς δ' ἄκραντος ἔχει νύξ (ex v. 65.) Delevit Porsonus. 71. θιγόντι Scaliger] οἴγοντι οὔτι] οὔτε Bothius. 73. βαίνοντες τὸν] Deest prima dochmii (parum scite compositi) syllaba. διαίνοντες Lachmannus. προβαίνοντες Bambergerus. 74. χερομυσῆ Pauwius] χαιρομυσῆ ἴουσαν ex verbo corruptum quod cretici mensuram habuit. μάτην (debebat μάταν) Scaliger] ἄτην, superscripto .α. Ineptit scholiasta vitiosa huius versus scriptura deceptus. 77. δούλιον ἐσᾶγον (ἐσ ἆγον M)] δούλειον ἐσᾶγον Portus. δούλιόν μ' ἐσᾶγον Coningtonus. 79. πρέποντ' ἀρχὰς (ἀρχαῖς Sophianus) βίου] Haec corrupta. πρέπον τύχαις βίου Schuetzius. In scholio ad v. 75. ἀπαρχάς, quod schol. ad v. 79. pro ἀπ' ἀρχᾶς accepit. 80. πικρὸν Victorius] πικρῶν 81. κρατούσῃ. δακρύω] Verba non integra, ut metri vitium prodit. 82. δεσποτᾶν Stanleius] δεσπόταν 83. παχνουμένη Turnebus] παχνουμένην 86. γένεσθε] γενέσθαι cum ε super αι M. 87. τύμβῳ] τύφω (unde τάφῳ Stanleius) M, adscripto ab manu antiqua, sed non διορθωτοῦ, οἶμαι τύμβῳ. χέουσα Turnebus] δὲ χέουσα 88. κατεύξωμαι Turnebus] κατεύξομαι 93. πέλανον] πελανόν M. 94. ἴσ' Bambergerus] ἔστ' 95. γε Stanleius] τε 97. ἐκχέασα D.] ἐκχέουσα 100. μεταίτιαι] μεταίτιοι Blomfieldus.

καὶ τόν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.
ΧΟ. αἰδουμένη σοι βωμόν ὡς τύμβον πατρὸς
λέξω, κελεύεις γάρ, τόν ἐκ φρενὸς λόγον.
ΗΛ. λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρός.
ΧΟ. φθέγγου χέουσα σεμνά τοῖσιν εὔφροσιν.
ΗΛ. τίνας δέ τούτους τῶν φίλων προσεννέπω;
ΧΟ. πρῶτον μέν αὑτὴν χὤστις Αἴγισθον στυγεῖ.
ΗΛ. ἐμοί τε καὶ σοὶ τἄρ' ἐπεύξωμαι τάδε;
ΧΟ. αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.
ΗΛ. τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;
ΧΟ. μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.
ΗΛ. εὖ τοῦτα κἀφρένωσας οὐχ ἥκιστά με.
ΧΟ. τοῖς αἰτίοις νῦν τοῦ φόνου μεμνημένη
ΗΛ. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.
ΧΟ. ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινα
ΗΛ. πότερα δικαστὴν ἢ δικηφόρον λέγεις;
ΧΟ. ἁπλῶς τι φράζουσ', ὅστις ἀνταποκτενεῖ·
ΗΛ. καὶ ταῦτά μούστὶν εὐσεβῆ θεῶν πάρα;
ΧΟ. πῶς δ' οὐ τόν ἐχθρόν ἀνταμείβεσθαι κακοῖς;
ΗΛ. κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω, 124a
ἄρηξον, Ἑρμῆ χθόνιε, κηρύξας ἐμοί, 124b
τούς γῆς ἔνερθε δαίμονας κλύειν ἐμάς
εὐχάς, πατρῴων δωμάτων ἐπισκόπους,
καὶ γαῖαν αὐτήν, ἣ τό πάντα τίκτεται,
θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει·
κἀγὼ χέουσα τάσδε χέρνιβας φθιτοῖς
λέγω καλοῦσα, "πάτερ, ἐποίκτειρόν τ' ἐμὲ
φίλον τ' Ὀρέστην πῶς ἀνάξομεν δόμοις.
πεπραμένοι γάρ νῦν γέ πως ἀλώμεθα
πρός τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
φεύγων Ὀρέστης ἐστίν, οἱ δ' ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
κατεύχομαί σοι, καὶ σὺ κλῦθί μου, πάτερ·
αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ
μητρός γενέσθαι χεῖρά τ' εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχάς τάσδε, τοῖς δ' ἐναντίοις
λέγω φανῆναί σου, πάτερ, τιμάορον,
καὶ τούς κτανόντας ἀντικατθανεῖν δίκην
⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ –
[ταῦτ' ἐν μέσῳ τίθημι τῆς κακῆς ἀρᾶς,
κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·]
ἡμῖν δὲ πομπός ἴσθι τῶν ἐσθλῶν ἄνω,
σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ."
τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χ·ός.
ὑμάς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος,
παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.
ΧΟ. ἵετε δάκρυ καναχὲς ὀλόμενον
ὀλομένῳ δεσπότᾳ,
πρὸς ἔρυμα τόδε κακῶν κεδνῶν τ'
ἀπότροπον ἄγος ἀπεύχετον
κεχυμένων χοᾶν. κλύε δέ μοι κλύε
σέβας, ὦ δέσποτ', ἐξ ἀμαυράς φρενός.
ὀτοτοτοτοτοτοτοτοῖ,
ἴτω τις δορυσθενὴς ἀνὴρ ἀναλυτὴρ δόμων,
Σκυθικό τ' ἐν χεροῖν παλίντον'
ἐν ἔργῳ βέλη 'πιπάλλων Ἄρης
σχέδιά τ' αὐτόκωπα νωμῶν ξίφη.
ΗΛ. ἔχει μὲν ἤδη γαπότους χοάς πατὴρ· 164
νέου δέ μύθου τοῦδε κοινωνήσατε. 166
ΧΟ. λέγοις ἄν· ὀρχεῖται δέ καρδία φόβῳ.
ΗΛ. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.
ΧΟ. τίνος ποτ' ἀνδρός, ἢ βαθυζώνου κόρης;
ΗΛ. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.
ΧΟ. πῶς οὖν παλαιά παρά νεωτέρας μάθω;
ΗΛ. οὐκ ἔστιν ὅστις πλὴν ἑνός κείραιτό νιν.
ΧΟ. ἐχθροὶ γάρ οἷς προσῆκε πενθῆσαι τριχί.
ΗΛ. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.
ΧΟ. ποίαις ἐθείραις; τοῦτο γάρ θέλω μαθεῖν.
ΗΛ. αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν
ΧΟ. μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦν τόδε;
ΗΛ. μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.
ΧΟ. καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;
ΗΛ. ἔπεμψε χαίτην κουρίμην χάριν πατρί.
ΧΟ. οὐχ ἧσσον εὐδάκρυτό μοι λέγεις τόδε,
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.
ΗΛ. κἀμοὶ προσέστη καρδίαν κλυδώνιον
χολῆς, ἐπαίσθην δ' ὡς διανταίῳ βέλει·
ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
σταγόνες ἄφαρκτοι δυσχίμου πλημμυρίδος,

Δ'

105. ἔχεις Iacobsius] ἔχοις 106. ΧΟ. Guelf.] Lineola in M. σοι] Probabilius τοι 109. ΧΟ. Guelf. om. M. 112. ἐπεύξωμαι Dobraeus] ἐπεύξομαι 115. 298. κεἰ] καὶ εἰ pr. M. 120. λέγεις] λέγω Weilius.

124 a. in M post 164. positum huc transposuit Hermannus. μέγιστε Stanleius] μεγιστη 124 b. ἄρηξον addidit Klausenus. ἄκουσον Schuetzius. 126. δωμάτων Stanleius] δ' ὀμμάτων M. αἰμάτων H. L. Ahrensius. 129. φθιτοῖς Hermannus] βροτοῖς, adscripta διορθωτοῦ coniectura γρ. νεκροῖς 130. *πάτερ Guelf.] πατέρ' ἐποίκτειρον] ἐποικτείροντ' Guelf.

131. πῶς ἀνάξομεν δόμοις] Ante haec verba parum apte praecedentibus ossa lacunam indicavit Hermannus. 132. πεπραμένοι Casaubonus] πεπραγμένοι ἀλώμεθα Victorius] ἀλώμεθα 136. φεύγων Robortellus] φεύγειν 137. τοῖσι σοῖς] τοῖς ἴσοις pr. M. πόνοισι Robortellus] πόνοισιν μέγα Turnebus] μέτα Post 144. unius versus defectum indicavit Weilius, cuius sensus fuerit τίνοντας ὧν ἔδρασαν ἀξίαν κακῶν. 144. ἀντικατθανεῖν] γρ. ἀντικατακτανεῖν margo M. ἀντικακτανεῖν δίκῃ Scaliger. In M σ post κτανόντας erasum. 145. 146. Seclusi versus spurios, quorum priorem notaverat Franckenus in Miscell. philol. Batavorum (Trai. 1854) p. 87 alterum Bothius.

147. τῶν Robortellus] των 152. ἵετε] ἴετε M.

154. Versus, ut sententia et metrum docent, corruptus. Neque enim κεδνων pro iambo haberi potest. 155. ἄγος Victorius (ἄγος Hermannus)] ἄλγος 156. κλῦε δέ μοι κλύε σεβάσω δέσποτα M. κλύε δέ μοι σέβας | κλύ', ὦ δέσποτ' Bambergerus. κεχυμένων χοᾶν δέ κλύε μοι καλού- | σᾳ σ', ὦ — Heimsoethius. 158. ὀτοτοτοτοτοτοτοτοῖ] ὀτοτοτοῖ τοτοῖ D. 159. Syllabae ἰὼ τίς δορυ— separato versu scriptae in M. ἴτω τις Bothius] ἰὼ τίς 160. Σκυθικά τ' ἐν Robortellus] σκυθι τά τ' M, ης ab διορθωτῇ super ι scripto. παλίντον'] Versus in fine defectus. 162. αὐτόκωπα] γρ. ἕτοιμα M. Est glossema. ξίφη Pauwius ex schol.] βέλη. quo servato Heimsoethius, Σκύθην χεροῖν παλιντόνοιν | ἐν ἔργῳ 'πιπάλλων Ἄρη —. 164. ΗΛ. addidit Turnebus, om. M, qui in sequentibus habet lineolas. γαπότους Turnebus] γαπότου 165. Vid. ad v. 124 a. 167. ἄν· ὀρχεῖται Turnebus] ἀνορχεῖται

172. ἑνός Dobraeus] ἐμοῦ κείραιτό νιν Turnebus] κείρετονειν, superscr. .ΝΙΝ. 177. ἦν Scholefieldus] ἢ M, non ἦι 180. ἔπεμψε χαίτην Victorius] ἔπεμψεν καὶ τὴν πατρί Turnebus] πατρός 181. οὐχ] οὐκ, superscr. χ, M. εὐδάκρυτα] αὖ δακρυτό Emperius. 182. ψαύσει] ηι super ει in M. 183. καρδίαν Heimsoethius] καρδίας M. καρδίᾳ Scaliger. 184. ἐπαίσθην Canterus] ἐπ' αισθην, erasa apostropho. Per ἐκρούσθην exp. schol. 186. in margine habet M a m. antiqua. ἄφαρκτοι D.] ἄφρακτοι πλημμυρίδος] Prius μ supra versum habet M. Et simplex μ τινές τῶν παλαιῶν probarunt ap. Eustath. p. 1640, 55.

πλόκαμον ἰδούσῃ τόνδε· πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο,
ἐμή γε μήτηρ, οὐδαμῶς δ' ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη.
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάϊσμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου — σαίνομαι δ' ὑπ' ἐλπίδος.
φεῦ.
εἴθ' εἶχε φωνὴν ἔμφρον' ἀγγέλου δίκην,
ὅπως δίφροντις οὖσα μὴ 'κινυσσόμην,
ἀλλ' ἢ σάφ' ἦν μοι τόνδ' ἀποπτύσαι πλόκον,
εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοί,
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην
στροβούμεθ'· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν.
καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον,
ποδῶν ὅμ ιοι τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς.
καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ ποδοῖν,
αὐτοῦ τ' ἐκείνου καὶ συνεμπόρου τινός.
πτέρναι τενόντων θ' ὑπογραφαὶ μετρούμεναι
ἐς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά.
ΟΡ. εὔχου τὰ λοιπά, τοῖς θεοῖς τελεσφόρους
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.
ΗΛ. ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;
ΟΡ. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.
ΗΛ. καὶ τίνα σύνοισθά μοι καλουμένη βροτῶν;
ΟΡ. σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην.
ΗΛ. καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
ΟΡ. ὅδ' εἰμί· μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον.
ΗΛ. ἀλλ' ἦ δόλον τιν', ὦ ξέν', ἀμφί μοι πλέκεις;
ΟΡ. αὐτὸς καθ' αὑτοῦ τἄρα μηχανορραφῶ.
ΗΛ. ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις.
ΟΡ. κἀν τοῖς ἐμοῖσιν, εἴπερ ἐν τοῖς σοῖς ἐγώ.
ΗΛ. ὡς ὄντ' Ὀρέστην ἆρα σ' ἐγὼ προσεννέπω;
ΟΡ. αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ,
κουρὰν δ' ἰδοῦσα τήνδε κηδείου τριχός,
ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς
σαυτῆς ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρᾳ,
ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ.
σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχός,
ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερός,
σπάθης τε πληγὰς ἠδὲ θήρειον γραφήν.
ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικρούς.
ΗΛ. ὦ φίλτατον μέλημα δώμασιν πατρός,
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσει πατρός.
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον
ἐμοί· προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον
πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον — ἡ δὲ πανδίκως ἐχθαίρεται —
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστὸς δ' ἀδελφὸς ἦσθ', ἐμοὶ σέβας φέρων.
μόνον κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ
πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό σοι.
ΟΡ. Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ·
ἰδοῦ δὲ γένναν εὖνιν ἀετοῦ πατρός,
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασιν
δεινῆς ἐχίδνης. τοὺς δ' ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελὴς
θήραν πατρῴαν προσφέρειν σκηνήμασιν.
οὕτω δὲ κἀμὲ τήνδε τ', Ἠλέκτραν λέγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καὶ τοῦ θυτῆρος καί σε τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας πόθεν
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ' ἀετοῦ γένεθλ' ἀποφθείρας πάλιν
πέμπειν ἔχοις ἂν σήματ' εὐπιθῆ βροτοῖς,
οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν
βωμοῖς ἀρήξει βουθύτοις ἐν ἤμασιν.
κόμιζ', ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.
ΧΟ. ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,

---

190. γε Porsonus] δὲ δ' addidit D. 195. ἔμφρον' Auratus] εὔφρον' 196. κινυσσόμην Turnebus] κηνυσσόμην M cum Hesychio s. h. v., apud quem et Photium est etiam κήνυγμα, ut hic quoque in annot. scholiastae. 197. ἢ Canterus] εὖ σάφ' ἦν μοι Schuetzius] σαφηνῆ 201—204. post 211. transposuit Weilius. 206. ποδῶν Turnebus] ποδῶν δ' (δ' in litura pro τ') ὅμοιοι D.] ὁμοῖοι 209. Ante hunc versum lacunam notavit Hermannus. 210. ἐς Robortellus] εἰς 212—225. Nulla in hac stichomythia personarum nomina in M, sed lineolae, excepto v. 219. cui praescriptum Ὀρ. Personarum notas rectas primus apposuit Canterus. 215. ἐξηύχου Robortellus] ἐξηύκου 216. σύνοισθα] σῦν οἶσθα pr. M. καλουμένη Turnebus] καλουμένη 217. ἐκπαγλουμένην Robortellus ex schol.] ἐκπαγλουμένης 219. *μάτευ' apogr. Guelf.] μάστευ' 221. καθ' αὑτοῦ Bothius] κατ' αὐτοῦ τ' ἄρα Robortellus] ταρρα 223. ἐμοῖσιν Victorius] ἐμοῖσιν ἄρ' ἐν τοῖς σοῖς ἐγώ D.] ἔν γε τοῖσι σοῖς (τοῖς ἴσοις pr.) 224. ἆρα σ' ἐγὼ D.] τάδ' ἐγώ σε προσεννέπω Auratus] προὐννέπω 225. οὖν Turnebus (ut primo scriptum fuerat in Guelf.)] νῦν 227—230. Versus in M hoc ordine lectos κουρὰν — | ἀνεπτερώθης — | ἰχνοσκοποῦσα — | σαυτῆς — κάρᾳ transposuit Robortellus. Heathius recte quidem ipse quoque versum tertium ante secundum posuit: sed verba σαυτῆς ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρᾳ nec quo Heathius voluit loco (post κουρὰν —) nec quod aliis placuit post σκέψαι — τριχός apta sunt, quum σύμμετρος non de colore, sed de mensura dicatur, ut apud Euripidem Electr. 532. σὺ δ' εἰς ἴχνος βᾶσ' ἀρβύλης σκέψαι βάσιν, | εἰ σύμμετρος σῷ ποδὶ γενήσεται, τέκνον. unde Paleius coniecit vulgatam scripturam interpolatori deberi, quem turbatus ordo versuum deceperit, Aeschyli vero verba fuisse ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς | σαυτῆς ἀδελφοῦ συμμέτροις τῷ σῷ ποδί.

229. σκέψαι τομῇ Turnebus] σκέψαιτο μὴ 232. ἠδὲ Turnebus] εἰς δὲ θήρειον Bambergerus] θηρίον

233—245. Hos versus sic transposuit Weilius praeeunte Rossbachio, 238—243. ΗΛ. ὦ τερπνὸν — φέρων. 233. 234. ΟΡ. ἔνδον — πικρούς. 235—237. 244. 245. ΧΟ. ὦ φίλτατον — ἀνακτήσει πατρός. μόνον κράτος — σοι, recte quod ad postrema attinet ὦ φίλτατον — σοι. 234. μὴ 'κπλαγῇς Turnebus] μήκπλαγιῆ 236. σπέρματος] τέρματος Mehlerus Mnemos. 6. p. 106. 237. ἀνακτήσει Porsonus] ἀνακτήσηι 238. ἔχον] νέμον D. 244. μόνον Turnebus] μόνος

245. σοι Stanleius] μοι 246. ΟΡ. addidit Robortellus. πραγμάτων Robortellus] πρηγμάτων

247. γένναν εὖνιν αἰετοῦ Turnebus] γέννα, νιν αἰετοῦ 248. *σπειράμασιν Guelf.] σπιράμασιν 250. ἐντελὴς] ἐντελεῖς Pauwius. 251. θήραν πατρῴαν Robortellus ex scholio] θῆρα πατρῶα 252. λέγω Ald.] ἐγώ 255—263. Electrae tribuit Hermannus.

257. εὔθοινον] εὔθυνον, sed οι superscr. ab διορθωτῇ. Utrumque explicat schol. 259. εὐπιθῆ] εὐπειθῆ, sed ι superscr. 262. δ' ἂν ἄρειας Turnebus] δαναρίας 264. ΧΟ. Robortellus (Ὀρ. Guelf.) Lineola in M.

σιγᾶθ', ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ' ἐγώ ποτε
θανόντας ἐν κηκῖδι πισσήρει φλογός.
ΟΡ. οὔτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμὸς κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ καὶ δυσχειμέρους
ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους·
[τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων,
ἀποχρημάτοισι ζημίαις ταυρούμενον·
αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε
τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα
βροτοῖς πιφαύσκων εἶπε, τὰς δὲ νῷν νόσους,
σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις
λειχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν·
λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ·
ἄλλας τ' ἐφώνει προσβολὰς Ἐρινύων
ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας,
ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρύν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος
ἐκ προστροπαίων ἐν γένει πεπτωκότων,
καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει, καὶ διώκεσθαι πόλεως
χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός,
βωμῶν τ' ἀπείργειν οὐχ ὁρωμένην πατρὸς
μῆνιν· δέχεσθαι δ' οὔτε συλλύειν τινά.
πάντων δ' ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ
κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ.]
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι,
κεἰ μὴ πέποιθα, τοὔργον ἔστ' ἐργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαὶ καὶ πατρὸς πένθος μέγα,
καὶ πρὸς πιέζει χρημάτων ἀχηνία,
τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενί,
δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν.
θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ' εἴσεται.
ΧΟ. ἀλλ' ὦ μεγάλαι Μοῖραι, Διόθεν
τῇδε τελευτᾶν,
ᾗ τὸ δίκαιον μεταβαίνει.
ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
γλῶσσα τελείσθω· τοὐφειλόμενον
πράσσουσα Δίκη μέγ' ἀϋτεῖ·
ἀντὶ δὲ πληγῆς φονίας φονίαν
πληγὴν τινέτω. δράσαντι παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.
ΟΡ. ὦ πάτερ αἰνοπαθές, τί σοι φάμενος ἢ τί ῥέξας
τύχοιμ' ἂν καθ' ἓν οὐρίσας ἔνθα σ' ἔχουσιν εὐναί;
σκότῳ φάος ἀντίμοιρον,
χάριτες δ' ὁμοίως
κέκληνται γόος εὐκλεὴς προσθοδόμοις Ἀτρείδαις.
ΧΟ. τέκνον, φρόνημα τοῦ θανόντος οὐ δαμάζει
πυρὸς μαλερὰ γνάθος,
φαίνει δ' ὕστερον ὀργάς· [πτων.
ὀτοτύζεται δ' ὁ θνήσκων, ἀναφαίνεται δ' ὁ βλά-
πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει
τὸ πᾶν ἀμφιλαφὴς ταραχθείς.
ΗΛ. κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει πολυδάκρυτα πένθη.
· δίπαις τοί σ' ἐπιτύμβιος θρῆνος ἀναστενάζει.
τάφος δ' ἱκέτας δέδεκται
φυγάδας θ' ὁμοίως.
τί τῶνδ' εὖ, τί δ' ἄτερ κακῶν, οὐκ ἀτρίακτος ἄτα;
ΧΟ. ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων
θείη κελάδους εὐφθογγοτέρους·
ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων
παιὰν μελάθροις ἐν βασιλείοις
νεοκρᾶτα φίλον κομίσειεν.
ΟΡ. εἰ γὰρ ὑπ' Ἰλίῳ
πρός τινος Λυκίων, πάτερ,
δορίδματος κατηναρίσθης,
λιπὼν ἂν εὔκλειαν ἐν δόμοισιν
τέκνων τ' ἐν κελεύθοις ἐπιστρεπτὸν αἰῶ

315—322. = 332—339.
323—331. = 354—362.

---

269. ΟΡ. uddlait Robortelias. οὔτοι Turnebus] οὔτι 271. κἀξορθιάζων Turnebus] κἀξοθριάζων 273. Inepte dictum τοῦ πατρὸς τοὺς αἰτίους. πατρὸς pro φόνου illatam videtur ab interpolatore vetere qui versus 274—296. composuit, quos seclusi: de quo dixi in Praef. edit. Lips. quintae p. XCIII. 275. ἀποχρημάτοισι Schuetzius] ἀπόχρηματοῖσι, accentu super o a m. recentiore. 279. νῷν νόσους] νωνόσσους pr. M, ν post νων ab διορθωτῇ inserto. 280. *ἐπαμβατῆρας Guelf.] ἐπάμβατῆρας. ἐπεμβατῆρας Auratus. 281. λειχῆνας Blomfieldus] λιχῆνας 282. Hunc versum afferunt Etym. M. p. 530, 51. Etym. Gud. p. 338. Zonaras p. 1236. unde ἐπαντέλλειν restitutam pro ἐπαντέλλει 284. τ' ἐφώνει Auratus] τε φωνεῖ. Post hunc versum aonaalla exeidisse coniecit Dobraeus: trium versuum lacunam notavit Weilius. 285. ὀφρὺν] ὀφρῦν M. 289. διώκεσθαι] διώκεται Robortellus. 290. πλάστιγγι] Etym. M. p. 674, 20. πλάστιγξ: ἡ μάστιξ, (sic etiam Hesychius) ἀπὸ τοῦ πλήσσειν, παρ' Αἰσχύλῳ. 291. κρατῆρος Robortellus] κρατερὸς μέρος] μέρους Robortellus. 292. λιβὸς Turnebus] λίβος· 294. In M post δέχεσθαι litera erasa, quae δ' fuisse videtur, quod ex coniectura restituit Schuetzius. Ad συλλύειν διορθωτὴς in marg. scripsit συγκλύειν (i. e. συγκαταλύειν), συνοικεῖν 297. ἆρο Stanleius] ἄρα 299. συμπίτνουσιν pr. M, ab alia manu antiqua in συμπίπτουσιν mutatum. 301. πρὸς πιέζει Abreschius] προσπιέζει

305. εἰ δὲ μή] ἡ δ' ἐμὴ — cum uposiopesi Weilius, praeeunte viro docto in Museo Rhen. vol. 10. p. 462. qui εἰ δ' ἐμὴ coniecerat. 306. ΧΟ. addidit Robortellus. 311. δίκη μέγ' ἀϋτεῖ Turnebus] δικημεγαῦτι (sic, non —τῖ) priore a lineola transfixo et adscripto in marg. ab διορθωτῇ, οἶμαι μέγ' ἀϋτεῖ. 315. ΟΡ. addidit Turnebus. Non est in M. αἰνοπαθὲς Hartungus (quod legisse videri potest schol. qui exp. δεινὰ παθών)] αἰνόπατερ 317. καθ' ἓν D.] καθεν, superscripta ab διορθωτῇ litera ἑ, i. e. ἕκαθεν. σέθεν Heimsoethius. 319. ἀντίμοιρον Erfurdtius] ἰσοτιμοιρον sine accentu. 323. ΧΟ. addidit Turnebus. 325. μαλερὰ Porsonus] ἡ μαλερὰ 327. *θνήσκων] θνήισκων, ut alibi. 330. καὶ τεκόντων] κατθανόντων Hartungus. καππεσόντων Weilius. γόος ἔνδικος — τὸ πᾶν] κότος ἔνδικον — ῥοπὰν (sic Lachmannus) Weilius. 332. ΗΛ. Guelf.] Lineola in M. κλῦθί νυν Canterus] κλῦθι νῦν 334. δίπαις] Ὀρέ. δίπαις Guelf. Lineola in M. τοί σ' ἐπιτύμβιος Hermannus] τοῖς ἐπιτυμβιδίοις *ἀναστενάζει Guelf.] ἀναστενάξει 338. ἄτερ] ἀρ pr. M, sed ab eadem m. correctum. 340. ΧΟ. Turnebus] Lineola in M. 341. θείη Turnebus] θῆη 343. παιὰν Blomfieldus] παίων 344. κομίσειεν Porsonus] κομίζει 345. ΟΡ. Hermannus] Lineola in M. Ἰλίῳ] εἰλίωι pr. M. 347. δορίδμητος (debebat δορίδματος) Stanleius] δορίτμητος M. δορίκμητος Blomfieldus. κατηναρίσθης Porsonus] κατεναρίσθης 350. τ' ἐν Wellauerus] τε αἰῶ H. L. Ahrensius] αἰῶνα. Bekkeri Anecd. p. 363, 17. αἰῶ τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν.

κτίσας πολύχωστον ἂν εἶχες
τάφον διαποντίου γᾶς
δώμασιν εὐφόρητον.
ΧΟ. φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσιν
κατὰ χθονὸς ἐμπρέπων
σεμνότιμος ἀνάκτωρ,
πρόπολός τε τῶν μεγίστων χθονίων ἐκεῖ τυράννων·
βασιλεὺς γὰρ ἦν, ὄφρ᾽ ἔζη, μόριμον λάχος περαίνων
χεροῖν πεισιβρότῳ τε βάκτρῳ.
ΗΛ. μηδ᾽ ὑπὸ Τρωίας
τείχεσι φθίμενος πατὴρ
μετ᾽ ἄλλων δουρικμῆτι λαῷ
παρὰ Σκαμάνδρου πόρον τεθάφθαι,
πάρος δ᾽ οἱ κτανόντες νιν οὕτω δαμῆναι
⏑ ⏗ θανατηφόρον αἶσαν
πρόσω τινὰ πυνθάνεσθαι
τῶνδε πόνων ἄπειρον.
ΧΟ. ταῦτα μέν, ὦ παῖ, κρείσσονα χρυσοῦ,
μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
μείζονα φωνεῖς· δύνασαι γάρ.
ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης
δοῦπος ἱκνεῖται· τῶν μὲν ἀρωγοὶ
κατὰ γῆς ἤδη, τῶν δὲ κρατούντων
χέρες οὐχ ὅσιαι στυγερῶν τούτων,
παισὶ δὲ μᾶλλον γεγένηται.
ΟΡ. τοῦτο διαμπερὲς οὖς
ἵκεθ᾽ ἅπερ τι βέλος.
Ζεῦ Ζεῦ, κάτωθεν ἀμπέμπων
ὑστερόποινον ἄταν
βροτῶν τλάμονι καὶ πανούργῳ
χειρί, τοκεῦσι δ᾽ ὅμως τελεῖται.

345—353. = 363—371.
380—384. = 394—399.
385—393. = 410—417.

ΧΟ. ἐφυμνῆσαι γένοιτό μοι πυκάεντ᾽ ὀλολυγμὸν ἀνδρὸς
θεινομένου, γυναικός τ᾽
ὀλλυμένας, τί γὰρ κεύθω φρενὸς οἶον ἔμπας
ποτᾶται, πάροιθεν δὲ πρῴρας
δριμὺς ἄηται κραδίας
θυμὸς ἔγκοτον στύγος.
ΟΡ. καὶ πότ᾽ ἂν ἀμφιθαλὴς
Ζεὺς ἐπὶ χεῖρα βάλοι,
φεῦ φεῦ, κάρανα δαΐξας;
πιστὰ γένοιτο χώρᾳ.
δίκαν δ᾽ ἐξ ἀδίκων ἀπαιτῶ.
κλῦτε δὲ τὰ χθονίων τιτῆναι.
ΧΟ. ἀλλὰ νόμος μὲν φονίας σταγόνας
χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν
αἷμα. βοᾷ γὰρ λοιγὸς Ἐρινὺν
παρὰ τῶν πρότερον φθιμένων ἄτην
ἑτέραν ἐπάγουσαν ἐπ᾽ ἄτῃ.
ΗΛ. ποῖ ποῖ δὴ νερτέρων τυραννίδες;
ἴδετε πολυκρατεῖς ἀραὶ φθιμένων,
ἴδεσθ᾽ Ἀτρειδᾶν τὰ λοίπ᾽ ἀμηχάνως
ἔχοντα καὶ δωμάτων
ἄτιμα. πᾷ τις τράποιτ᾽ ἄν, ὦ Ζεῦ;
ΧΟ. πέπαλται δ᾽ αὖτέ μοι φίλον κέαρ τόνδε κλύουσαν οἶκτον.
καὶ τότε μὲν δύσελπις,
σπλάγχνα δέ μοι κελαινοῦται πρὸς ἔπος κλυούσᾳ.
ὅταν δ᾽ αὖτ᾽ ἐπαλκὲς
θραρέαπέστασεν ἄχος
πρὸς τὸ φανεῖσθαί μοι καλῶς.

405—409. = 418—422.

351. κτίσας Robortellus] κτίσσας idque in fine versus 350. 352. διαποντίου γᾶς Turnebus] διαποντιουτασ at in marg. ζτ. (i. e. ζήτει) 354. ΧΟ. addidit Hermannus. 360. ἦν] σ super ν (i. e. ἦσ) in M. ὄφρ᾽ ἔζη Hermannus] ὄφρα ἔζης, ε ab eadem vel alia manu inserto. περαίνων D. in Fleckeiseni Annalibus vol 97. p. 79.] πιμπλάντων, ortum ex gl. πιμπλάνων 362. πεισιμβρότῳ (debebat πεισιβρότῳ) τε βάκτρῳ Schuetzius] πισίμβροτόν τε βάκτρον 363. ΗΛ. addidit Hermannus. Τρωΐας] Τρωΐοις Hermannus. 364. τείχεσι Heathius] τείχεσαι πατὴρ Heimsoethius] πάτερ 365. ἄλλων] ἄλλῳ Stanleius. δουρικμῆτι Blomfieldus] δορικμῆτι 366. τεθάφθαι H. L. Ahrensius] τέθαψαι, adscripto λείπει τὸ ὤφελες, quod aptum est infinitivo τεθάφθαι. 368. οὕτω Porsonus] οὕτως δαμῆναι] Schol. λείπει τὸ ὄφελον 369. ⏑ ⏗] φίλοις Coningtonus. 370. πρόσω Hermannus] πρόσσω 372. ΧΟ. addidit Turnebus. 374. φωνεῖς· δύνασαι Hermannus] φωνεῖ· ὁ (sic, non ὃ) δυνᾶσαι. δύνασαι legit schol. qui annotavit ῥᾴδιον γὰρ τὸ εὔχεσθαι. 375. μαράγνης Robortellus] μαράγμης (cum gl. μάστιγος) 377. γῆς] ᾶ superscr. in M. τῶν δὲ Ald.] τῶνδε 378. τούτων] τούτῳ Bambergerus. 379. γεγένηται] γεγένηνται Boissonadius. 380. ΗΛ. addidit Robortellus ex schol.: ΟΡ. Bothius. διαμπερὲς οὖς Schuetzius] διαμπερισῶς pr. M, sed ab eadem manu διαμπερὲς ὡς (non ὧς) 380 b. ἵκεθ᾽ Hermannus] ἵκετο τι L. Dindorfius in Thes. vol. 5. p. 1271.] τε 382. ἄταν] ἄτην, superscr. α M. 383. τλάμονι D.] τλήμονι 384. τοκεῦσι δ᾽ ὅμως τελεῖται] Schol. ἵνα τὸ ὅμοιον καὶ ἴσον τῷ πατρί μου φυλαχθῇ: unde Scaliger τοκεῦσιν ὅπως τελῆται. τοκεῦσι δ᾽ ὁμῶς τελοῖτο Boissonadius. 385. ΧΟ. addidit Turnebus.

386. πυκάεντ᾽ D. in Thes. vol. 6. p. 1025.] πευκήεντ᾽. Digna tamen memoratu aliorum est sententia, qui servato πευκάεντ᾽ duas in stropha syllabas post γένοιτό μοι et duas in antistropha v. 410. post κέαρ excidisse putant, et in stropha quidem πυρᾷ, quod coniecit Paleius, in antistropha οἰκτρόν, quod proposuit Hermannus, cui δεινόν praeferendum foret vel aliud vocabulum ab litera consonante incipiens, ut altera vocabuli κέαρ syllaba producatur. 387. θεινομένου — ὀλλυμένας] θινομένου — ὀλλυμένης M, sed superscr. ει et α. 389. οἶον Hermannus] θεῖον 390. πρώιρας M, i. e. πρῷρος. 391. ἄηται] Hom. Il. 21, 386. δίχα δὲ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄηται comparavit Klausenus. κραδίας Hermannus] καρδίας 394. ΟΡ. addidit Bothius. καὶ πότ᾽ M a m. pr., καὶ ποτ᾽ correctus. 399. τὰ (i. e. ταῦτα. κλῦτε τάδε Blomfieldus) χθονίων τιτῆναι (τιτηνά olim Hermannus) Martinus] ταχθονιων τε τιμαι, scripto ab διορθωτῇ ἐν super μ, i. e. τετιμένοι. 400. ΧΟ. addidit Hermannus. ἀλλὰ νόμος Turnebus] ἀλλ᾽ ἄνομος 402. λοιγὸς Ἐρινὺν Schuetzius] λοιγὸν ἐρινὺς 403. πρότερον Porsonus] προτέρων ἄτην] .α. (i. e. ἄταν) superscr. in M. 405. ΗΛ. Hermannus. ΟΡ. Schuetzius. 406. φθειμένων M, ι super ει scripto. φθινομένων Ahrensius. τεθυμένων Hermannus. 407. Ἀτρειδᾶν] ἀτρειδαν pr. M. λοίπ᾽] λοιπά pr. M. 409. πετιστραποιταν M, adscripto ζτ. (i. e. ζήτει). Correxit διορθωτής adscripto in marg. οἶμαι πᾶι τις τράποιτ᾽ ἂν 410. ΧΟ. addidit Hermannus. ΗΛ. Robortellus. πέπαλται Turnebus] πεπάλατε, sed αι super τε. 414. μοι Schuetzius] μου κλυούσᾳ] κλύουσαν pr., κλυούσαι corr. 415. Ante vel post ἐπαλκὲς (quod per ἰσχυροποιόν exp. schol.) desiderantur syllabae tres ⏑ ⏗ —. ὅταν δ᾽ αὖτ᾽ ἐπ᾽ ἀλκᾶς ἐπάρῃ (μ᾽ addit Coningtonus) ἐλπὶς (sic Blomfieldus), ἀπέστασεν ἄχος Paleius. 416. Corruptae scripturae θραρέαπέστασεν (θρασέ᾽ ἀπέστασεν Turnebus) incerta est emendatio. 417. πρὸς τὸ φανεῖσθαί μοι καλῶς] Scripturam corruptam vel glossematis interpolatam interpretatur scholiasta verbis πρὸς τὸ καλά μοι ἐννοεῖν. Requiruntur syllabae septem ⏗ ⏑ — ⏑, ⏗ ⏑ —.

ΟΡ. τί δ' ἄν φάντες τύχοιμεν ἤ τά περ
πάθομεν ἄχεα πρός γε τῶν τεκομένων;
πάρεστι σαίνειν, τά δ' οὔτι θέλγεται.
λύκος γάρ ὥστ' ὠμόφρων
ἄσαντος ἐκ ματρός ἐστι θυμός.
ΗΛ. ἔκοψα κομμόν Ἄριον εἴτε Κισσίας
νόμοις ἰηλεμιστρίας,
ἀπρικτόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν
ἐπασσυτεροτριβῆ τά χερός ὀρέγματα
ἄνωθεν ἀνέκαθεν, κτύπῳ δ' ἐπερρόθει
κροτητόν ἀμόν καί πανάθλιον κάρα.
ἰὼ ἰὼ δαΐα
πάντολμε μᾶτερ, δαΐαις ἐν ἐκφοραῖς
ἄνευ πολιτᾶν ἄνακτ',
ἄνευ δέ πενθημάτων
ἔτλας ἀνοίμωκτον ἄνδρα θάψαι.
ΟΡ. τό πᾶν ἀτίμως ἔλεξας, οἴμοι.
πατρός δ' ἀτίμωσιν ἄρα τίσει
ἕκατι μέν δαιμόνων,
ἕκατι δ' ἀμᾶν χερῶν.
ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.
ΧΟ. ἐμασχαλίσθη δ', ἔθ' ὡς τόδ' εἰδῇς,
ἔπρασσε δ' ἅπερ νιν ὧδε θάπτει,
μόρον κτίσαι μωμένα
ἄφερτον αἰῶνι σῷ.
κλύεις πατρῴους δύας ἀτίμους.
ΗΛ. λέγεις πατρῷον μόρον· ἐγὼ δ' ἀπεστάτουν
ἄτιμος, οὐδέν ἀξία.
μυχοῦ δ' ἄφερκτος πολυσινοῦς κυνός δίκην
ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,
χέουσα πολύδακρυν γόον κεκρυμμένον.
τοιαῦτ' ἀκούων ἐν φρεσίν γράφου ⏑ –.

423—433. = 444—455.
434—438. = 439—443.

⏑ – δι' ὤτων δέ συν-
τέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει.
τά μέν γάρ οὕτως ἔχει,
τά δ' αὐτός ὄργα μαθεῖν.
πρέπει δ' ἀκάμπτῳ μένει καθήκειν.
ΟΡ. σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις.
ΗΛ. ἐγὼ δ' ἐπιφθέγγομαι κεκλαυμένα.
ΧΟ. στάσις δέ πάγκοινος ἅδ' ἐπιρροθεῖ,
ἄκουσον ἐς φάος μολών,
ξύν δέ γενοῦ πρός ἐχθρούς.
ΟΡ. Ἄρης Ἄρει ξυμβαλεῖ, Δίκα Δίκᾳ.
ΗΛ. ἰὼ θεοί, κραίνετ' ἐνδίκως δίκας.
ΧΟ. τρόμος μ' ὑφέρπει κλύουσαν εὐγμάτων.
τό μόρσιμον μένει πάλαι,
εὐχομένοις δ' ἄν ἔλθοι.
ΗΛ. ὦ πόνος ἐγγενής
καί παράμουσος ἄτας
αἱματόεσσα πλαγά.
ἰὼ δύστον' ἄφερτα κήδη·
ἰὼ δυσκατάπαυστον ἄλγος.
ΟΡ. δώμασιν ἔμμοτον
τῶνδ' ἄκος, οὐδ' ἀπ' ἄλλων
ἔκτοθεν, ἀλλ' ἀπ' αὐτῶν
δι' ὠμάν ἔριν αἱματηράν.
θεῶν τῶν κατά γᾶς ὅδ' ὕμνος.
ΧΟ. ἀλλά κλύοντες, μάκαρες χθόνιοι,
τῆσδε κατευχῆς πέμπετ' ἀρωγήν
παισίν προφρόνως ἐπί νίκῃ.
ΟΡ. πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανών,
αἰτουμένῳ μοι δός κράτος τῶν σῶν δόμων.
ΗΛ. κἀγώ, πάτερ, τοιάνδε σου χρείαν ἔχω,
φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ ⏑ –.
ΟΡ. οὕτω γάρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν
κτιζοίατ'· εἰ δέ μή, παρ' εὐδείπνοις ἔσει
ἄτιμος ἐμπύροισι κνισωτοῖς χθονός.
ΗΛ. κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
οἴσω πατρῴων ἐκ δόμων γαμηλίους·
πάντων δέ πρῶτον τόνδε πρεσβεύσω τάφον.
ΟΡ. ὦ γαῖ', ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.

456—460. = 461—465.
466—470. = 471—475.

418. ΟΡ. Bothius. ΗΛ. (418—443.) Schuetzius: φάντες τύχοιμεν Bothius] πάντες τύχοιμεν ἄν ἤ τάπερ] οἷάπερ Weilius. 419. ἄχεα Blomfieldus] ἄχθεα 423. ΗΛ. addidit Bothius. Ἄριον Hermannus] ἄρειον. Per Περσικόν exp. schol. εἴτε] ἔν τε Bothius.
Κισσίας Robortellus] κισσίαις 424. νόμοις ἰηλεμιστρίας Hermannus (collata Hesychii gl. ἰηλεμιστρίας: θρηνητρίας)] νομοισιλεμιστρίας 425. ἀπρικτόπληκτα Blomfieldus] ἀπριγκτοι πληκτά (ἀπριγκτόπληκτα Scaliger). ἀπριγδόπληκτον Weilius. V. L. Dindorfius in Thes. vol. I. part. 2. p. 1814. πολυπλάνητα Blomfieldus] πολυπάλαγκτα (πολύπλαγκτα pr.) δ' ἦν Robortellus (τ' ἦν Hermannus)] δὴν ἰδεῖν] εἰδεῖν, sed ι superscr. 427. ἐπερρόθει Stanleius] ἐπιρροθεῖ 428. ἀμόν et 437. ἀμᾶν D.] ἀμόν—ἀμῶν 430. μᾶτερ Schuetzius] μητερ 433. ἔτλας D.] ἔτλης 434. ΟΡ. addidit Robortellus. 435. ἄρα pr. M, ἆρα corr. adscripto ab διορθωτῆ in marg. οἶμαι πατρός δ' ἀτίμως σ' ἆρα τίσει. 438. ζτ. (i. e. ζήτει) margo M. ὀλοίμαν Turnebus] ἐλοίμαν, ex ἐλοίμην factum. 439. ΧΟ. addidit Odofr. Muellerus. ἐμασχαλίσθη Robortellus] ἐμασχαλίσθης δ' ἔθ' ὡς τοῦτ' (debebat τόδ' ut Pauwius) εἰδῇς Canterus] δέ τωστοστεἰδης 440. ἅπερ Schuetzius] ἀπερ. In marg. huius proximique versus ζτ. (i. e. ζήτει) 441. κτίσαι Stanleius] κτεῖναι, litora ν in litura a m. rec. 442 ἄφερτον Turnebus] ἄφερκτον 443. κλύεις Turnebus] κλύει δύας ἀτίμους Stanleius] δυσατίμους 444. ΗΛ. addidit Odofr. Muellerus. 447 πολυσινοῦς Blomfieldus] πολυσίνους, eraso altero σ. ἀρισίνου Heimsoethius. δίκην D.] δίκαν 449. χέουσα Dobraeus] χ.ρουσα, ε expuncto et αι (i. e. χαίρουσα) superscripto. κεκρυμμένον D.] κεκρυμμένα 450. φρεσίν Robortellus] φρεσαίν (ut ὀνείδεσσιν 495.). Duae in fine huius et in initio versus proximi (cui γράφου addit M) syllabae exciderunt.

451. δέ συν —] δέ σῶν Blomfieldus. δ' ἔσω Bambergerus. 452. μῦθον] θυμόν Engerus. φρενῶν Turnebus] φρονῶν 454. αὐτός] αὐτοῖς pr. M, eraso ι. τά δ' αὖθις ὥρα μαθεῖν Weilius. ὄργα Scaliger] ὀργᾷ M. Utrumque exp. schol. ὁρμᾷ Bambergerus. 455. πρέπει] πρέπεισ pr. M, sed eraso σ. 456—478. 481—488. Nullae in M personarum notae. 456. φίλοις Porsonus] φίλοισι 458. ἅδ' Robortellus] ἀδ' 461. ξυμβαλεῖ Pauwius] ξυμβάλλει M. ξυμβάλοι Porsonus.
δίκα δίκᾳ Robortellus] δικα (sic, ι supra versum scripto) δίκα 462. δίκας addidit Hermannus (κρίσιν Weilius). 466. 471. ΗΛ et ΟΡ. addidit Paleius.
466. ὦ Hermannus] ἰὼ 467. ἄτας D.] ἄτης 468. πλαγά] πληγῆ M, sed superscr. duplici α 472. τῶνδ' ἄκος Schuetzius] τῶν δ' ἑκάς 474. δι' ὠμάν ἔριν Klausenus] αιωμανσιρειν M. ἔριν ex interpretatione schol. restituerat Hermannus, qui διώκειν ἔριν scripsit.
475. τῶν addidit Hermannus. 478. νίκῃ Portus] νίκην 479. ΟΡ. Robortellus] ΗΛ. 480. αἰτουμένῳ Turnebus] αἰτούμενος 481. τοιάνδε Canterus] τοιάδε 482. ⏑ –] φθόρον Hermannus. Probabilius πόνον Engerus in Museo Rhon. vol. 11. p. 309. 483. ΟΡ. addidit Tyrwhittus. 484. 495. ἔσει et ἐξεγείρει Porsonus] ἔσῃ at ἐξεγείρῃ 485. ἐμπύροισι Auratus] ἐν πυροῖσι 486. ΗΛ. addidit Robortellus. 489—495. Ὀρ. et ἠλ. in Guelf., lineolae in M.

ΗΛ. ὦ Περσέφασσα, δὸς δ' ἐπ' εὔμορφον κράτος.
ΟΡ. μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ.
ΗΛ. μέμνησο δ' ἀμφίβληστρον ᾧ σ' ἐκαίνισαν,
ΟΡ. πέδαις ἀχαλκεύτοις δ' ἠρέθης, πάτερ,
ΗΛ. αἰσχρῶς τε βουλευταῖσιν ἐν καλύμμασιν.
ΟΡ. ἆρ' ἐξεγείρει τοῖσδ' ὀνείδεσιν, πάτερ;
ΗΛ. ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;
ΟΡ. ἤτοι δίκην ἴαλλε σύμμαχον φίλοις,
ἢ τὰς ὁμοίας ἀντίδος λαβὰς λαβεῖν,
εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις.
ΗΛ. καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς, πάτερ,
ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ·
οἴκτειρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόον.
ΟΡ. καὶ μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε.
οὕτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών·
παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι
θανόντι· φελλοὶ δ' ὣς ἄγουσι δίκτυον,
τὸν ἐκ βυθοῦ κλωστῆρα σῴζοντες λίνου.
ΗΛ. ἄκου', ὑπὲρ σοῦ τοιάδ' ἔστ' ὀδύρματα.
αὐτὸς δὲ σῴζει τόνδε τιμήσας λόγον.
ΧΟ. καὶ μὴν ἀμεμφῆ τόνδ' ἐτεινάτην λόγον,
τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.
τὰ δ' ἄλλ', ἐπειδὴ δρᾶν κατώρθωσαι φρενί,
ἔρδοις ἂν ἤδη δαίμονος πειρώμενος.
ΟΡ. ἔσται· πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου,
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου
μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος;
θανόντι δ' οὐ φρονοῦντι δειλαία χάρις
ἐπέμπετ'· οὐκ ἔχοιμ' ἂν εἰκάσαι τάδε
τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας.
τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος
ἑνός, μάτην ὁ μόχθος· ὧδ' ἔχει λόγος.
θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε.
ΧΟ. οἶδ', ὦ τέκνον, παρῆ γάρ· ἔκ τ' ὀνειράτων
καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.
ΟΡ. ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ' ὀρθῶς φράσαι;
ΧΟ. τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει.
ΟΡ. καὶ ποῖ τελευτᾷ καὶ καρανοῦται λόγος;
ΧΟ. ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην.
ΟΡ. τίνος βορᾶς χρῄζοντα, νεογενὲς δάκος;
ΧΟ. αὐτὴ προσέσχε μαστὸν ἐν τὠνείρατι.
ΟΡ. καὶ πῶς ἄτρωτον οὖθαρ ἦν ὑπὸ στύγους;
ΧΟ. ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.
ΟΡ. οὔτοι μάταιον ἂν τόδ' ὄψανον πέλοι.
ΧΟ. ἡ δ' ἐξ ὕπνου κέκλαγγεν ἐπτοημένη.
πολλοὶ δ' ἀνῆθον, ἐκτυφλωθέντες σκότῳ,
λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν·
πέμπει τ' ἔπειτα τάσδε κηδείους χοάς,
ἄκος τομαῖον ἐλπίσασα πημάτων.
ΟΡ. ἀλλ' εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ
τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον.
κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν.
εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλιπὼν ἐμοὶ
οὔφις ἐμοῖσι σπαργάνοις ὡπλίζετο,
καὶ μαστὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον,
θρόμβῳ τ' ἔμιξεν αἵματος φίλον γάλα,
ἡ δ' ἀμφὶ τάρβει τῷδ' ἐπῴμωξεν πάθει,
δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ' ἐγὼ
κτενῶ νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.
τερασκόπον δὲ τῶνδέ σ' αἱροῦμαι πέρι.
ΧΟ. γένοιτο δ' οὕτως. τἄλλα δ' ἐξηγοῦ φίλοις.
ΟΡ. ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω,
τοὺς δ' ἔν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγω.
αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς,
ὡς ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον
δόλῳ τε καὶ ληφθέντες ἐν ταὐτῷ βρόχῳ
θάνωσιν, ᾗ καὶ Λοξίας ἐφήμισεν,
ἄναξ 'Απόλλων, μάντις ἀψευδὴς τὸ πρίν.
ξένῳ γὰρ εἰκώς, παντελῆ σαγὴν ἔχων,
ἥξω σὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας

490. δὸς δ' ἐπ' εὔμορφον (vel δὸς δὲ σύμμορφον) D.] δὸς δέ τ' εὔμορφον. Aptissimum forst δὸς τελεσφόρον κράτος. 493. πέδαις — ὅθ' ἠρέθης D.] πέδαις δ' — ἐθηρεύθης 494. ἐν καλύμμασιν] ἐγκαλύμμασιν Portus. 497. ΟΡ. addidit Tyrwhittus. 498. λαβὰς Canterus] βλάβας M. ἢ τὰς ὁμοίας αὐτὸς ἀντίδος βλάβας Weilius. 500—513. Personarum notas om. M, addiderunt Hermannus aliique. 502. γόον Bambergerus] γόνον 503. 505—507. Oresti, 504. 508. 509. et versum 511. post 509. transpositum Electrae tribuit Hermannus, 503. 504. 508. 509. Oresti, 505—507. Electrae Weilius. 507. λίνου pr. M, λίνον a m. rec., λίνῳ ap. Clem. Al. Strom. 2. p. 504. 509. σῴζει Porsonus] σώζηι 510. ΧΟ. addidit Hermannus. ἀμεμφῆ τόνδ' ἐτείνατον (ἐτεινάτην Blomfieldus) Hermannus] ἀμομφητονδετινατον, adscripto ζτ. 513. ἔρδοις Ald.] ἔρδοις 514. ΟΡ. addidit Robortellus. 517. θανόντι Pauwius] θανοῦντι 519. μείω Turnebus] μέαω 521 et 522. ζτ. margo M. 522. οἶσθ' ἐμοὶ Turnebus] α' (σ' erasum) οἰοθέμοι, α super ε scripto. 523. ΧΟ. addidit Robortellus. παρῆ Porsonus (παρῆν Canterus)] πάρει, sed ει in litura, et in marg. γρ. παρῆς 526—553. Personas notavit Robortellus: in M partim lineolae (v. 526. 527. 528 et inde 551.) partim nulla nota. 526. πέπυσθε] πέπυσθαι pr. M. 529. σπαργάνοισι — αὐτὴ προσέσχε] Aptius σπαργάνοις τε — αὐτὴ τ' ἐπισχεῖν Weilius. ὁρμίσαι] ὁρμῆσαι Porsonus.

530. ΟΡ. addidit Abreschius: versus 529—531. choro tribuerat Robortellus. τίνος Wellauerus] τινὸς νεογενὲς Turnebus] νεορενές 531. μαστὸν Blomfieldus] μαζόν τὠνείρατι Porsonus] τ' ὀνείρατι 532. ζτ. margo M. *καὶ πῶς Guelf.] καί πως οὖθαρ ἦν Pauwius] οὐχαριν, ιν ex ην facto. ὑπὸ στύγους Schuetzius] ὑποστύγος 534. ἂν τόδ' — πέλοι Fr. Martinus] ἀνδρός — πέλει M et schol. 535. κέκλαγγεν H. L. Ahrensius] κέκλαγεν 536. ἀνῆθον Valckenarius (et fortasse schol. qui per ἀνέλαμψαν exp.)] ἀνῆλθον M. ἀνῆθον τ' Meinekius. 542. συγκόλλως Victorius] συσκόλως, altero λ superscripto. Per συνημμένως τῇ ἀληθείᾳ exp. schol. 543. ἐκλιπὼν Blomfieldus] ἐκλείπων 544. οὔφειαε πᾶσυσπαργανηπλείζετο M cum ζτ. in marg. Corruptela insanabilis, etsi qui sensus verborum fuerit quodammodo colligi potest ex v. 529. ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην. Hinc οὔφις ἐμοῖσι σπαργάνοις ὡπλίζετο Porsonus, praeeunte quod ad verbum attinet apogr. Guelf. in quo ὁ super π (i. e. ὁπλίζετο, ut Turnebus) scriptum. Sed in his literis fortasse aliud verbum in ιζετο terminatum latet. Per ἐπιμελείας ἠξιοῦτο exp. schol. Interim in Porsoni coniectura acquiescendum erit donec melius quid inveniatur. Butleri coniectura οὔφις τε παῖς ὣς σπαργάνοις ὡπλίζετο locum non habet propter τε particulam, quae ab hoc loco non minus aliena est quam γε in Heathii coniectura οὔφις γε παῖς ἐν σπαργάνοις ὣς ἵζετο. οὔφις ἐπ' ἀμὰ σπάργαν' ἡδ' ἁπλ' ἵζετο Klausenus. 545. μαστὸν Blomfieldus] μασθόν 546. τ' Hermannus] δ' 547. ἀμφὶ τάρβει τῷδ' Porsonus (ἀμφιταρβὴς τῷδ' Turnebus)] ἀμφιταρβίτωδ' 550. κτενῶ Turnebus] κτείνω 553. 554. inverso ordine in M. Transposuit Hermannus. 553. στείχειν Porsonus] στίχειν 554. λέγω Hermannus] λέγων 556. κτείναντες Robortellus] κτείναντας 557. ληφθέντες Weilius] λημφθῶσιν M, sed eraso μ. 558. θάνωσιν Weilius] θανόντες 561. ἐφ' ἑρκείους Turnebus] ἐφερκίσυς

Πυλάδη, ξένος τε καὶ δορύξενος δόμων.
ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησίδα,
γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω.
καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ
δέξαιτ', ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς.
μενοῦμεν οὕτως ὥστ' ἐπεικάζειν τινὰ
δόμους παραστείχοντα καὶ τάδ' ἐννέπειν
"τί δὴ πύλαισι τὸν ἱκέτην ἀπείργετε,
Αἴγισθος εἴπερ οἶδεν ἔκδημός περ ὤν;"
εἰ δ' οὖν ἀμείψω βαλὸν ἑρκείων πυλῶν
κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρός,
ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα
ἀρεῖ, σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς βαλεῖ,
πρὶν αὐτὸν εἰπεῖν "ποδαπὸς ὁ ξένος;" νεκρὸν
θήσω, ποδώκει περιβαλὼν χαλκεύματι.
φόνου δ' Ἐρινὺς οὐχ ὑπεσπανισμένη
ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
νῦν οὖν σὺ μὲν φύλασσε τἀν οἴκῳ καλῶς,
ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε·
ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια.
τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω,
ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι

ΧΟ. πολλὰ μὲν γᾶ τρέφει δεινὰ δειμάτων ἄχη,
πόντιαί τ' ἀγκάλαι κνωδάλων
ἀνταίων βροτοῖς
πλάθουσι· βλαστοῦσι καὶ πεδαίχμιοι
λαμπάδες πεδάοροι
πτανά τε καὶ πεδοβάμονα κἀνεμόεντ' ἂν
αἰγίδων φράσαι κότον·
ἀλλ' ὑπέρτολμον ἀνδρὸς φρόνημα τίς λέγοι
καὶ γυναικῶν φρεσὶν τλαμόνων
παντόλμους ⏑ –
ἔρωτας ἄταισι συννόμους βροτῶν;
συζύγους δ' ὁμαυλίας
θηλυκρατὴς ἀπερωπὸς ἔρως παρανικᾷ
κνωδάλων τε καὶ βροτῶν.

585—593. = 594—602.

ἴστω δ' ὅστις οὐχ ὑπόπτερος φροντίσιν
τὰν δαεῖσ' ἁ παιδολυμὰς τάλαινα Θεστιὰς μήσατο
πυρδαῆτιν πρόνοιαν, καταίθουσα παιδὸς δαφοινὸν
δαλὸν ἥλικ', ἐπεὶ μολὼν ματρόθεν κελάδησε,
ξύμμετρόν τε διαὶ βίου μοιρόκραντον ἐς ἆμαρ.
ἄλλαν δή τιν' ἐν λόγοις στυγεῖν φοινίαν
Σκύλλαν, ἅτ' ἐχθρῶν ὕπαι φῶτ' ἀπώλεσεν φίλον Κρητικοῖς
χρυσοκμήτοισιν ὅρμοις πιθήσασα δώροισι Μίνω,
Νῖσον ἀθανάτας τριχὸς νοσφίσασ' ἀπροβούλως
πνέονθ' ἁ κυνόφρων ὕπνῳ. κιγχάνει δέ νιν Ἑρμῆς.
ἐπεὶ δ' ἐπεμνησάμαν ἀμειλίχων
πόνων, ἀκαίρως δὲ δυσφιλὲς γαμήλευμ' ἀπεύχετον δόμοις
γυναικοβούλους τε μήτιδας φρενῶν
ἐπ' ἀνδρὶ τευχεσφόρῳ,
ἐπ' ἀνδρὶ δᾴοισιν ἐγκότῳ σέβας,
τίων δ' ἀθέρμαντον ἑστίαν δόμων
γυναικείαν ἄτολμον αἰχμάν.

603—612. = 613—622.
623—630. = 631—638.

---

562. Versus pluribus de caussis suspectus: de quo videnda quae dixit Heimsoethius *Kr.stud.* vol. 1. p. 147. qui recte monet Aeschylum longe aptius scribere potuisse, ἥξω σὺν ἀνδρὶ τῷδ' ἐπιστολὰς φέρων | Στροφίου, φίλου τε καὶ δορυξένου δόμων, collato v. 679. 563. ἥσομεν Turnebus] οἴσομεν Παρνησίδα Porsonus (Παρνασίδα Elmsleius)] παρνησσίδα 566. δέξαιτ', ἐπειδὴ δαιμονᾷ δόμος Turnebus] λέξαιτ' ἐπειδὴ δαιμον ἀϊδόμοσ. δαιμονᾷ legit schol. qui exp. τετάρακται. 568. δόμους Boissonadius] δόμοις M. Sic δόμους παραστείχοντες Soph. Ant. 1258. παραστείχοντα Victorius] παραστίχοντα 569. πύλαισι Blomfieldus] πύλῃσι *ἀπείργετε pr. Guelf.] ἀπείργεται M et corr. Guelf. 570. ἔκδημός περ ὤν D. in Praef. ed. Lips. quintae p. XCVII.] ἔνδημος παριὼν 571. βαλόν, ὁ ex ω facto, M. Βαλόν, non βηλόν, dixisse tragicos annotatum in Bekk. Anecd. p. 224, 12. ἑρκείων Stanleius] ἑρκίον pr. M. ἕρκειον a m. sec. 574. ἀρεῖ Bambergerus] ἐρεῖ κατ' — βαλεῖ] I. e. καταβαλεῖ. βαλεῖ Robortellus] βαλεῖν 579. νῦν Blomfieldus] σὺν, sed ν in litura literae τ vel γ. 580. συμβαίνῃ] συμβαίνει M, sed η superscr. 584. ὑμῖν] ὑμᾶς correctum in exemplari Bigotiano. 582. Eadem fere verba σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια ex Aeschyli Prometheo ignifero (fr. 188.) affert Gellius 13, 19, 4. 584. ὀρθώσαντι] ὀρθώσοντι Pearsonus. 585. ΧΟ. Robortellus] Lincola in M. γᾶ Schuetzius] γὰρ (ἀὴρ legisse videtur schol.) 586. δεινὰ Heathius] δεινὰ καὶ 587. βροτοῖς Pauwius] βροτοῖσι 588. πλάθουσι si recte legitur, pro πλήθουσι dictum, non obstante syllaba brevi in initio versus antistrophici, ut monuit Albertus ad gl. Hesychii πλάθους: πλήθους. βλαστοῦσι M et schol. suspecta verbi forma. βλάπτουσι Butlerus. 590. πεδάοροι Stanleius] παιδάμαροι, αι in ε mutato. Inepte διορθωτὴς in marg. οἶμαι πέδουροι, ἵν' ᾖ τὸ σημαινόμενον μετέωροι. πέδουρος etiam Hesychius per μετέωρος exp. 592. πτανά] πτηνά M, sed .α. superscr. τε] δὲ Hermannus κἀνεμόεντ' ἂν Blomfieldus] κἀνεμοέντων M. Proximi optativi φράσαι (φράσαις Blomfieldus) et λέγοι postulant ἂν particulam.

596. φρεσὶν Ald.] φρεσσὶν, ut v. 450. et alibi. τλαμόνων D.] τλημόνων καὶ (καὶ delevit Klausenus)

600. ἀπερωπὸς Kusterus ad Hesych. s. h. v.] ἀπέρωτος M, litera τ ex π facta, quod praeterviderunt qui codicem ante me contulerunt. ἀπερωπὸς legit scholiasta, qui exp. ἀντὶ τοῦ στυγνὸς καὶ ὑπερήφανος, quibus similibusque adiectivis etiam Etym. M. p. 120, 41. interpretatur et haud dubie ex hoc Aeschyli versu Phrynichus in Bekk. Anecd. p. 8, 8. ἀπέρωπος (hoc accentu): σημαίνει ἀναιδής, σκληρός, τραχύς, οἷον ἀπερίοπτος καὶ ἀπερίβλεπτος, ὃν οὐκ ἄν τις περιωπήσαιτο διὰ τὴν ἀηδίαν. καὶ ἀπέρωπον οἷον τραχὺ καὶ ἀνατεταμένον. Vid. L. Dindorf. in Thes. vol. 1. part. 2. p. 1293. παρανικᾷ] παρανεικᾶι pr. M. 603. ὑπόπτερος] ὑποπτέροις Turnebus. Utraque scriptura in scholiis explicatur. 605. τὰν δαεῖσ' ἁ Hermannus] δαεὶς τὰν ἁ παιδολυμὰς D.] παιδολύμας 606. πυρδαῆ (πυρδαῆς schol. ut videtur) τινα M πυρδαῆτιν Hermannus. καταίθουσα Canterus] κ' αἴθουσα 611. διαὶ Schuetzius] διὰ 612. μοιρόκραντον Canterus] μοιρόκραντοσδ' M, ν ab διορθωτῇ super σ scripto. Post ἐς litera in M erasa, quae π fuisse videtur: fortasse igitur ἐπ'. ἆμαρ D.] ἦμαρ 613. ἄλλαν Canterus] ἀλλὰ M. ἄλλαν δ' ἔστιν ἐν Hermannus. στυγεῖν] στυγῶ Weilius. 615. ὕπαι] ὕπερ Porsonus.

617. χρυσοκμήτοισιν Hermannus] χρυσεοδμήτοισιν πιθήσασα Abreschius] πειθήσασα δώροισι Ald.] δόροισι Μίνω] μείνω pr. M. 619. Νῖσον Blomfieldus] νίσον 621. πνέονθ'] πνείονθ' Heathius. 622. κιγχάνει] γ erasum in M. νιν Blomfieldus] μιν 623. ἐπεμνησάμην Heathius] ἐπεμνήσαμεν, α super η scripto. 624. πόνων] πόθων Stanleius. Proximorum verborum structuram Hermannus sic expedire conabatur ut ἄκαιρος δ' ὁ — σέβων, τίων τ' scriberet et verba ἄκαιρος — αἰχμὰν parenthesi iusto longiori includeret. 627. ἐπ' ἀνδρὶ τευχεσφόρῳ a m. paullo recentiore additum in M. 628. δῄοισιν (δᾴοισιν) Porsonus] δηΐοις ἐγκότῳ Heimsoethius] ἐπικότῳ (ἐπὶ κότῳ pr.) 629. τίων] τίω Stanleius.

κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον
λόγῳ· γοᾶται δέ δὴ ποθει κατάπτυστον· ἤκασεν
τὸ δεινὸν αὖ Λημνίοισι πήμασιν. [δέ τις
θεοστυγήτῳ δ᾽ ἄγει
βροτῶν ἀτιμωθὲν οἴχεται γένος.
σέβει γὰρ οὔτις τό δυσφιλὲς θεοῖς.
τί τῶνδ᾽ οὐκ ἐνδίκως ἀγείρω;
τό δ᾽ ἄγχι πνευμόνων ξίφος
διανταίαν ὀξυπευκὲς οὐτᾷ
διαὶ Δίκας· τὸ μὴ θέμις [γὰρ οὐ]
λὰξ πέδοι πατούμενον
τὸ πᾶν Διός σέβας παρεκβάντες οὐ θεμιστῶς.
Δίκας δ᾽ ἐρείδεται πυθμήν.
προχαλκεύει δ᾽ Αἶσα φασγανουργός·
τέκνον δ᾽ ἐπεσφέρει δόμοις
αἱμάτων παλαιτέρων
τίνειν μύσος χρόνῳ κλυτὰ βυσσόφρων Ἐρινύς.

ΟΡ. παῖ παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον.
τίς ἔνδον, ὦ παῖ, παῖ, μάλ᾽ αὖθις, ἐν δόμοις;
τρίτον τόδ᾽ ἐκπέραμα δωμάτων καλῶ,
εἴπερ φιλόξεν᾽ ἐστίν, Αἰγίσθου βίαν.

ΟΙΚΕΤΗΣ.
εἶεν, ἀκούω· ποδαπὸς ὁ ξένος; πόθεν;

ΟΡ. ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
τάχυνε δ᾽, ὡς καὶ νυκτὸς ἅρμ᾽ ἐπείγεται
σκοτεινόν, ὥρα δ᾽ ἐμπόρους καθιέναι
ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων.
ἐξελθέτω τις δωμάτων τελεσφόρος
γυνὴ τόπαρχος, ἄνδρα δ᾽ εὐπρεπέστερον
αἰδὼς γὰρ ἐν λέσχαισιν οὐκ ἐπαργέμους
λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
πρός ἄνδρα κἀσήμηνεν ἐμφανὲς τέκμαρ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ξένοι, λέγοιτ᾽ ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
ὁποῖάπερ δόμοισι τοῖσδ᾽ ἐπεικότα,
καὶ θερμὰ λουτρὰ καὶ πόνων θελκτηρία
στρωμνὴ δικαίων τ᾽ ὀμμάτων παρουσία.
εἰ δ᾽ ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον,
ἀνδρῶν τόδ᾽ ἐστὶν ἔργον, οἷς κοινώσομεν.

639—645. = 646—652.

ΟΡ. ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
στείχοντα δ᾽ αὐτόφορτον οἰκείᾳ σαγῇ
εἰς Ἄργος, ὥσπερ δεῦρ᾽ ἀπεζύγην πόδα,
ἀγνὼς πρὸς ἀγνῶτ᾽ εἶπε συμβαλὼν ἀνήρ,
ἐξιστορήσας καὶ σαφηνίσας ὁδόν,
Στρόφιος ὁ Φωκεύς· πεύθομαι γὰρ ἐν λόγῳ·
ἐπείπερ ἄλλως, ὦ ξέν᾽, εἰς Ἄργος κίεις,
πρὸς τοὺς τεκόντας πανδίκως μεμνημένος
τεθνεῶτ᾽ Ὀρέστην εἰπέ, μηδαμῶς λάθῃ.
εἴτ᾽ οὖν κομίζειν δόξα νικήσει φίλων,
εἴτ᾽ οὖν μέτοικον, ἐς τό πᾶν ἀεὶ ξένον,
θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν.
νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου.
τοσαῦτ᾽ ἀκούσας εἶπον. εἰ δὲ τυγχάνω
τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων
οὐκ οἶδα, τὸν τεκόντα δ᾽ εἰκὸς εἰδέναι.

ΚΛ. οἲ ᾽γώ, κατ᾽ ἄκρας εἶπας ὡς πορθούμεθα.
ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρά,
ὡς πόλλ᾽ ἐπωπᾷς κἀκποδὼν εὖ κείμενα,
τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη.
καὶ νῦν Ὀρέστης, ἦν γὰρ εὐβόλως ἔχων,
ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα,
φίλων ἀποψιλοῖ με τὴν παναθλίαν.
νῦν δ᾽ ἥπερ ἐν δόμοισι βακχείας καλῆς
ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει.

ΟΡ. ἐγὼ μὲν οὖν ξένοισιν ὧδ᾽ εὐδαίμοσιν
κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
γνωστός γενέσθαι καὶ ξενωθῆναι· τί γὰρ
ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
πρὸς δυσσεβείας δ᾽ ἦν ἐμοὶ τόδ᾽ ἐν φρεσίν,
τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
καταινέσαντα καὶ κατεξενωμένον.

ΚΛ. οὔτοι κυρήσεις μεῖον ἀξίας σέθεν,
οὐδ᾽ ἧσσον ἂν γένοιο δώμασιν φίλος.
ἄλλος δ᾽ ὁμοίως ἦλθεν ἂν τάδ᾽ ἀγγελῶν.
ἀλλ᾽ ἔσθ᾽ ὁ καιρὸς ἡμερεύοντας ξένους
μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
ἄγ᾽ αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,
ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους·
κἀκεῖ κυρούντων σώμασιν τὰ πρόσφορα.
αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε.

632. γοᾶται δὲ δὴ ποθει (ι super ει) M. βοᾶται (sic Blomfieldus) δ᾽ ἀεὶ τόθεν Weilius. 634. αὖ] ἂν Stanleius. 635. ἄγει Auratus] ἄχει 639. πνευμόνων Robortellus] πλευμόνων 640. οὐτᾷ Hermannus] σοῦται 641. διαὶ δίκας τό μὴ θέμις | λὰξ πέδοι πατουμένας | τὸ πᾶν Διὸς | σέβας παρεκβάντας (sic Odofr. Muellerus. παρεκβάντος Stanleius) οὐ θεμιστῶς Franzius. γὰρ οὐ delendum esse viderat Ahrensius. 642. πέδοι Hermannus] πέδον 645. οὐ θεμιστῶς D.] ἀθεμίστως M, α ab eadem m. in οὐ mutato. 646. Δίκας] δίκης, sed α superscr., M. 647. προχαλκεύει Hermannus] προσχαλκεύει 649. ἐπεσφέρει D.] ἐπεισφέρει δόμοις Ahrensius, δόμοισι Robortellus, quod schol. legit qui per οἴκοις exp.] διμασε (σ in litura) versu separato. 650. αἱμάτων Canterus ex schol.] δωμάτων 652. τίνειν Lachmannus] τείνει (τίνει Turnebus). κλυτὰ D.] κλυτὴ 656. βίαν Hermannus (βία Turnebus)] διαι 657. εἶεν, ἀκούω] Sic in initio senarii etiam Arist. Pac. 663. 661. ὥρα Robortellus] ὧραι καθιέναι D.] μεθιέναι 662. τελεσφόρος] τελεσφόρους pr. M. 664. τόπαρχος] τάπαρχος M, litera ὀ super τα scripta sive a m. pr., sive ab διορθωτῇ. Aptius στέγαρχος Bambergerus. De τάπαρχος conf. annot. ad Agam. 1227. δ᾽ Turnebus] τ᾽ 665. λέσχαισιν Emperius ex schol., qui exp. ἐν ταῖς πρὸς γυναῖκας ὁμιλίαις] λεχθεῖσιν 670. θελκτηρία Wakefieldus] θελκτήρια

675. οἰκείᾳ σάγῃ (debebat σαγῇ) Turnebus] οἰκίαις ἄγη 676. εἰς — πόδα D.] ἐς — πόδας 679. Στρόφιος Ald.] στροφίος 682. εἰπέ Robortellus] εἶπε 684. ἐς D.] εἰς ἀεὶ ξένον] ἀείξενον Schneiderus in Lexico. 691. ΚΛ. Portus] θερ. (i. e. θεράπαινα) Robortellus. Ἠλ. Turnebus. Lineola in M. οἲ ᾽γὼ Canterus] οἲ ἐγὼ εἶπας Bambergerus] ἐνπασ᾽ (cum puncto super ν) M. ἐλπίδος Heimsoethius. 695. 698. καὶ νῦν — νῦν δ᾽] Sic νῦν δέ post καὶ νῦν sequitur Sept. 21. 24. 695. εὐβόλως Porsonus] εὐβούλως 696 κομίζων ex schol.] νομίζων 697. ante 695. lectum transposuit Hermannus. ἀποψιλοῖ Hermannus] ἀποψιλοῖς 698. νῦν] σὺν Hermannus. νῷν Scaliger. βακχείας Turnebus] βακχίας καλῆς] ζάλης Bambergerus. 699. παροῦσαν ἐγγράφει] ἀποῦσαν ἐγγράφου Canterus ex schol. qui τάξον ἀφανισθεῖσαν exp. προδοῦσαν ἔγγραφε Schneidewinus. 700. οὖν] ὧν, superscr. ab διορθωτῇ οὖν, M. 704. δ᾽ addidit Portus. 707. ΚΛ. Turnebus, θερ. Robortellus, lineola in M. ἀξίας D.] ἀξίως M. Schol. exp. τῶν σου ἀξίων τιμῶν: unde ἀξίων Pauwius. 712—714. Versus propter repetitum πρόσφορα in textu omissos in margine supplevit librarius. 713. ὀπισθόπουν τε τοῦδε καὶ ξυνέμπορον Hermannus. 714. σώμασιν H. Vossius] δώμασι 715. ὑπευθύνῳ Turnebus] ἐπευθύνωι M. Schol. ὡς δώσοντι δίκην et gl. ὑποδίκῳ.

ἡμεῖς δέ ταῦτα τοῖς κρατοῦσι δωμάτων
κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι.
ΧΟ. εἶεν, φίλιαι δμωΐδες οἴκων,
πότε δὴ στομάτων
δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ;
ὦ πότνια χθὼν καὶ πότνι' ἀκτὴ
χώματος, ἣ νῦν ἐπὶ ναυάρχῳ
σώματι κεῖσαι τῷ βασιλείῳ,
νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
νῦν γὰρ ἀκμάζει Πειθὼ δολίαν
ξυγκαταβῆναι, νύχιόν θ' Ἑρμῆν
τοῖσδ' ἐφοδεῦσαι
ξιφοδηλήτοισιν ἀγῶσιν.
ἔοικεν ἁνὴρ ὁ ξένος τεύχειν κακόν·
τροφὸν δ' Ὀρέστου τήνδ' ὁρῶ κεκλαυμένην.
ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας;
λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος.

ΤΡΟΦΟΣ.

Αἴγισθον ἡ κρατοῦσα τοῖς ξένοις καλεῖν
ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον
ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν
ἐλθὼν πύθηται τήνδε. πρὸς μὲν οἰκέτας
θέτο σκυθρωπῶν ἐντὸς ὀμμάτων γέλων,
κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις καλῶς
κείνῃ, δόμοις δὲ τοῖσδε παγκάκως ἔχει
φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
ἦ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον,
εὖτ' ἂν πύθηται μῦθον. ὢ τάλαιν' ἐγώ·
ὥς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα
ἄλγη δύσοιστα τοῖσδ' ἐν Ἀτρέως δόμοις
τυχόντ' ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα.
ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην.
τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά,
φίλον δ' Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη,
καὶ νυκτιπλάγκτων ὀρθίων κελευμάτων
* * * * * * * * * *
καὶ πολλὰ καὶ μοχθήρ' ἀνωφέλητ' ἐμοὶ
τλάσῃ· τὸ μὴ φρονοῦν γὰρ ὡσπερεὶ βοτὸν
τρέφειν ἀνάγκῃ, πῶς γὰρ οὔ; τρόπῳ φρενός·
οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις,
εἰ λιμός, ἢ δίψησις, ἢ λιψουρία
ἔχει· νέα δὲ νηδὺς αὐτάρκης τέκνων.
τούτων πρόμαντις οὖσα, πολλὰ δ', οἴομαι,
ψευσθεῖσα παιδὸς σπαργάνων φαιδρύντρια,
κναφεὺς τροφεύς τε ταὐτὸν εἰχέτην τέλος.
ἐγὼ διπλᾶς δὲ τάσδε χειρωναξίας
ἔχουσ' Ὀρέστην ἐξεδεξάμην πατρί.
τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον
οἴκων, θέλων δὲ τόνδε πεύσεται λόγον.
ΧΟ. πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον;
ΤΡ. ὅπως; λέγ' αὖθις, ὡς μάθω σαφέστερον.
ΧΟ. εἰ ξὺν λοχίταις εἴτε καὶ μονοστιβῆ.
ΤΡ. ἄγειν κελεύει δορυφόρους ὀπάονας.
ΧΟ. μή νυν σὺ ταῦτ' ἄγγελλε δεσπότου στύγει,
ἀλλ' αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντως κλύῃ,
ἄνωχθ' ὅσον τάχιστα γηθούσῃ φρενί.
ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος.
ΤΡ. ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις;
ΧΟ. ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ.
ΤΡ. καὶ πῶς; Ὀρέστης ἐλπὶς οἴχεται δόμων.
ΧΟ. οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.
ΤΡ. τί φῄς; ἔχεις τι τῶν λελεγμένων δίχα;
ΧΟ. ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα.
μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι.
ΤΡ. ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις.
γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.
ΧΟ. νῦν παραιτουμένᾳ μοι, πάτερ Ζεῦ θεῶν Ὀλυμπίων,
δὸς τύχας, τυχεῖν δέ μου κυρίως
τὰ σώφρον' εὖ μαιομένοις ἰδεῖν.
κὰδ δίκαν πᾶν ἔπος
ἔλακον, ὦ Ζεῦ, σύ νιν φυλάσσοις.

783—788. = 794—799.
789—793. = 827—830.

---

717. *κοινώσομεν Guelf.] κοινώσωμεν 718. βουλευσόμεσθα Canterus] βουλευόμεθα M. Huic vel proximo versui adscriptum ζτ. (i. e. ζήτει) et super hoc ab eadem manu πρὸς παρόντα γάρ, quod simile est scripturae diversae γρ. παρόντα γὰρ ad v. 668. annotandae ubi πάρεστι γὰρ legitur. 719. ΧΟ. Turnebus: in M lineola, nulla nota in Guelf. φίλιαι Heathius] φιλίαι δμωΐδες Guelf. δμωιΐδες M. 724. τῷ delet Weilius. 726. δολίαν Pauwius] δολία 727. νύχιόν θ' Ἑρμῆν Hermannus] χθόνιον δ' ἑρμῆα (Ἑρμῆν Turnebus) καὶ τὸν νύχιον 730. Lineola in M. ἁνὴρ Porsonus] ἀνήρ 734. Τρ. Turnebus. Lineola in M. τοῖς ξένοις Pauwius] τοὺς ξένους M et schol. 735. ἄνωγεν Ald.] ἀνῶγεν 737. πρὸς μὲν —] Haec non apte iuncta praecedentibus verbis, in quibus inutile est τήνδε: unde Weilius πύθηται. τὴν δὲ πρὸς — 738. θέτο] ἔθετο Heathius. ἧτο Bambergerus. σκυθρωπῶν Victorius] σκυθρωπὸν 740. ἔχει Robortellus] ἔχειν 742. ἐκεῖνος Robortellus] ἐκεῖνον 751. Lacunam post 751. indicavit Schuetzius. κελευμάτων] κελευσμάτων Victorius. 756. εἰ Stanleius] ἢ δίψησις Wellauerus] δίψη τίς

760. κναφεύς D.] γναφεὺς τροφεὺς Robortellus] στροφεύς 762. πατρὶ] ὁσ superscr. in M. 764. στείχω] ν addidit διορθωτής, i. e. στείχων. 765. τόνδε — λόγον Blomfieldus] τῶνδε — λόγων 766—769. Personas notavit Canterus, nullae in M notae, in sequentibus lineolae, etiam ante v. 780. ubi persona non mutatur. 767. ὅπως Valckenarius] ἢ πῶς M. τί πῶς Canterus. 768. εἰ Turnebus] ἢ 770. σὺ] σε pr. M. ἄγγελλε] ἄγγελε pr. M. στύγει pr. M, στυγεῖ corr. 771. κλύῃ] κλύει pr. M. 772. τάχιστα γηθούσῃ (debebat γηθουσῃ ut Pauwius) Turnebus] τάχιστ' ἀγαθούσῃ 773. ὀρθοῦται λόγος] ὀρθούσῃ φρενὶ M. Correctum ex schol. Hom. Il. 15, 207. (quem exscripsit Eustathius p. 1013, 11.) ubi hic versus ex Euripide affertur. 775. εἰ] ἢ Stanleius. 779. ἄγγελλ' Robortellus] ἄγγελ' 780. μέλει — μέλῃ Ald.] μέλλει — μέλλῃ 783—837. In his strophis plura adeo sunt corrupta ut ab nemine dum probabiliter emendari potuerint. In huiusmodi igitur versibus intactam relinquere praestitit codicis scripturam. 783. παραιτουμένᾳ μοι Hermannus (παραιτουμένῃ μοι Turnebus)] παραιτουμέν' ἐμοὶ 784. Post ζεῦ litera σ erasa in M. 785. τύχας, τυχεῖν δέ μου (μοι Turnebus) κυρίως] Si recte habet versus antistrophici 796. scriptura, hic eam Bambergero scribendum erit τύχας εὖ τυχεῖν κυρίως, etsi scholiastam sic legisse non sequitur ex eius verbis δός μοι εὐτυχῆσαι βεβαίως. 786. ζτ. adscr. in marg. M, qui vocabulis non divisis σωφροσυνευμαιομένοις ἰδεῖν: unde τὰ σώφροσιν εὖ μαιομένοις Turnebus. Melius τὰ σώφρον' εὖ μαιομένοις ἔχειν Hermannus. Nam literae σωφροσυν glossema esse videntur σωφροσύνην ad τὰ σώφρονα adscriptum. 787. κὰδ δίκαν Hermannus] διαδικάσαι (διὰ δίκας Pauwius). In M gl. est interlineare δικαίως, et scholion κατὰ δίκαν, ὅ ἐστι κατὰ τὸ δίκαιον. 788. ἔλακον, ὦ Ζεῦ, σύ νιν φυλάσσοις Hermannus] ἔλακον ζεῦ σὺ δὲ νιν φυλάσσοις (φυλάσσαις pr., unde φυλάσσεις Guelf.) 789. πρὸ Hermannus] ἒ ἒ προ M, versibus sic divisis ἒ ἒ προ — | τῶν ἔσω — | ἐπεὶ — | δίδυμα — | πα-

πρὸ δὲ δὴ 'χθρῶν ⏑ ⏑ ⏗ –
τὸν ἔσωθεν μελάθρων, Ζεῦ,
θές, ἐπεί νιν μέγαν ἄρας
δίδυμα καὶ τριπλᾶ παλίμποινα θέλων ἀμείψει.
ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖνιν ζυγέντ' ἐν ἅρμασιν
πημάτων, ἐν δρόμῳ προστιθεὶς
μέτρον. τίς ἂν σωζόμενον ῥυθμὸν
τοῦτ' ἰδεῖν δάπεδον
ἀνομένων βημάτων ὄρεγμα;
οἵ τ' ἔσω δωμάτων
πλουτογαθῆ μυχὸν νομίζετε,
κλύετε, σύμφρονες θεοί.
ἄγετε, τῶν πάλαι πεπραγμένων
λύσασθ' αἷμα προσφάτοις δίκαις.
– ⏑́ ⏑ – ⏑ – ⏑ ⏗ ⏑ –
γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι.
τὸ δὲ καλῶς κτίμενον ὦ μέγα ναίων
στόμιον, εὖ δὸς ἀναδῦν δόμον ἀνδρός,
καί νιν ἐλευθερίας φῶς
λαμπρὸν ἰδεῖν φιλίοις
ὄμμασιν ἐκ δνοφερᾶς καλύπτρας.

800—805. = 812—818.

ξυλλάβοι δ' ἐνδίκως
παῖς ὁ Μαίας, φορώτατος θεῶν,
πρᾶξιν οὐρίαν θέλων,
πολλὰ δ' ἄλλα φανεῖ χρηίζων
κρυπτά. ἄσκοπον δ' ἔπος λέγων
νύκτα πρὸ τ' ὀμμάτων σκότον φέρει,
καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερος.
καὶ τότ' ἤδη πλοῦτον
δωμάτων λυτήριον,
θῆλυν οὐριοστάταν,
ἅμα δὲ κρεκτὸν γοατὰν νόμον
θήσομεν πόλει· τὰ δ' εὖ
ἔχοντ' ἐμὸν κέρδος αὔξει τόδ', ἄτα δ' ἀποστατεῖ φιλων.
σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ
μέρος ἔργων, ἐπαῦσας
πατρὸς ἔργῳ, θροούσᾳ
πρὸς σέ, τέκνον, πατρὸς αὐδάν, καὶ περαίνων ἐπίμομφον ἄταν,
Περσέως τ' ἐν φρεσὶν
καρδίαν ⏑ – σχεθών,
τοῖς θ' ὑπὸ χθονὸς φίλοις,
τοῖς τ' ἄνω πρόπρασσ' ἰὼν
χάριτας ὀργᾶς λυγρᾶς, ἔνδοθεν
φοινίαν ἄταν τιθείς,
τὸν αἴτιον δ' ἐξαπολλὺς μόρου. ⏗ ⏑ – ⏑ ⏗ ⏑ –

ΑΙΓΙΣΘΟΣ.

ἥκω μὲν οὐκ ἄκλητος, ἀλλ' ὑπάγγελος·
νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς

819—826. = 831—837.

λίνποινα –, in antistropha vero 827. σὺ δὲ — | μέρος ἔργων | ἐπαῦσας — | θροούσᾳ | πρός σε — | καὶ περαίνων —. Quum verba antistrophae σὺ δὲ — θροούσᾳ sex praebeant ionicos, nisi quod una ante θροούσᾳ syllaba deest, in strophae versu primo quattuor syllabarum defectum indicavi, etsi incertum est in qua sede versus exciderint. τὸν ἔσωθεν μελάθρων Seidlerus] τῶν ἔσω μελάθρων ὦ

791. νιν Seidlerus] μιν ἄρας pr. M. αἴρας corr. 793. παλίμποινα Victorius] παλίνποινα 794. ἴσθι] Per γίγνωσκε exp. schol. ἴσχε Pauwius. Versus in M sic divisi ἴσθι—εὖ· | νιν — | βημάτων, ἐν δρόμῳ | προστιθεὶς | μέτρον —. 795. ἅρμασιν Hermannus (ἅρμασι schol.)] ἅρματι 797. σωζόμενον — ἀνομένων] σωζώμενον — ἀνωμένων pr. M. 798. τοῦτ' ἰδεῖν δάπεδον] Verba corrupta vel interpolata, quibus corrigendis non sufficit γάπεδον, quod Hermannus scripsit. Requiritur optativus cum τίς ἂν construendus, quod sensit scholiasta, qui τὸ ἰδεῖν ἀντὶ τοῦ ἴδοι dictum esse somniavit, addito ὁ δὲ νοῦς, ἅπας ἄν τις τοῦτο ἴδοι σωζόμενον τὸν ῥυθμὸν ὁμαλὸν καὶ εὔτακτον κατὰ τὸν δρόμον τῶν ἀνυομένων πημάτων. μέτρον, τίν' (i. e. τινὰ) αὖ —, puncto post ὄρεγμα posito, Hermannus. 799. βημάτων] πημάτων scriptum in scholio, fortasse librarii errore. 800—826. Has strophas sic transponit Weilius, 812—818. 806—811. 800—805. 819—826. 800. ἔσω Hermannus] ἔσωθε: quo servato in antistropha 812. ξυλλήβοιτο scribendum foret cum Weilio. 801. πλουτογαθῆ Turnebus (non M)] πλουταγαθῆ νομίζετε] Per ἡνιοχεῖτε καὶ διοικεῖτε exp. schol., qui aliud quid legisse videri potest. 802. κλύετε] κλῦτε D. σύμφρονες] σύνφρονες pr. M. 804. προφάτοις M, sed σ ab διορθωτῇ superscr. Lacunam post hunc v. indicavit Hermannus. 806—811. Versus ἐπιφθεγματικοί, repetendi post stropham proximam, ubi librarii brevitatis caussa denuo scribere omiserunt, ut in loco simili Suppl. 173—175. Versus in M sic divisi, τὸ δὲ — | μέγα — | δὸς — | καί νιν — | λαμπρῶς — | ὄμμασι — | καλύπτρας — ἐνδίκως. 806. τὸ δὲ Robortellus] τόδε M ex τῶδε factum. κτίμενον Bambergerus] κτάμενον 808. ἀναδῦν D (ut δοῦν pro δοῦναι, de quo v. L. Dindorfius in Thes. vol. 1. part. 2. p. 1418.)] ἀνιδεῖν (ἂν ἰδεῖν pr.) M et schol. 809. ἐλευθερίας φῶς λαμπρὸν Weilius (qui φῶς post ἰδεῖν addidit) ἰδεῖν] ἐλευθερίως λαμπρῶς ἰδεῖν 811. ὄμμασιν ἐκ δνοφερᾶς Hermannus] ὄμμασι δνοφερᾶς

813. φορώτατος θεῶν D.] ἐπιφορώτατος (omisso θεῶν) M, illato glossemate. Schol. ὡς ἐπὶ ἀνέμου εἶπεν ἀντὶ τοῦ ὁ λογικώτατος. 814. θέλων] θέλεν, sed superscr. ων, M. 815. πολλὰ δ' ἄλλα φανεῖ (pr. φάνη, ut videtur) χρηίζων | κρυπτά (vel κρυπταὶ vel κρυπτόν) M. πολλά, cui in stropha v. 803. ἄγετε respondet, fortasse in πολέα mutandum cum Weilio. ἄλλα φανεῖ ex ἀμφανεῖ (de quo etiam Hermannus cogitavit) corruptum videtur. Post ἀμφανεῖ quattuor exciderunt syllabae ⏑ ⏗ ⏑ –: nam χρῄζων in versum proximum transferendum, deleto quod ex glossemate illatum esse animadvertit Hermannus κρυπτά. In M gl. supra versum τὰ κρυπτὰ νῦν φανερώσει et inter scholia θέλων πολλὰ κρυπτὰ εὑρίσκει. 819. τότ' ἤδη Blomfieldus] τότε δὴ M. Pro πλοῦτον, quod ne metri quidem vitio animadverso explicare conatur scholiasta, fortasse πόνον scribendum. 820. δωμάτων] δειμάτων H. L. Ahrensius. 822. ἅμα δὲ Hermannus] ὁμοῦ (literae ὁμο in litura) sine δ' M. γοατὰν Hermannus] γοήτων (γοητῶν a m. rec.) νόμον pr. M, νόμων corr. 823. θήσομεν Hermannus] μεθήσομεν 825. ἔχοντ' ἐμὸν — αὔξει τόδ' ἄτα Hermannus] ἐμὸν ἐμόν — αὔξεται τόδε | ἄτη (α super η) 828. ἐπαῦσας (ἐπαΐσας Schuetzius) πατρὸς — αὐδὰν καὶ] Verba corrupta, quorum de metro constat ex stropha, sed quae emendare frustra conati sunt quum alii tum Hermannus, qui scripsit ἐπαΐσας τε θροοῦσαν | πρὸς σέ, τέκνον, πατρὸς | περαίνειν ἐπίμομφον αὐδάν. 830. περαίνων] πέραιν' (sic Auratus) οὐκ Blomfieldus. ἐπίμομφον Robortellus] ἐπίμομφαν 831. φρεσὶν Ald.] φρεσσὶν 832. ⏑ –] σχεδρὰν Weilius σχεθὼν Blomfieldus] σχέτων 833. θ' Robortellus] δ' φίλοις Hermannus] φίλοισιν 834. ἄνω πρόπρασσ' ἰὼν Hermannus] ἄνωθεν προπράσσων 835. χάριτας Schuetzius] χάριτος λυγρᾶς Blomfieldus] λυπρᾶς 836. ἄγαν Hermannus] ἄταν 837. μόρου Turnebus] μόρον. Post haec excidit versus respondens alteri versus strophici 825. parti.

ξένους μολόντας οὐδαμῶς ἐφίμερον,
μόρον γ' Ὀρέστου. καὶ τόδ' ἀμφέρειν δόμοις
γένοιτ' ἂν ἄχθος αἱματοσταγὲς φόνῳ
τῷ πρόσθεν ἑλκαίνουσι καὶ δεδηγμένοις.
πῶς ταῦτ' ἀληθῆ καὶ βλέποντα δοξάσω;
ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
πεδάρσιοι θρώσκουσι, θνήσκοντες μάτην;
τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;
ΧΟ. ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων
εἴσω παρελθών. οὐδὲν ἀγγέλων σθένος
ὡς αὐτὸν αὐτῶν ἄνδρα πεύθεσθαι πάρα.
ΑΙ. ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον,
εἴτ' αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρών,
εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.
οὔτοι φρέν' ἂν κλέψειεν ὠμματωμένην.
ΧΟ. Ζεῦ Ζεῦ, τί λέγω; πόθεν ἄρξωμαι
τάδ' ἐπευχομένη κἀπιθεάζουσ',
ὑπὸ δ' εὐνοίας
πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι;
νῦν γὰρ μέλλουσι μιανθεῖσαι
πειραὶ κοπάνων ἀνδροδαΐκτων
ἢ πάνυ θήσειν Ἀγαμεμνονίων
οἴκων ὄλεθρον διὰ παντός,
ἢ πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ
δαίων ἀρχάς τε πολισσονόμους
πατέρων θ' ἕξει μέγαν ὄλβον.
τοιάνδε πάλην μόνος ὢν ἔφεδρος
δισσοῖς μέλλει θεῖος Ὀρέστης
ἅψειν. εἴη δ' ἐπὶ νίκῃ.
ΑΙ. ἐή, ὀτοτοτοῖ.
ΧΟ. ἔα ἔα μάλα·
πῶς ἔχει; πῶς κέκρανται δόμοις;
ἀποσταθῶμεν πράγματος τελουμένου,
ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν
εἶναι· μάχης γὰρ δὴ κεκύρωται τέλος.
ΟΙ. οἴμοι, πανοίμοι δεσπότου πεπληγμένου,
οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν.
Αἴγισθος οὐκέτ' ἔστιν. ἀλλ' ἀνοίξατε
ὅπως τάχιστα, καὶ γυναικείους πύλας
μοχλοῖς χαλᾶτε· καὶ μάλ' ἡβῶντος δὲ δεῖ,
οὐχ ὥστ' ἀρῆξαι διαπεπραγμένῳ· τί γάρ;
ἰοὺ ἰού.
κωφοῖς ἀϋτῶ καὶ καθεύδουσιν μάτην
ἄκραντα βάζω. ποῖ Κλυταιμνήστρα; τί δρᾷ;
ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας
αὐχὴν πεσεῖσθαι πρὸς δίκης πεπληγμένος.
ΚΛ. τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις;
ΟΙ. τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.
ΚΛ. οἳ 'γώ. ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων.
δόλοις ὀλούμεθ', ὥσπερ οὖν ἐκτείναμεν.
δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
εἰδῶμεν εἰ νικῶμεν, ἢ νικώμεθα·
ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.
ΟΡ. σὲ καὶ ματεύω· τῷδε δ' ἀρκούντως ἔχει.
ΚΛ. οἳ 'γώ. τέθνηκας, φίλτατ' Αἰγίσθου βία.
ΟΡ. φιλεῖς τὸν ἄνδρα; τοιγὰρ ἐν ταὐτῷ τάφῳ
κείσει. θανόντα δ' οὔτι μὴ προδῷς ποτέ.
ΚΛ. ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἴδεσαι, τέκνον,
μαστόν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα
οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.
ΟΡ. Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν;

ΠΥΛΑΔΗΣ.

ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα
τὰ πυθόχρηστα πιστά τ' εὐορκώματα;
ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.
ΟΡ. κρίνω σὲ νικᾶν, καὶ παραινεῖς μοι καλῶς.
ἕπου, πρὸς αὐτὸν τόνδε σὲ σφάξαι θέλω.
καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός·
τούτῳ θανοῦσα συγκάθευδ', ἐπεὶ φιλεῖς
τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν στυγεῖς.
ΚΛ. ἐγώ σ' ἔθρεψα, σὺν δὲ γηράναι θέλω.
ΟΡ. πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;
ΚΛ. ἡ Μοῖρα τούτων, ὦ τέκνον, παραιτία.
ΟΡ. καὶ τόνδε τοίνυν Μοῖρ' ἐπόρσυνεν μόρον.
ΚΛ. οὐδὲν σεβίζει γενεθλίους ἀράς, τέκνον;
ΟΡ. τεκοῦσα γάρ μ' ἔρριψας ἐς τὸ δυστυχές.
ΚΛ. οὔτοι σ' ἀπέρριψ' ἐς δόμους δορυξένους.
ΟΡ. διχῶς ἐπράθην ὢν ἐλευθέρου πατρός.
ΚΛ. ποῦ δῆθ' ὁ τῖμος, ὅντιν' ἀντεδεξάμην;
ΟΡ. αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς.
ΚΛ. μάλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας
ΟΡ. μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη.
ΚΛ. ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.
ΟΡ. τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.
ΚΛ. κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα.
ΟΡ. σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.
ΚΛ. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.
ΟΡ. τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;
ΚΛ. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.

---

840. ἐφίμερον] ἐφήμερον pr. M. 841. γ' Portus] δ' 842. αἱματοσταγές Stanleius] δειματοστάγ' ές 843. ἑλκαίνουσι καὶ δεδηγμένοις Bambergerus] ἑλκαίνοντι καὶ δεδηγμένῳ. Post hunc versum lacunam indicavit Weilius 846. θρώσκουσι] θρώισκουσι M.

848. ΧΟ Robertellus. Lineola in M. 849. εἴσω Blomfieldus] ἔσω 850. αὐτὸν Schuetzius] αὐτός αὐτῶν Turnebus] αὐτόν πάρα Hermannus] πέρι 851. ΑΙ. addidit Robertellus. αὖ] εὖ pr. M ut vida-
v
tur. 852. ἦν Turnebus] ηε (ἦεν διορθωτής in margine) 854. φρέν' ἂν κλέψειεν Elmsleius] φρένα κλέψειαν 856. κἀπιθεάζουσ' Schuetzius] κἀπιθοάζουσα, sed σα in litura. 860 πειραί] πεῖραι Portus, at recte fortasse: de quo dixi in Thes. vol. 6. p. 669. 865. πατέρων θ' ἕξει Weilius] ἕξει πατέρων 867. θεῖος Turnebus] θείοις 869. 870. ΑΙ. et ΧΟ. Robertellus. Lineolas in M. 869. ἐή D.] ἒ ἒ M. Probabilius videtur ἐή ἐή, ὀτοτοτοῖ τοτοῖ. 872. ΧΟ. praescriptum in M. Delevit Robertellus. 875. ΟΙ. addidit Turnebus. πανοίμοι Porsonus] πάν (πᾶν pr.) οἴμοι

πεπληγμένου Schuetzius] τελουμένου M librario ad v. 872. aberrante. τετυμμένου Weilius. 879. δέ] γε Blomfieldus. 880 ὥστ' Porsonus] ὡς δ' διοπεπραγμένῳ ex schol.] διαπεπραγμένων

882. ποῖ] ποῦ Elmsleius. 884. δίκης] Post η littera in M erasa, quae σ vel ν fuisse videtur. δίκην Guelf. πεπληγμένος] πεπληγμένης Turnebus.
885. ΚΛ. Guelf., lineola in M. 885—896. 916 seqq. Rectas personarum notas partim ab Aldo partim ab Robortello et Turnebo additae, in M lineolis notatae.

887. 893. 929. οἳ 'γώ Canterus] οἱ ἐγώ 889. δοίη] οιη in litura. 890. εἰ Turnebus] ἢ 892. τῷδε δ' M ab διορθωτῇ. τῶιδετ' pr. 894. τοιγάρ] τοῖγαρ M.

895. κείσει Porsonus] κείσῃ, et σεβίζῃ 912. 896. δ' αἴδεσαι Sophianus] δήσεται 897. ᾧ σὺ Robortellus] ὠκύ 898. εὐτραφές] εὐτρεφές Tzetza Exeg. in Il. p. 62, 13. et Hist. 12, 808, ut M Sept. 308. ubi nunc εὐτραφέστατον ex apographis. 900. δὴ Porsonus] δαί 901. πιστά τ' Hermannus] πιστὰ δ' 903. παραινεῖς μοι] παρήνεσας Hermannus. 905. κρείσσον' Turnebus] κρέσσον' 908. σὺν Auratus] νῦν 914. ἐς Robortellus] εἰς 916. τῖμος Stephanus] τιμος sine accentu et in marg. ζτ. 917. σοι Canterus] σου

918. μάλλ' D.] μὴ· ἀλλ' εἴφ' pr., εἴφ'' (sic) corr.

921. γ'] τ' pr. M. 924. φύλαξαι Victorius] φυλάξαι

ΟΡ. πατρὸς γὰρ αἶσα τόνδ' ἐπουρίζει μόρον.
ΚΛ. οἲ 'γὼ τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην.
ΟΡ. ἦ κάρτα μάντις οὐξ ὀνειράτων φόβος.
ΚΛ. ⏑ ⏓ ⏑ – ⏑ ⏓ ⏑ – ⏑ ⏓ ⏑ –
ΟΡ. ἔκανες ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.
ΧΟ. στένω μὲν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν.
ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισεν
τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.
ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ, βαρύδικος ποινά·
ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος
διπλοῦς λέων, διπλοῦς Ἄρης,
ἔλασε δ' ἐς τὸ πᾶν ὁ πυθοχρήστας φυγὰς
θεόθεν εὖ φραδαῖσιν ὡρμημένος.
ἐπολολύξατ' ὦ δεσποσύνων δόμων
ἀναφυγᾷ κακῶν καὶ κτεάνων τριβᾶς
ὑπαὶ δυοῖν μιαστόροιν,
δυσοίμου τύχας, [ποινά·
ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας δολιόφρων
ἔθιγε δ' ἐν μάχᾳ χερὸς ἐτητύμως
Διὸς κόρα· (Δίκαν δέ νιν
προσαγορεύομεν βροτοὶ τυχόντες καλῶς)
ὀλέθριον πνέουσ' ἐπ' ἐχθροῖς κότον.
τάπερ ὁ Λοξίας ὁ Παρνάσιος,
μέγαν ἔχων μυχὸν χθονὸς ἐπ' ὄχθει
ἄξεν ἀδόλως δολίας βλαπτομέναν ⏑ –
⏑ ⏓ ἐγχρονισθεῖσαν ἐποίχεται.
κρατεῖται πῶς τὸ θεῖον
παρὰ τὸ μὴ ὑπουργεῖν κακοῖς.
ἄξιον δ' οὐρανοῦχον ἀρχὸν σέβειν·
πάρα τὸ φῶς ἰδεῖν.
μέγα δ' ἀφῃρέθην ψάλιον οἰκετῶν.

935—941. = 946—952.
942—945. = 962—964 b.
953—961. = 965—972.

ἄναγε μάν, δόμοι· πολὺν ἄγαν χρόνον
χαμαιπετεῖς ἔκεισθ' ἀεί.
⏑ ⏓ – ⏑ –.
τάχα δὲ παντελὴς χρόνος ἀμείψεται
πρόθυρα δωμάτων ⏑ ⏓ ⏑ – ⏑ –
ὅταν ἀφ' ἑστίας πᾶν ἐλαθῇ μύσος
καθαρμοῖσιν ἀτᾶν ἐλατηρίοις.
τύχᾳ δ' εὐπροσώπῳ κοίτᾳ τὸ πᾶν
ἰδεῖν ἀκοῦσαι θρεομένοις
μέτοικοι δόμων πεσοῦνται πάλιν.
πάρα τὸ φῶς ἰδεῖν.
ΟΡ. ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα
πατροκτόνους τε δωμάτων πορθήτορας.
σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ' ἥμενοι,
φίλοι δὲ καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
πάρεστιν, ὅρκος τ' ἐμμένει πιστώμασιν.
ξυνώμοσαν μὲν θάνατον ἀθλίῳ πατρὶ
καὶ ξυνθανεῖσθαι· καὶ τάδ' εὐόρκως ἔχει.
ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,
τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρί,
πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
ἐκτείνατ' αὐτὸ καὶ κύκλῳ παρασταδὸν
στέγαστρον ἀνδρὸς δείξαθ', ὡς ἴδῃ πατήρ,
οὐχ οὑμός, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε
Ἥλιος, ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς.
[ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτέ,
ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον
τὸν μητρός· Αἰγίσθου γὰρ οὐ λέγω μόρον·
ἔχει γὰρ αἰσχυντῆρος, ὡς νόμος, δίκην·
ἥτις δ' ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος,
ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος,
φίλον τέως, νῦν δ' ἐχθρόν, ὡς φαίνει, κακόν,
τί σοι δοκεῖ; μύραινά γ' εἴτ' ἔχιδν' ἔφυ
σήπειν θιγοῦσ' ἂν ἄλλον οὐ δεδηγμένον
τόλμης ἕκατι κἀδίκου φρονήματος.
τί νιν προσείπω, κἂν τύχω μάλ' εὐστομῶν;
ἄγρευμα θηρός, ἢ νεκροῦ ποδένδυτον
δροίτης κατασκήνωμα; δίκτυον μὲν οὖν,
ἄρκυν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.

927. τόνδ' ἐπουρίζει D.] τόνδε πορίζει pr. M, τόνδε σ' ὁρίζει corr. 929. 930. Utrique versui lineola praescripta in M. Post 929. Clytaemnestrae versum excidisse animadvertit Weilauerus. 930. ἔκανες Hermannus] κάνες (κ' ἄνες pr.) γ'. ἔκανές γ' Heathius. χρῆν M ab διορθωτῇ, χρὴ pr. 936. βαρύδικος Victorius] καρύδικος 940 ἔλασε Pauwius ex schol. qui ἤλασε] ἔλακε πυθοχρήστας] η super α M. 941. εὖ φραδαῖσιν Seidlerus] εὐφραδαῖσι. Hesychius φραδαῖαι: βουλαῖς. 942. ἐπολολύξατ' ὦ Seidlerus] ἐπολολυξάτω 943. τριβᾶς Stanleius] τριβάς 944. ὑπαὶ Hermannus] ὑπὸ *δυοῖν Gueif.] δυοῖν, ut alibi saepe. 946. ᾧ] ᾇ Auratus. 949. δ' ἐν Pauwius] δὲ ἐτητύμως Scaliger] ἐτήτυμος 951. ἐπ' Schuetzius] ἐν 953. Παρνάσιος Bothius] παρνάσσιος 954—958. ὄχθει—θεῖον] Versus corrupti in M sic divisi, ἄξεν — | βλαπτομέναν — | θεῖσαν — | κρατεῖται — | ὑπουργεῖν κακοῖς 955. δολίας] Sic M, non δολίαν, quod ex schol. posuit Victorius. χθονὸς ἐπορθιᾷ, ξὺν ἀδόλοις δόλοις Wellius. 956. ἐν χρόνοισ θεῖσαν M. χρονισθεῖσαν Hermannus. Servato ἐν cum Weilio ἐγχρονισθεῖσαν scripsi, indicato quattuor syllabarum defectu. πάλαι δίκαν Weilius collatis scholiis, in quibus ἐκ πολλοῦ et ἐπὶ πολὺν χρόνον et ἡ δίκη legitur. 958. κρατεῖται πῶς] Sic M, non κρατεῖται πως. Schol. συμβάλλεται σὺν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς κακοῖς: unde Hermannus κρατεῖται δ' ἔπος τὸ θεῖον, τὸ μὴ μ' ὑπουργεῖν κακοῖς. 960. ἄξιον] Alius ut videtur vocabuli, velut πρέπον, glossema. ἀξία Hermannus. Sed in antistropha est iambus. 961. 972. πάρα τὸ Schuetzius] πάρα (παρὰ pr.) τε 961. et παρὰ τὸ 972 M. 962. *μέγα pr. Gueif.] μέγαν M et corr. Gueif. Verba μέγαν τ' ἀφῃρέθην versui 961. addit M. δ' Porsonus] τ' οἰκετῶν Frausius] οἴκων M. ἀφῃρέθη (sic Stanleius) — οἰκίων Ahrensius, vocabulo non Attico.

963. ἄναγε μὰν Porsonus (ἄνα γε μὰν Blomfieldus)] ἀναγεμὰν δόμοι Hermannus] δόμοις 964. χαμαιπετεῖς ἔκεισθ' ἀεί Weilauerus] χαμαιπετεῖσε κεῖσθ' αἰεί. ἔκεισθε δὴ Meineckius. Lacunam post 964. indicavit H. L. Ahrensius. 965. χρόνος ἀμείψεται] ἀμείψει χρόνος Heimsoethius, quod accurate respondet versui strophico 953. 966. Versus sic divisi in M, πρόθυρα — | μύσος — | ἅπαν — | εὐπροσώπῳ — | τὸ πᾶν — | μετοικοδόμων | πεσοῦνται — ἰδεῖν. Lacunam post δωμάτων indicavit Weilius. 967. ἀφ'] ἀμφ' M, sed μ punctis notato. πᾶν ἐλαθῇ μύσος Weilius] μῦσος πᾶν ἐλάσει, η super ει scripto. 968. καθαρμοῖσιν Hermannus] καθαρμοῖς ἀτᾶν Schuetzius] ἅπαν 969. τύχᾳ Hermannus] τύχα κοίτᾳ] Corruptum. 970. Haec quantumvis corrupta explicare conatur scholiasta. 971. μέτοικοι δόμων Scaliger] μετοικοδόμων 976. δὲ Ahrensius] τε 978. ἀθλίῳ Portus] ἀθλίως 982. ξυνωρίδα] ξυνωρίδι Iacobsius. ξυνωρίδος scribi posse monet Hermannus. 983. αὐτὸ Auratus] αὐτὸν 987—1006. Seclusi versus spurios, de quibus dixi in Praef. ed. Lips. quintae p. XCVII. 989. λέγω ex schol.] ψέγω 990. νόμος Portus] νόμου 992. ἐξ οὗ Robortellus] ἐκ σοῦ ἤνεγχ' Victorius] ηνέχη M. In marg. ζτ. 994. γ' εἴτ' Hermannus] τ' (superscr. γ) ἦτ' 995. θίγουσ' (θιγοῦσ' Blomfieldus) ἂν Robortellus] θίγουσαν 996 κἀδίκου Turnebus] κἀνδίκου, quod etiam κἀκδίκου esse potest, quae Ahrensii coniectura est. 999. δροίτης] υ super οἱ M.

τοιοῦτον ἂν κτήσαιτο φηλήτης ἀνὴρ,
ξένων ἀπαιόλημα κἀργυροστερῆ
βίον νομίζων, τῷδέ τ' ἂν δολώματι
πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρενί.
τοιάδ' ἐμοὶ ξύνοικος ἐν δόμοισι μὴ
γένοιτ'· ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.]
ΧΟ. αἰαῖ αἰαῖ μελέων ἔργων·
στυγερῷ θανάτῳ διεπράχθης.
αἰαῖ αἰαῖ,
μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.
ΟΡ. ἔδρασεν ἢ οὐκ ἔδρασε; μαρτυρεῖ δέ μοι
φᾶρος τόδ', ὡς ἔβαψεν Αἰγίσθου ξίφος.
φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται,
πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρών,
πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε
ἀλγῶ μὲν ἔργα καὶ πάθος γένος τε πᾶν,
ἄζηλα νίκης τῆσδ' ἔχων μιάσματα.
ΧΟ. οὔτις μερόπων ἀσινὴ βίοτον
διὰ πάντ' ἄτιμος ἀμείψει.
αἰαῖ αἰαῖ,
μόχθος δ' ὁ μὲν αὐτίχ', ὁ δ' ἥξει.
ΟΡ. ἀλλ', ὡς ἂν εἰδῆτ', οὐ γὰρ οἶδ' ὅπη τελεῖ,
ὥσπερ ξὺν ἵπποις ἡνιοστροφῶ δρόμου
ἐξωτέρω. φέρουσι γὰρ νικώμενον
φρένες δύσαρκτοι· πρὸς δὲ καρδίᾳ φόβος
ᾄδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ.
ἕως δ' ἔτ' ἔμφρων εἰμί, κηρύσσω φίλοις,
κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης,
πατροκτόνον μίασμα καὶ θεῶν στύγος.
καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ' ἐμοὶ
πράξαντι μὲν ταῦτ' ἐκτὸς αἰτίας κακῆς
εἶναι, παρέντα δ' — οὐκ ἐρῶ τὴν ζημίαν·
τόξῳ γὰρ οὔτις πημάτων προσίξεται.
καὶ νῦν ὁρᾶτέ μ', ὡς παρεσκευασμένος
ξὺν τῷδε θαλλῷ καὶ στέφει προσίξομαι
μεσόμφαλόν θ' ἵδρυμα, Λοξίου πέδον,
πυρός τε φέγγος ἄφθιτον κεκλημένον,
φεύγων τόδ' αἷμα κοινόν· οὐδ' ἐφ' ἑστίαν
ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
τὰ δ' ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
καὶ μαρτυρεῖν μοι μενελε ὡς ἐπορούνθη κακά.
ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος,
ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπών.
ΧΟ. ἀλλ' εὖ γ' ἔπραξας, μηδ' ἐπιζευχθῇς στόμα
φήμῃ πονηρᾷ μηδ' ἐπιγλωσσῶ κακά·
ἠλευθέρωσας πᾶσαν Ἀργείων πόλιν,
δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.
ΟΡ. ἆ ἆ.
ποῖαι γυναῖκες αἵδε Γοργόνων δίκην
φαιοχίτωνες καὶ πεπλεκτανημέναι
πυκνοῖς δράκουσιν; οὐκέτ' ἂν μείναιμ' ἐγώ.
ΧΟ. τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων πατρί,
στροβοῦσιν; ἴσχε, μὴ φόβου νικῶ πολύ.
ΟΡ. οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί·
σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.
ΧΟ. ποταίνιον γάρ αἷμά σοι χεροῖν ἔτι·
ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πίτνει.
ΟΡ. ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δή,
κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές.
ΧΟ. εἷς σοι καθαρμός· Λοξίας δὲ προσθιγὼν
ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.
ΟΡ. ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ', ἐγὼ δ' ὁρῶ·
ἐλαύνομαι δὲ κοὐκέτ' ἂν μείναιμ' ἐγώ.
ΧΟ. ἀλλ' εὐτυχοίης, καί σ' ἐποπτεύων πρόφρων
θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς.
ὅδε τοι μελάθροις τοῖς βασιλειοις
τρίτος αὖ χειμὼν
πνεύσας γονίας ἐτελέσθη.
παιδόβοροι μὲν πρῶτον ὑπῆρξαν
μόχθοι τάλανές [τε Θυέστου]·
δεύτερον ἀνδρὸς βασίλεια πάθη·
λουτροδάικτος δ' ὤλετ' Ἀχαιῶν
πολέμαρχος ἀνήρ·
νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτήρ,
ἢ μόρον εἴπω;
ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
μετακοιμισθὲν μένος ἄτης;

1007—1009. = 1018—1020.

1001. τοιοῦτον ἂν Turnebus] τοισῦτομἀν φηλήτης Scaliger] φιλήτης 1003. νομίζων Turnebus] νομίζω 1004. θερμαίνοι] Fort. θέρμ' ἄνοι 1006. πρόσθεν Turnebus] πρόσθ' 1007. ΧΟ. addidit Robortellus. αἰαῖ αἰαῖ] αἶ αἶ M. Duplicavit Bothius. 1009. αἰαῖ αἰαῖ Welauerus] ἒ ἒ 1010. ΟΡ. Stanleius Lineola in M. ἔδρασε Turnebus] ἔδρασεν 1012. κηκὶς] κικὶς pr. M. 1018. ἀσινὴ] ἀσινεῖ pr. M. 1019. Corruptum ἄτιμος, quod per ἀτιμώρητος exp. schol. διὸ πάντ' ἔντιμος Bothius. διὰ πάντ' εὔθυμος Hermannus. διὸ πάντ' ἀμόγητος Weilius. διὸ παντὸς ἄτιμος Heathius. ἀμείψει Erfurdtius] ἀμείψεται 1020. αἰαῖ αἰαῖ, μόχθος Weilius] ἐς (corruptum ex ἒ ἒ) μόχθος M et in marg Ζτ. ὁ δ' ἥξει Turnebus] ὅδ' ἥξε 1021. ΟΡ. addidit Turnebus. ἀλλ', ὡς ἂν εἰδῆτ', οὐ γὰρ Emperius et Martinus] ἄλλος ἂν εἰδῇ τοῦτ' ἄρ' 1022. ἡνιοστροφῶ Stanleius (ἡνιοστροφῶν Weilius)] ἡνιοστρόφου 1025. ἠδ' — κότῳ] ἢ δ' (sic Adreschius) — κρότῳ Emperius. 1032. παρέντα] παρέντι Turnebus. 1033 προσίξεται] ἐφίξεται Schuetzius. προσθίξεται Meinekius. 1038. ἐφ' ἑστίαν Turnebus] ἐφέστιον 1040. τὰ δ' Canterus] τάδ'

1041. μενελε ὡς] μενέλεως M. Versus corruptus et, quod Franzius coniecit, fortasse ex duorum versuum reliquiis compositus. ἐκμαρτυρεῖν ἢ μέλε' ἐπορσύνθη κακά Hermannus. 1043. Lacunam post hunc versum indicavit Hermannus, quae ante hunc versum indicanda foret, si quid excidit: quod probabilius est quam ἐγὼ in φεύγω mutandum esse cum Weilio. 1044. ΧΟ. addidit Heathius γ' ἔπραξας Tyrwhittus] τε πράξας ἐπιζευχθῇς Heathius] ἐπιζεύχθη 1045. φήμῃ πονηρᾷ Heathius] φῆμαι πονηραὶ 1046. ἠλευθέρωσας Blomfieldus] ἐλευθερώσας *'Ἀργείων pr. Guelf.] ἀργείην M et corr. Guelf. Ἀργείαν Porsonus. 1048. ΟΡ. addidit Porsonus. ἆ ἆ D.] ἀ ἀ M, separato versu. ποῖαι Hermannus] δμωαὶ M, quod correctoris supplementum esse potest ex v. 81. sumtum pro ποῖαι vel πέλας quod exciderat. 1049. φαιοχίτωνες] Da syllaba secunda producta dixit Tzetza in Crameri Anecd. Oxon. vol. 3. p. 358, 17. 1050. ἂν μείναιμ' Turnebus et Tzetza] ἀμμείναιμ' hic et 1062. ubi correxit Robortellus. 1051. Dehinc personae lineolis indicatae in M: nomina addiderunt Robortellus et Turnebus. πατρί,] πάλιν Erfurdtius. 1052. φόβου νικῶ Porsonus] φοβοῦ νικῶν 1056. τοι] σοι Hermannus. πίτνει D.] πιτνεῖ 1057. πληθύουσι Turnebus] πληθύουσαι 1059. εἷς σοι Erfurdtius] εἴσω pr. εἴσ' ὁ corr. M. εἰσὶν καθαρμοὶ Schuetzius Λοξίας Auratus] λοξίου προσθιγὼν Blomfieldus] προσθιγων 1067. πνεύσας Scaliger] πνεούσας 1068. παιδοβόροι Auratus] παιδόμοροι 1069. τε Θυέστου delevit Hermannus. 1076. μετακοιμισθὲν] κατακοιμισθὲν Franzius.

ΑΙΣΧΥΛΟΥ ΕΥΜΕΝΙΔΕΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΠΥΘΙΑΣ ΠΡΟΦΗΤΙΣ.
ΑΠΟΛΛΩΝ.
ΟΡΕΣΤΗΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ ΕΙΔΩΛΟΝ
ΧΟΡΟΣ ΕΥΜΕΝΙΔΩΝ.
ΑΘΗΝΑ.
ΠΡΟΠΟΜΠΟΙ.

ΥΠΟΘΕΣΙΣ.

Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐρινύων βουλῇ Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῇ νικήσας κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐρινύας πραΰνασα προσηγόρευσεν Εὐμενίδας. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

ΠΥΘΙΑΣ.

Πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν
τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,
ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο
μαντεῖον, ὡς λόγος τις· ἐν δὲ τῷ τρίτῳ
λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινός,
Τιτανὶς ἄλλη παῖς Χθονὸς καθέζετο,
Φοίβη· δίδωσι δ' ἡ γενέθλιον δόσιν
Φοίβῳ. τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα,
κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
ἐς τήνδε γαῖαν ἦλθε Παρνησοῦ θ' ἕδρας.
πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα
κελευθοποιοὶ παῖδες Ἡφαίστου, χθόνα
ἀνήμερον τιθέντες ἡμερωμένην.
μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεώς,
Δελφός τε χώρας τῆσδε πρυμνήτης ἄναξ.
τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα
ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις·
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεούς.
Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται.
σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
κοίλη, φίλορνις, δαιμόνων ἀναστροφή·
Βρόμιος ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός,
λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον·
Πλειστοῦ τε πηγὰς καὶ Ποσειδῶνος κράτος
καλοῦσα καὶ τέλειον ὕψιστον Δία,
ἔπειτα μάντις ἐς θρόνους καθιζάνω.
καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῷ
ἄριστα δοῖεν· κεἰ παρ' Ἑλλήνων τινές,
ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται.
μαντεύομαι γὰρ ὡς ἂν ἡγῆται θεός.
ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν,
πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου,
ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν βάσιν·
τρέχω δὲ χερσίν, οὐ ποδωκείᾳ σκελῶν·

Apographa huius fabulae ex codice Mediceo derivata innotuerunt novem, in quibus levia codicis archetypi vitia nonnulla emendata, multo plura temerariis correctionibus depravata sunt: de quo dixi in Philologo vol. 18. p. 70—76.

ΠΥΘΙΑΣ Victorius] προφῆτις 7. δίδωσι δ'] δίδωσιν δ' (δ' delet Porsonus) 11. Παρνησοῦ θ' Robortellus] παρνησοῦσθ' 18. θρόνοις Turnebus] χρόνοις 19. Διὸς π. δ' ἐστὶ (ἐστὶν M) — πατρός] πατρὸς π. ἐστι — Διός Macrob. Saturn. 5, 22.

21. προναία] προνῴα Hermannus. Similia sunt περίναιος et σύνναιος, de quibus dixi in Thesauro vol. 6 p. 867. et de προναία ib. p. 1783. ἐν λόγοις] εὐλόγως Hermannus. 23. ἀναστροφή ex schol.] ἀναστροφά (cum lineola quae α Dorico plerumque superscripta est) M, librario ad πέτρα aberrante. ἀναστροφαί apographa Ven. Flor. et Triclinius. 24. Βρόμιος] βρόμιος δ' eadem apographa et Guelf. 25. οὗτε] οὗ γε Porsonus. 27. Πλειστοῦ Stanleius (Πλείστου Turnebus)] πλείστους 29. ἐς D] εἰς 36. βάσιν] στάσιν, superscr. ab διορθωτῇ γρ. βάσιν 37. * ποδωκείᾳ] ποδωκίᾳ

δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν.
ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν·
ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ
ἕδραν ἔχοντα προστρόπαιον, αἵματι
στάζοντα χεῖρας καὶ νεοσπαδὲς ξίφος
ἔχοντ' ἐλάας θ' ὑψιγέννητον κλάδον,
λήνει μεγίστῳ σωφρόνως ἐστεμμένον,
ἀργῆτι μαλλῷ· τῇδε γὰρ τρανῶς ἐρῶ.
πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος
εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος.
οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω,
οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις.
εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας
* * * * * * *
δεῖπνον φερούσας· ἄπτεροί γε μὴν ἰδεῖν
αὗται, μέλαιναι δ' ἐς τὸ πᾶν βδελύκτροποι·
ῥέγκουσι δ' οὐ πλατοῖσι φυσιάμασιν·
ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ λίβα·
καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
φέρειν δίκαιος οὔτ' ἐς ἀνθρώπων στέγας.
τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας,
οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος
τρέφουσ' ἀνατὶ μὴ μεταστένειν πόνον.
τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων
αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ.
ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος
καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.

ΑΠΟΛΛΩΝ.

οὔτοι προδώσω· διὰ τέλους δέ σοι φύλαξ
ἐγγὺς παρεστὼς καὶ πρόσω δ' ἀποστατῶν
ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.
καὶ νῦν ἁλούσας τάσδε τὰς μάργους ὁρᾷς·
ὕπνῳ πεσοῦσαι δ' αἱ κατάπτυστοι κόραι,
Νυκτὸς παλαιαὶ παῖδες, αἷς οὐ μίγνυται
θεῶν τις οὐδ' ἄνθρωπος οὐδὲ θὴρ ποτε·
κακῶν δ' ἕκατι κἀγένοντ', ἐπεὶ κακὸν
σκότον νέμονται Τάρταρόν θ' ὑπὸ χθονός,
μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων.
ὅμως δὲ φεῦγε μηδὲ μαλθακὸς γένῃ.
ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς
[βεβῶτ' ἀν' ἀεὶ τὴν πλανοστιβῆ χθόνα]
ὑπέρ τε πόντον καὶ περιρρύτας πόλεις.
καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος
πόνον· μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν
ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας.
κἀκεῖ δικαστὰς τῶνδε καὶ θελκτηρίους
μύθους ἔχοντες μηχανὰς εὑρήσομεν,
ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων.
καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷον δέμας.

ΟΡΕΣΤΗΣ.

ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μἀδικεῖν·
ἐπεὶ δ' ἐπίστᾳ, καὶ τὸ μἀμελεῖν μάθε.
σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.

ΑΠ. μέμνησο, μὴ φόβος σε νικάτω φρένας.
σὺ δ', αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρός,
Ἑρμῆ, φύλασσε· κάρτα δ' ὢν ἐπώνυμος
πομπαῖος ἴσθι, τόνδε ποιμαίνων ἐμὸν
ἱκέτην. σέβει τοι Ζεὺς τόδ' ἐκνόμων σέβας,
ὁρμώμενον βροτοῖσιν εὐπόμπῳ τύχῃ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὕδοιτ' ἄν, ὠή, καὶ καθευδουσῶν τί δεῖ;
ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη
ἄλλοισιν ἐν νεκροῖσιν, ὧν μὲν ἔκτανον
ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται,
αἰσχρῶς δ' ἀλῶμαι· προυννέπω δ' ὑμῖν ὅτι
ἔχω μεγίστην αἰτίαν κείνων ὕπο·
παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων,
οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται,
κατασφαγείσης πρὸς χερῶν μητροκτόνων.
ὅρα δὲ πληγὰς τάσδε καρδίας ὅθεν.
εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται,
ἐν ἡμέρᾳ δὲ μοῖρ' ἀπρόσκοπος φρενῶν.
ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε,
χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα,
καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς
ἔθυον, ὥραν οὐδενὸς κοινὴν θεῶν.
καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα.
ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυστάτων
ὤρουσεν ὑμῖν ἐγκατιλλώψας μέγα.
ἀκούσαθ' ὡς ἔλεξα τῆς ἐμῆς περὶ
ψυχῆς. φρονήσατ', ὦ κατὰ χθονὸς θεαί.
ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ.

ΧΟΡΟΣ.

(μυγμός.)
ΚΛ. μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχεται φεύγων πρόσω·
φίλοις γὰρ εἰσιν, οὐκ ἐμοί, προσίκτορες.
ΧΟ. (μυγμός.)
ΚΛ. ἄγαν ὑπνώσσεις κοὐ κατοικτίζει πάθος·
φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται.
ΧΟ. (ὠγμός.)
ΚΛ. ὤζεις, ὑπνώσσεις· οὐκ ἀναστήσει τάχος;
τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά;
ΧΟ. (ὠγμός.)
ΚΛ. ὕπνος πόνος τε κύριοι συνωμόται
δεινῆς δρακαίνης ἐξεκήραναν μένος.
ΧΟ. (μυγμὸς διπλοῦς ὀξύς.)
λαβὲ λαβὲ λαβὲ λαβέ, φράζου.
ΚΛ. ὄναρ διώκεις θῆρα, κλαγγάνεις δ' ἅπερ
κύων μέριμναν οὔποτ' ἐκλιπὼν πόνου.
τί δρᾷς; ἀνίστω, μή σε νικάτω πόνος,

41. * ἔχοντα] ἔχοντι 43. ἐλάας D.] ἐλαίας 46. * λόχος] λέχος Post 50. lacunam indicavit D. 53. In marg. M ζτ. πλατοῖσι Elmsleius] πλαστοῖσι 54. λίβα Burgesius] δία 57. τῆσδ'] τῆς pr. M. 59. ἀνατὶ D.] ἀνατεὶ πόνον Arnaldus] πόνων 64. δέ σοι] δὲ σοὶ M. 65. πρόσω δ'] πρόσωθ' Wakefieldus. πρόσω γ' Blomfieldus Post 67. lacunam indicavit Hermannus. 69. Νυκτὸς Valckenarius] γραῖαι 76. Seclusi versum spurium. βεβῶτ' Stephanus] βεβῶντ' ἀν' ἀεὶ Hermannus] ἂν αἰεὶ 77. πόντεν Turnebus] πόντου 79. Παλλάδος ποτὶ] ποτὶ παλλάδος M, sed superscriptis literis β et α. 85. 86. μἀδικεῖν — μἀμελεῖν D.] μὴ ἀδικεῖν — μὴ ἀμελεῖν, sed eraso utroque α.

94. κλυταιμνήστρας εἴδωλον praescriptum in M. 96. ὧν Tyrwhittus] ὡς 99. ὕπο] ὕπερ Weilius. 103. καρδίας ὅθεν Hermannus] καρδία (καρδίαι διορθωτής, ut mox ἡμέραι pro ἡμέρᾳ) σέθεν 105. μοῖρ' ἀπρόσκοπος ex schol. (qui per οὐ προορᾷ exp.) Turnebus] μοῖρα πρόσκοπος φρενῶν ex schol. (ἡ τῆς φρενὸς μοῖρα) Hermannus] βροτῶν 107. νηφάλια Robortellus] νιφάλια 108. νυκτίσεμνα Turnebus] νυκτὶ (ὶ ex o facto) σεμνὰ 112. ἀρκυστάτων Turnebus] ἀρκυσμάτων 113. ἐγκατιλλώψας Turnebus] ἐκκατιλλώψας 118. ἀνὴρ] ἀνὴρ M. 119. ἐμοί Hermannus] ἐμοῖς 121—123. in marg. habet M. 121. κατοικτίζει D.] κατοικτίζεις 123 ὠγμός Robortellus] μωγμός 124. ὤζεις] ὠιζεις M: sine iota ap. Eustath. p. 127, 10. ἀναστήσει Porsonus] ἀναστήσῃ 130. λαβὲ] λάβε in M quater παροξυτόνως. Verba extra metrum posita, nisi Aeschylus scripserat A. λαβοῦ λαβοῦ, B. λαβοῦ λαβοῦ, Γ. φράζου, λαβοῦ. 131. κλαγγάνεις Wakefieldus] κλαγγαίνεις

μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ.
ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν·
τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται.
σὺ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ
ἕπου, μάραινε δευτέροις διώγμασιν,
ἀτμῷ κατισχναίνουσα, νηδύος πυρί.
ΧΟ. ἔγειρ', ἔγειρε καὶ σὺ τήνδ', ἐγὼ δὲ σέ.
εὕδεις; ἀνίστω, κἀπολακτίσασ' ὕπνον,
ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ.
ἰοὺ ἰοὺ πόπαξ. ἐπάθομεν, φίλαι,
ἦ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ,
ἐπάθομεν πάθος δυσαχές, ὦ πόποι, ἄφερτον κακόν.
ἐξ ἀρκύων πέπτωκεν οἴχεταί θ' ὁ θήρ.
ὕπνῳ κρατηθεῖσ' ἄγραν ὤλεσα.
ἰὼ παῖ Διός, ἐπίκλοπος πέλει,
νέος δὲ γραίας δαίμονας καθιππάσω,
τὸν ἱκέταν σέβων, ἄθεον ἄνδρα καὶ τοκεῦσιν πικρόν,
τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεός.
τί τῶνδ' ἐρεῖ τις δικαίως ἔχειν;
ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν
ἔτυψεν δίκαν διφρηλάτου
μεσολαβεῖ κέντρῳ
ὑπὸ φρένας, ὑπὸ λοβόν.
πάρεστι μαστίκτορος δαΐου δαμίου
βαρὺ τὸ περίβαρυ κρύος ἔχειν.
τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοί
κρατοῦντες τὸ πᾶν δίκας πλέον,
φονολιβῆ θρόμβον
περὶ πόδα, περὶ κάρα.
πάρεστι γᾶς ὀμφαλὸν προσδρακεῖν αἱμάτων
βλοσυρὸν ἀρόμενον ἄγος ἔχειν.
ἐφεστίῳ δὲ μάντις ὢν μιάσματι
μυχὸν ἔχρανας αὐτόσσυτος, αὐτόκλητος,
παρὰ νόμον θεῶν βρότεα μὲν τίων,
παλαιγενεῖς δὲ μοίρας φθίσας.
κἀμοί γε λυπρός καὶ τὸν οὐκ ἐκλύσεται,
ὑπό τε γᾶν φυγὼν οὔποτ' ἐλευθεροῦται.
ποτιτρόπαιος ὢν δ' ἕτερον ἐν κάρᾳ
μιάστορ' ἐκ κείνου πάσεται.
ΑΠ. ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος
χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν,
μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν,
χρυσηλάτου θώμιγγος ἐξορμώμενον,
ἀνῇς ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρόν,
ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου.
οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει·
ἀλλ' οὗ καρανιστῆρες ὀφθαλμωρύχοι
δίκαι σφαγαί τε σπέρματός τ' ἀποφθορᾷ
παίδων κακοῦται χλοῦνις, ἠδ' ἀκρωνία
λευσμός τε, καὶ μύζουσιν οἰκτισμὸν πολὺν
ὑπὸ ῥάχιν παγέντες. ἆρ' ἀκούετε
οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς
στέργηθρ' ἔχουσαι; πᾶς δ' ὑφηγεῖται τρόπος
μορφῆς. λέοντος ἄντρον αἱματορρόφου
οἰκεῖν τοιαύτας εἰκός, οὐ χρηστηρίοις
ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος.
χωρεῖτ' ἄνευ βο·τῆρος αἰπολούμεναι.
ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν.
ΧΟ. ἄναξ Ἄπολλον, ἀντάκουσον ἐν μέρει.
αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλει,
ἀλλ' εἷς τὸ πᾶν ἔπραξας ὢν παναίτιος.
ΑΠ. πῶς δή; τοσοῦτο μῆκος ἔκτεινον λόγου.
ΧΟ. ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν.
ΑΠ. ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι. τί μήν;
ΧΟ. κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου.
ΑΠ. καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους.
ΧΟ. καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς;
ΑΠ. οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν.
ΧΟ. ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον.
ΑΠ. τίς ἥδε τιμή; κόμπασον γέρας καλόν.
ΧΟ. τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν.
ΑΠ. τί γὰρ γυναικὸς ἥτις ἄνδρα νοσφίσῃ;
ΧΟ. οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος.
ΑΠ. ἦ κάρτ' ἄτιμα, καὶ παρ' οὐδὲν ἧκέ σοι
Ἥρας τελείας καὶ Διὸς πιστώματα.
Κύπρις δ' ἄτιμος τῷδ' ἀπέρριπται λόγῳ,
ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα.
εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μόρσιμος
ὅρκου 'στὶ μείζων τῇ Δίκῃ φρουρουμένη.
εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς
τὸ μὴ γενέσθαι μηδ' ἐποπτεύειν κότῳ,
οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν.
τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην,
τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν.
δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά.
ΧΟ. τὸν ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λίπω ποτέ.
ΑΠ. σὺ δ' οὖν δίωκε καὶ πόνον πλέον τίθου.

143—148. = 149—154.
155—161. = 162—168.
169—173. = 174—178.

135. *ὀνείδεσιν] ὀνείδεσσιν 136. γίγνεται Porsonus] γίνεται 137. σὺ δ' Porsonus] οὐδ' ἐπουρίσασα] ι radendo in M factum ex η. τῷ] τῷδ' Hermannus. 138. 139. inverso ordine in M. Transposuit Hermannus. 138. κατισχναίνουσα Robortellus] κατισχαίνουσα 140. In M praescriptum χορὸς ἐρινύων ἐξ ὧν μία 142. ἰδώμεθ' Turnebus] εἰδώμεθ' 143. πόπαξ Ald.] πύπαξ 147. θ' Abreschius] δ' 149. πέλει pr. Guelf.] πέλῃ 159. ὑπὸ φρένας — μαστίκτορος uno versu M, adscripto in marg. ζτ. 163. πλέον] πέρα Heimsoethius. 164. φονολιβῆ Arnaldus] φονολειβῆ θρόμβον Wakefieldus] θρόνον 168. ἀρόμενον Abreschius] αἰρόμενον 169. μάντις ὢν Schuetzius] μάντι σῶι 170. μυχὸν Robortellus] μυκόν 172. *παρὰ νόμον] παρανόμων M, ω in o mutato. 174. γε Casaubonus] τε 175. φυγὼν Porsonus] φεύγων 176. ὢν δ' Porsonus] δ' ὢν 177. ἐκ κείνου Bothius] ἐκείνου

186. οὗ Turnebus] οὐ 187. ἀποφθορᾷ Erfurdtius] ἀποφθοραὶ 189. λευσμός Casaubonus] λευσμόν: quo servato ἀκρωνίαν scripsit Heimsoethius. 190. ὑπὸ ῥάχιν Ald.] ὑπόρραχιν 195. *πλησίοισι] πλησίοις. πλουσίοισι Pauwius. 199. πέλει Robortellus] πέλῃ M. Terminationem Atticam in locis reliquis (229. 306. 415. 419. 431. 454. 608. 629. 716. 730. 731. 857. 898. 901.) Porsonus aliique restituerunt. 200. εἷς Canterus] εἰς ὢν Wakefieldus] ὡς 203. τί μήν Abreschius] τιμήν 204. δέκτωρ] δ' ἕκτωρ M, cui διορθωτὴς adscripsit οἶμαι δέκτωρ, et sic schol. qui exp. ὥστε δέξασθαι τὸν φονέα. 205. ζτ. margo M. 207. πρόσφοραν] πρόσφοροι Prienus. 211. τί] τία M, sed eraso α. 212. ΧΟ. addidit Robortellus. 213. ἄτιμα] ἄπιστα Heimsoethius. ἧκέ σοι Hermannus] ἠρκέσω M. ἠδέσω Wellauerus. 216. γίγνεται Porsonus pariterque 319. 750.] γίνεται 217. 218. Medio inter utrumque versum loco ζτ. adscriptum est in M, quod vel ad scripturam vitiosam μόρσιμοι vel ad ὁρκοῦστι (nam sic M) spectat. *μόρσιμος] μόρσιμοι M. μορσίμη Turnebus. 219. εἰ Canterus] ἢ 220. γενέσθαι] μέλεσθαι Heimsoethius. τίνεσθαι Meinekius. 221. Ἀπ. praescriptum in M, omissum in apogr. Flor. σ' Robortellus] γ' 222. οἶδα] οἶδ' αὖ Weilius. 224. δὲ Παλλὰς Sophianus] δ' ἐπάλλας cum ζτ in margine. 233. 244. θεά] θέα pr. M. 225. λίπω ποτέ Porsonus] λείπω ποτε (λείπω πώποτε pr.)

ΧΟ. τιμὰς σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγῳ.
ΑΠ. οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν.
ΧΟ. μέγας γὰρ ἔμπας παρὰ Διὸς θρόνοις λέγει·
ἐγὼ δ', ἄγει γὰρ αἷμα μητρῷον, δίκας
μέτειμι τόνδε φῶτα κἀκκυνηγετῶ.
ΑΠ. ἐγὼ δ' ἀρήξω τὸν ἱκέτην τε ῥύσομαι·
δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει
τοῦ προστροπαίου μῆνις, εἰ προδῶ σφ' ἑκών.
ΟΡ. ἄνασσ' Ἀθάνα, Λοξίου κελεύμασιν
ἥκω, δέχου δὲ πρευμενῶς ἀλάστορα,
οὐ προστρόπαιον οὐδ' ἀφοίβαντον χέρα,
ἀλλ' ἀμβλὺν ἤδη προστετριμμένον τε πρὸς
ἄλλοισιν οἴκοις καὶ πορεύμασιν βροτῶν.
ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν,
σώζων ἐφετμὰς Λοξίου χρηστηρίους,
πρόσειμι δῶμα καὶ βρέτας τὸ σόν, θεά,
καὐτοῦ φυλάσσων ἀμμενῶ τέλος δίκης.
ΧΟ. εἶεν· τόδ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ.
ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς.
τετραυματισμένον γὰρ ὡς κύων νεβρὸν
πρὸς αἷμα καὶ σταλαγμὸν ἐκματεύομεν.
πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ
σπλάγχνον· χθονὸς γὰρ πᾶς πεποίμανται τόπος,
ὑπέρ τε πόντον ἀπτέροις ποτήμασιν
ἦλθον διώκουσ', οὐδὲν ὑστέρα νεώς.
καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που καταπτακών.
ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ.
ὅρα ὅρα μάλ' αὖ λεῦσσέ τε πάντα, μὴ
λάθῃ φύγδα βὰς ματροφόνος ἀτίτας.
ἁ δ' αὖτέ γ' ἀλκὰν ἔχων
περὶ βρέτει πλεχθεὶς θεᾶς ἀμβρότου
ὑπόδικος θέλει γενέσθαι χερῶν.
τὸ δ' οὐ πάρεστιν· αἷμα μητρῷον χαμαὶ
δυσαγκόμιστον, παπαῖ,
τὸ διερὸν πέδοι χύμενον οἴχεται.
ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν
ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ
φεροίμαν βοσκὰν πώματος δυσπότου·
καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω,
ἀντίποιν' ὡς τίνῃς ματροφόνου δύας.
ὄψει δὲ κεἴ τις ἄλλος ἤλιτεν βροτῶν
ἢ θεὸν ἢ ξένον τιν' ἀσεβῶν ἢ τοκέας φίλους,
ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια.
μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν
ἔνερθε χθονός, δελτογράφῳ δὲ πάντ' ἐπωπᾷ φρενί.
ΟΡ. ἐγὼ διδαχθεὶς ἐν κακοῖς ἐπίσταμαι
πολλοὺς καθαρμούς, καὶ λέγειν ὅπου δίκη
σιγᾶν θ' ὁμοίως· ἐν δὲ τῷδε πράγματι
φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου·
βρίζει γὰρ αἷμα καὶ μαραίνεται χερός,
μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει.
ποταίνιον γὰρ ὂν πρὸς ἑστίᾳ θεοῦ
Φοίβου καθαρμοῖς ἠλάθη χοιροκτόνοις.
πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος,
ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίᾳ.
καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ
χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν ἐμοὶ
μολεῖν ἀρωγάν· κτήσεται δ' ἄνευ δορὸς
αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν
πιστὸν δικαίως ἐς τὸ πᾶν τε σύμμαχον.
ἀλλ' εἴτε χώρας ἐν τόποις Λιβυστικῆς,
Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου,
τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα,
φίλοις ἀρήγουσ', εἴτε Φλεγραίαν πλάκα
θρασὺς ταγοῦχος ὡς ἀνὴρ ἐπισκοπεῖ,
ἔλθοι, κλύει δὲ καὶ πρόσωθεν ὢν θεός,
ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος.
ΧΟ. οὔτοι σ' Ἀπόλλων οὐδ' Ἀθηναίας σθένος
ῥύσαιτ' ἂν ὥστε μὴ οὐ παρημελημένον
ἔρρειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν,
ἀναίματον βόσκημα, δαιμόνων σκιάν.
οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους
ἐμοὶ τραφεὶς τε καὶ καθιερωμένος;
καὶ ζῶν με δαίσεις οὐδὲ πρὸς βωμῷ σφαγείς·
ὕμνον δ' ἀκούσει τόνδε δέσμιον σέθεν.
ἄγε δὴ καὶ χορὸν ἅψωμεν, ἐπεὶ
μοῦσαν στυγερὰν
ἀποφαίνεσθαι δεδόκηκεν,
λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους
ὡς ἐπινωμᾷ στάσις ἁμά.
εὐθυδίκαιοι δ' εὐχόμεθ' εἶναι·

χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.

229. παρὰ Διός — λέγει Porsonus] παρδιάς — λέγη 230. *ἄγει — μητρῷον] ἄγει — μητρωων 231. κἀκκυνηγετῶ Erfurdtius] κάκκυνηγέτης 233. κἀν] καὶ ἐν pr. M. *θεοῖς] θεοῖσι 234. εἰ] ἣν Porsonus. 235. κελεύμασιν D.] κελεύσμασιν 236. ἀλάστορα] Vel ἀλάστορον: vid. ad fragm. 90. 241. σώιζων M. 243. καὐτοῦ Schuetzius] αὐτοῦ ἀμμενῶ D.] ἀναμένω M. ἀναμενῶ Stanleius. 246. νεβρὸν Victorius] νεκρὸν 247. ἐκματεύομεν D.] ἐκμαστεύομεν 248. ἀνδροκμῆσι] ἀρθροκμῆσι Schoemannus et Heimsoethius. Per μεγαλοκμῆσι exp. schol. quod ex μελοκμῆσι corruptum videtur Heimsoethio. 250. ποτήμασιν D. in Thesauro 6. p. 1530.] πωτήμασιν 252. καταπτακών] Super altero τ litura est in M. Fuit fortasse λ, ut apud Hesychium, καταπλακών: καταπλήξας, διαμαρτών, duae gl. confusae sunt, καταπτακών: καταπτήξας et καταπλακών: διαμαρτών, de quo dixit Lobeckius Paral. p. 541. 255. λεῦσσέ τε πάντα Hermannus] λεύσσετ (literis ετ uno ductu expressis)..τὸν πάντα, crasis post λεύσσετ literis duabus. 256. φύγδα] φυγάδα pr. M. 257. ἁ δ' αὖτέ γ' Hermannus] ὅδ' αὖτε γοῦν M verbis ὅδ — περιβρέτει (sic) uno versu comprehensis, quem senarium esse voluit interpolator qui γοῦν scripsit. 259. πλεχθεὶς] In πλαγχθεὶς corruptum in apogr. tribus interpolatis. πλακεὶς Heimsoethius. 260. χερῶν] χρεῶν Scaliger, quod legisse scholiastam non sequitur ex verbis eius ἀνθ' ὧν ἡμῖν χρεωστεῖ πρόσφυξ θέλει γενέσθαι τῆς θεοῦ, quum Hesychius quoque ὑπόδικος per χρεώστης explicet. 262. δυσαγκόμιστρον M, sed eraso ρ.

263. πέδοι D.] πέδῳ χύμενον Porsonus] κεχυμένον 264. *ῥοφεῖν Guelf.] ῥόφειν

265. πέλανον] πελανόν, ut alibi constanter. 266. φεροίμαν βοσκὰν Wellauerus] βοσκὰν φεροίμαν (φεροίμην pr.) 267. ἰσχνάνασ' Turnebus] ἰχνάνασ' (ἰσχάνασ apogr. Ven. et Flor.) 268. ἀντίποιν' ὡς Schuetzius] ἀντιποίνους *τίνῃς] τείνης (superscr. ab διορθωτῇ ει.) ματροφόνου δύας Casaubonus] μητροφόνας δύας (δυιασ pr.) 269. δὲ κεἴ τις ἄλλος Schuetzius] δ' ἐκεῖ τίς ἄλλον 270. ἢ θεὸν ἢ ξένον separato versu M. ἀσεβῶν ἢ τοκέας] ἀσεβοῦντες ἢ τοκῆας Weilius.
272. ἔχονθ'] ἔχοντ' pr. M. 280. χερός] χρέος Iacobsius, commate non ante, sed post μητροκτόνον posito. 286. Versum spurium delevit Musgravius. Similis est Prom. 981. ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος. 292. Λιβυστικῆς Auratus] λιβυστικοῖς (λιβυστίοις ap. Tsetzam ad Lycophr. 519.) 302. ἀναίματον] Diversam scripturam ἐναίματον memorat schol. σκιάν Heathius] σκιά 305. Lineola bie praescripta in M, Xo. vero versui 306. 311. ἁμά Cauterus (ἀμά Weilius)] ἅμα 312. εὐθυδίκαιοι δ' Hermannus] εὐθυδίκαι οἰδ' (apostrophus a m. sec.) M cum ζτ. in margine. εὐχόμεθ' Donaldsonus] οἰμεθ' (sic) M.

τὸν μὲν καθαρὰς χεῖρας προνέμοντ'
οὔτις ἐφέρπει μῆνις ἀφ' ἡμῶν,
ἀσινὴς δ' αἰῶνα διοιχνεῖ· 315
ὅστις δ' ἀλιτὼν ὥσπερ ὅδ' ἀνὴρ
χεῖρας φονίας ἐπικρύπτει,
μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν
παραγιγνόμεναι πράκτορες αἵματος
αὐτῷ τελέως ἐφάνημεν. 320
μᾶτερ ἅ μ' ἔτικτες, ὦ μᾶτερ
Νύξ, ἀλαοῖσι καὶ δεδορκόσιν
ποινάν, κλῦθ'· ὁ Λατοῦς γὰρ ἶνίς μ' ἄτιμον τίθησιν
τάνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἅγνισμα
κύριον φόνου. 325
ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος
παρακοπά, παραφορὰ φρενοδαλής, 330
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρμικτος, αὐονὰ βροτοῖς.
τοῦτο γὰρ λάχος διανταία
Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν, 335
θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν μάταιοι,
τοῖς ὁμαρτεῖν, ὄφρ' ἂν γᾶν ὑπέλθῃ· θανὼν δ' οὐκ
ἄγαν ἐλεύθερος. 340
ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος
παρακοπά, παραφορὰ φρενοδαλής,
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρμικτος, αὐονὰ βροτοῖς. 346
γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμὶν ἐκράνθη, 347
ἀθανάτων δ' ἀπέχειν χέρας, οὐδέ τις ἐστὶ 350
συνδαίτωρ μετάκοινος.
παλλεύκων δὲ πέπλων ἄμοιρος μοῦνα ἐτύχθην.
δωμάτων γὰρ εἱλόμαν 354
ἀνατροπάς· ὅταν Ἄρης τιθασὸς ὢν φίλον ἕλῃ,
ἐπὶ τὸν ὦ διόμεναι κρατερὸν ὄντα περ ὅμως
μαυροῦμεν, νέον αἷμα. 359

321—333. = 334—346.
347—359. = 360—372.

σπευδομένα δ' ἀφελεῖν τινὰ τάσδε μερίμνας,
θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν,
μηδ' εἰς ἄγκρισιν ἐλθεῖν —
Ζεὺς γὰρ αἱματόφυρτον πᾶν ἔθνος τόδε λέσχας 366
ἇς ἀπηξιώσατο —
μάλα γὰρ οὖν ἁλομένα ἀνέκαθεν βαρυπεσῆ 369
καταφέρω ποδὸς ἀκμάν — σφαλερὰ γὰρ τανυδρόμοις
κῶλα — δύσφορον ἄταν.
δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι σεμναὶ 373
τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι
ἁμετέραις ἐφόδοις μελανείμοσιν, ὀρχησμοῖς τ' ἐπι-
φθόνοις ποδός. 375. 376
πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ,
τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται,
καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται
πολύστονος φάτις. 380
μένει γάρ· εὐμήχανοί τε καὶ τέλειοι, κακῶν
τε μνήμονες σεμναὶ
καὶ δυσπαρήγοροι βροτοῖς,
ἄτιμ' ἀτίετα διόμεναι 385
λάχη θεῶν διχοστατοῦντ'
ἀναλίῳ λάπᾳ, δυσοδοπαίπαλα
δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς.
τίς οὖν τάδ' οὐχ ἅζεταί τε καὶ δέδοικεν βροτῶν,
ἐμοῦ κλύων θεσμὸν 391
τὸν μοιρόκραντον ἐκ θεῶν
δοθέντα τέλεον; ἔπι δέ μοι
γέρας παλαιόν, οὐδ' ⏑ –

373—376. = 377—380.
381—388. = 389—396.

Editionis Aldinae vitio εὐθυδίκα θ' οἱ δοίμεσθ' deceptus Turnebus εὐθύδικαι θ' ἡδόμεσθ' scripsit indocte: nam ἥδομαι non infinitivo, sed participio iungi solet.

313. τὸν — προνέμοντ' Hermannus] τοὺς — προνέμοντας 314. οὔτις ἀφ' ἡμῶν μῆνις ἐφέρπει M. Transposuit Porsonus. 316. ἀλιτὼν Auratus] ἀλιτρῶν ἀνὴρ Porsonus] ἀνήρ 319. παραγιγνόμεναι Porsonus] παραγινόμενοι 322. * ἀλαοῖσι] ἀλαοῖσιν

326. πτῶκα Sophianus] πτάκα ματρῷον Arnaldus] ματρώϊον 330. 342. παραφορὰ Turnebus] παράφρονα 330. φρενοδαλής] φρενοδαλισ M, ι in η mutato. Ζτ. margo M, adscripto ab διορθωτῇ οἶμαι φρενοδαής 333. Ζτ. margo M hic et 336. 351. 363. 387. 398. 336. θνατῶν Canterus] θανάτων αὐτουργίαι Turnebus] αὐτουργίαις M cum gl. αὐτοφονίαις. ξυμπέσωσιν Turnebus] ξύμπασ ωσιν (sic duobus vocabulis) M. 346. γιγνομέναισι] γεινομέναισι Hermannus. ἁμὶν Porsonus] ἁμῖν 351. συνδαίτωρ Turnebus] συνδάτωρ 352. *παλλεύκων] πανλεύκων ἄμοιρος D.] ἄμοιρος ἄκληρος, illato glossemate, ut Hesychius ἄμοιρος per ἄκληρος explicat. μοῦνα addidit D. in Praef. ed. Lips. quintae p. CI. 354. δωμάτων Ald.] δομάτων 356. τίθασος (voluit τιθασός ut Porsonus) — φίλον Turnebus] πίθασος — φίλος 357. ἐπὶ τὸν ὦ M, ad quod schol. διὰ μέσου τὸ ὦ. ἐπιτόνως Turnebus. 358. ὄντα περ Hermannus] ὄνθ' ὅμως Arnaldus] ὁμοίως 359 νέον αἷμα Paleius] ὑφ' αἵματος νέου M, superscr. gl. διὰ τὸ νέον αἷμα. νέον αἷμα eadem appositione dictum qua δύσφορον ἄταν v. 372.

360. σπευδομένα Bergesius] σπευδόμεναι M, litera ι a m. rec. addita. τινὰ] Δία Pauwius. τάσδε Ald.] τᾶσδε M, at ἥδε et τοῦσδε et alia huiusmodi in codice scribuntur, de quo dixi ad Soph. Ant. 578. 364. εἰς Pauwius] ἐς 366. αἱματόφυρτον D. in Praef. l. c.] αἱματοσταγὲς ἀξιόμισον πᾶν addidit D. 368—372. μάλα — ἄταν] Hi versus in M leguntur post 376. Transposuit Heathius. Scholiasta quo ordine legerit non potest colligi ex ordine scholiorum editionis meae. Nam scholia ad versus 374. 377. p. 138, 38—30. non leguntur in margine post scholion ad v. 372, sed textui superscripta sunt. 368. *ἁλομένα] ἀλλωμένα, altero λ partim eraso. ἀνέκαθεν Pearsonus] ἄγκαθεν 371. γὰρ addidit Hermannus post τανυδρόμοις (verbis in stropha aliter scriptis, ego post σφαλερά. σφαλερὰ καὶ τ. Schoemannus, quod legisse videatur schol. qui annotavit καὶ τοῖς τανυδρόμοις σφαλερὰ γίνεται τὰ κῶλα. 374. γᾶν] γᾶς Hermannus. 375. ἁμετέραις D.] ἡμετέραις 376 ἐπιφθόνοις — τοῖον Heathius] ἐπιφάνοις — τοῖον γὰρ 379. μύσος Victorius] μῦσος 382. εὐμήχανοι] ἐσμέν supplet scholiasta. Praecedentium stropharum dialectus postulat εὐμάχανοι — μνάμονες — δυσπαράγοροι et 506. παραγορεῖ, (si παράγοροι recte legitur in iambico dimetro Soph. El. 229.), nisi quis fingere velit poetam in hac stropha minus παθητικῶς loqui voluisse quam in praecedentibus. Idem de aliis huiusmodi locis dicendum est. τε Wakefieldus] δὲ 385. ἀτίετα Canterus] ἀτίεται

386. διχοστατοῦ͂ (litera ν per compendium expressa, quod non intellexit scriba codicis Guelf. qui διχοστατοῦ scripsit) | τανηλιωιλαμπαι M. 387. ἀναλίῳ et 396. δυσάλιον D.] ἀνηλίωι — δυσήλιον λάπᾳ Wieselerus] λάμπαι (λάμπᾳ Canterus) δυσοδοπαίπαλα] δυσποροπαίπαλα Heimsoethius. 389. οὐχ ἅζεται Turnebus] οὐχάζεται 390. δέδοικεν Schuetzius] δέδοικε 394. Duarum syllabarum defectum (in initio versus) indicavit Hermannus, recte, nisi pro παλαιόν aliud quid scriptum fuit, fortasse vocabulum cum παλαιός compositum. πάλαι παλαιόν Wieselerus.

ἀτιμίας κυρῶ, καίπερ ὑπὸ χθόνα
τάξιν ἔχουσα καὶ δυσάλιον κνέφας.

ΑΘΗΝΑ.

πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν
ἀπὸ Σκαμάνδρου γῆν καταφθατουμένη,
ἣν δῆτ' Ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι,
τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα,
ἔνειμαν αὐτόπρεμνον ἐς τὸ πᾶν ἐμοί,
ἐξαίρετον δώρημα Θησέως τόκοις·
ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα,
πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος,
πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον.
καινὴν δ' ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς
ταρβῶ μὲν οὐδέν, θαῦμα δ' ὄμμασιν πάρα.
τίνες ποτ' ἐστέ; πᾶσι δ' ἐς κοινὸν λέγω·
βρέτας τε τοὐμὸν τῷδ' ἐφημένῳ ξένῳ,
ὑμᾶς θ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει,
οὔτ' ἐν θεαῖσι πρὸς θεῶν ὁρωμένας
οὔτ' οὖν βροτείοις ἐμφερεῖς μορφώμασιν.
λέγειν δ' ἄμορφον ὄντα τοὺς πέλας κακῶς
πρόσω δικαίων ἠδ' ἀποστατεῖ θέμις.

ΧΟ. πεύσει τὰ πάντα συντόμως, Διὸς κόρη.
ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανὴ τέκνα.
Ἀραὶ δ' ἐν οἴκοις γῆς ὕπαὶ κεκλήμεθα.
ΑΘ. γένος μὲν οἶδα κληδόνας τ' ἐπωνύμους.
ΧΟ. τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσει τάχα.
ΑΘ. μάθοιμ' ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον.
ΧΟ. βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν.
ΑΘ. καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;
ΧΟ. ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται.
ΑΘ. ἦ καὶ τοιαύτας τῷδ' ἐπιρροιζεῖς φυγάς;
ΧΟ. φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.
ΑΘ. ἄλλαις ἀνάγκαις, ἤ τινος τρέων κότον;
ΧΟ. ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν;
ΑΘ. δυοῖν παρόντοιν ἥμισυς λόγος πάρα.
ΧΟ. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, εἰ δοῦναι θέλοιν.
ΑΘ. κλύειν δίκαιος μᾶλλον ἢ πρᾶξαι θέλεις.
ΧΟ. πῶς δή, δίδαξον· τῶν σοφῶν γὰρ οὐ πένει.
ΑΘ. ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.
ΧΟ. ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην.
ΑΘ. ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλας;
ΧΟ. πῶς δ' οὔ; σέβουσαί γ' ἀξίαν ἐπαξίων.
ΑΘ. τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις;
λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς
τὰς σάς, ἔπειτα τόνδ' ἀμυναθοῦ ψόγον·
εἴπερ πεποιθὼς τῇ δίκῃ βρέτας τόδε
ἧσαι φυλάσσων ἑστίας ἐμῆς πέλας
σεμνὸς προσίκτωρ ἐν τρόποις Ἰξίονος·
τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι.
ΟΡ. ἄνασσ' Ἀθάνα, πρῶτον ἐκ τῶν ὑστάτων
τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα.
οὐκ εἰμὶ προστρόπαιος, οὐδ' ἔχων μύσος
πρὸς χειρὶ τῇμῇ τὸ σὸν ἐφεζόμην βρέτας.
τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα·
ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
ἔς τ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ.
πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
οἴκοισι καὶ βοτοῖσι καὶ ῥυτοῖς πόροις.
ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω.
γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσει τάχα.
Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον', ἀνδρῶν ναυβατῶν ἁρμόστορα·
ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
ἔθηκας. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν
εἰς οἶκον· ἀλλά νιν κελαινόφρων ἐμὴ
μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασιν
κρύψασ', ἃ λουτρῶν ἐξεμαρτύρει φόνον.
κἀγὼ κατελθών, τὸν πρὸ τοῦ φεύγων χρόνον,
ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.
καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος,
ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ,
εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους.
σὺ τ' εἰ δικαίως εἴτε μὴ κρῖνον δίκην·
πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω.
ΑΘ. τὸ πρᾶγμα μεῖζον ἤ τις οἴεται τόδε
βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
φόνου διαιρεῖν ὀξυμηνίτους δίκας.
ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς νόμῳ
ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις
ἐμοῖς, ἄμομφον δ' ὄντα σ' αἱροῦμαι πόλει.
αὗται δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον,
καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου,

398. γῆν καταφθατουμένη Stanleius] τὴν καταφθατουμένην. Per καταφθάνουσα exp. schol. 405. πώλοις] κώλοις Wakefieldus. 406. καινὴν Canterus] καὶ νῦν τήνδ'] τὴν pr. M. δ' addidit διορθωτής. 410. οὐδενὶ] οὐδ' ἐνὶ pr. M. 411. ὁρωμένας Stanleius] ὁρωμέναις 413. ἄμορφον] ἄμομφον Robortellus. τοὺς] τοῖς pr. M. 416. *αἰανῆ Ven. Flor.] αἰανῆς M cum schol. et Tzetza ad Lycophr. 406. Infra v. 479. αἰανὴς νόσος, ubi vice versa αἰανὴ Ven. et Flor. Eadem dubitatio de Soph. Ai. 672. El. 506.: sed legitima forma esse videtur αἰανής, de quo dixit Nauckius in *Mélanges Gréco-Romains* a. 1862. vol. 2. p. 441. Apud Sophoclem El. 506. ὡς ἔμολες αἰανὴς τᾷδε γᾷ quum corrector codicis Laur. αἰανῆ inferret, non cogitaverat id αἰανά scribendum fore. 417. *ἀραὶ Ven. Flor.] ἀρὰ M. ὕπαι (debebat ὑπαὶ) κεκλήμεθα Victorius] ὑπαικεκλήμεθα 422. ποῦ τὸ Arnaldus] τοῦτο φυγῆς Scaliger] σφαγῆς 424. ἐπιρροιζεῖς Scaliger] ἐπιρροιζεῖ 426. ἄλλαις ἀνάγκαις Bothius] ἄλλης ἀνάγκης *ἤ τινος apogr. Flor. et Triclinius (ἢ τίνος Ven.)] οὔτινος 428. *λόγος] λόγου 429. εἰ δοῦναι θέλοιν D. in Praef. edit. Lips. quintae p. LXXIII.] οὐ δοῦναι θέλει 430. δίκαιος D.] δικαίους (ου in litura) M, superscr. a m. antiqua ωι. i. e. δικαίως. 435. ἀξίαν Porsonus] ἀξίαν τ' M. ἀξίαν σ' Wakefieldus. ἐπαξίων] ἀπ' ἀξίων Stanleius, quod legit scholiasta, qui exp. ἀξίων οὖσαν γονέων.

438. ἀμυναθοῦ D.] ἀμυνάθου 440. *ἐμῆς] ἀμῆς 445. ἔχων — ἐφεζόμην Wieselerus] ἔχει — ἐφεζαμένη M. ἔχει μύσος | πρὸς χειρὶ τῇμῇ σὸν προσημένη βρέτας Heimsoethius. 449. πρὸς ἀνδρὸς] προσαρδμοῖς Weilius, collato παλαγμοῖς αἵματος χοιροκτόνου fragm. 340. 450. καθαιμάξωσι νεοθήλου Turnebus] καθαιμάξουσιν οθήλου M et in marg. ζτ. 452. βοτοῖσι] βατοῖσι Weilius. 453. *ἐκποδὼν] ἐκποδῶν

457. Τροίαν ex glossemate illatum esse videtur, omisso Aeschyli vocabulo, quod fortasse πρόσθεν fuit, non πρῴαν, quod coniecit Meinekius Philol. 19. p. 224.

458. *οὗτος] οὕτως 459. εἰς D.] ἐς 461. κρύψασ', ἃ Musgravius] κρύψασα 465. ἐπαίτιος] μεταίτιος Weilius. 468. σὺ τ'] σὺ δ' Pearsonus. 470. ἤ τις Pearsonus] εἴ τις M et schol. 471. βροτὸς] βροτοῖς pr. M. 472. φόνου Robortellus] φόνους ὀξυμηνίτους Pearsonus] ὀξυμηνίτου 473. νόμῳ D. in Annot. Oxon. p. 554.] ὅμως M. Conf. v. 576. ἔστι γὰρ νόμῳ (nam sic Erfurdtius pro δόμων) ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος | ἐμῶν. 474. ἱκέτης] ἵκτης Meinekius Philol. 19. p. 224. 475. ἐμοῖς· ἄμομφον δ' Hermannus (qui ἄμομφον ὄντα δ' αἰδοῦμαι πόλει)] ὅμως δ' ἄμομφον M. Pronomen hic non minus necessarium quam v. 577: quod animadverterat Pauwius, qui prius illud ὅμως v. 473. in ἐμοῖς mutabat.

χώρᾳ μεταῦθις ἰὸς ἐκ φρονημάτων
πέδοι πεσὼν ἄφερτος αἰανὴς νόσος.
τοιαῦτα μὲν τάδ' ἐστίν· ἀμφότερα, μένειν
πέμπειν τε τάσδε, πῆμ' ἀμηχάνως τ' ἔχει.
ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε,
φόνων δικαστὰς ὁρκίους αἱρουμένη
θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον,
ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια
καλεῖσθ' ἀρωγὰ τῆς δίκης θ' ὁρκώματα.
κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα
ἥξω διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως,
ὅρκον πορόντας μηδὲν ἔκδικον φράσειν.
ΧΟ. νῦν καταστροφαὶ νέων
θεσμίων, εἰ κρατήσει δίκα τε καὶ βλάβα
τοῦδε ματροκτόνου.
πάντας ἤδη τόδ' ἔργον εὐχερείᾳ συναρμόσει βρο-
τούς,
πολλὰ δ' ἔτυμα παιδότρωτα
πάθεα προσμένει τοκεῦσιν μεταῦθις ἐν χρόνῳ.
οὐδὲ γὰρ βροτοσκόπων
μαινάδων τῶνδ' ἐφέρψει κότος τιν' ἐργμάτων·
πάντ' ἐφήσω μόρον· [λας κακά
πεύσεται δ' ἄλλος ἄλλοθεν προφωνῶν τὰ τῶν πέ-
λήξιν ὑπόδοσίν τε μόχθων,
ἄκεά τ' οὐ βέβαια τλάμων μάταν παρηγορεῖ.
μηδέ τις κικλησκέτω
ξυμφορᾷ τετυμμένος,
τοῦτ' ἔπος θροούμενος,
ὦ δίκα, ὦ θρόνοι τ' Ἐρινύων.
ταῦτά τις τάχ' ἂν πατὴρ
ἢ τεκοῦσα νεοπαθὴς
οἶκτον οἰκτίσαιτ', ἐπειδὴ πίτνει δόμος δίκας.
ἔσθ' ὅπου τὸ δεινὸν εὖ
καὶ φρενῶν ἐπίσκοπον

490—498. = 499—507.
508—516. = 517—525.

δεῖ μένειν καθήμενον.
ξυμφέρει σωφρονεῖν ὑπὸ στένει.
τίς δὲ μηδὲν ἐν φάει
καρδίαν ἀνατρέφων
ἢ πόλις βροτός θ' ὁμοίως ἔτ' ἂν σέβοι δίκαν;
μήτ' ἀνάρχετον βίον
μήτε δεσποτούμενον [ἄλλᾳ δ' ἐφορεύει.
αἰνέσῃς. παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν, ἄλλ'
ξύμμετρον δ' ἔπος λέγω,
δυσσεβίας μὲν ὕβρις τέκος ὡς ἐτύμως·
ἐκ δ' ὑγιείας
φρενῶν ὁ πᾶσιν φίλος
καὶ πολύευκτος ὄλβος.
ἐς τὸ πᾶν δέ σοι λέγω,
βωμὸν αἴδεσαι δίκας·
μηδέ νιν κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς· ποινὰ
κύριον μένει τέλος. [γὰρ ἐπέσται.
πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων
καὶ ξενοτίμους
ἐπιστροφὰς δωμάτων
αἰδόμενός τις ἔστω.
ἑκὼν δ' ἀνάγκας ἄτερ δίκαιος ὢν οὐκ ἄνολβος ἔσται,
πανώλεθρος δ' οὔποτ' ἂν γένοιτο.
τὸν ἀντίτολμον δέ φαμι παρβάταν
⏑ – τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκας
βιαίως ξὺν χρόνῳ καθήσειν,
λαῖφος ὅταν λάβῃ πόνος θραυομένας κεραίας.
καλεῖ δ' ἀκούοντας οὐδὲν ἐν μέσᾳ δυσπαλεῖ τε δίνᾳ·
γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμῷ,
τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμαχάνοις
δύαις λαπαδνὸν οὐδ' ὑπερθέοντ' ἄκραν·
δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον
ἕρματι προσβαλὼν δίκας ὤλετ' ἄκλαυτος, ᾄστος.
ΑΘ. κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατειργαθοῦ,
εἴτ' οὖν ⏑ – ⏑ διάτορος Τυρσηνικὴ

526—537. = 538—549.
550—557. = 558—565.

478. χώρᾳ μεταῦθις Wellauerus] χῶραι μετ' αὖθις et in marg. ζτ. 479. πέδοι D.] πέδῳ αἰανὴς] αἰανὴ Ven. Flor. Vid. ad v. 416. 481. τε Abreschius] δὲ τάσδε, πῆμ' ἀμηχάνως τ' ἔχει (ἔχει pro ἐμοί etiam Butlerus) D. coniectura incerta in Praef. edit. Oxon. secundae 1851. p. XXV.] δυσπήματ' (δυσπήμαντ' Scaliger non animadvertens necessarium esse τάσδε) ἀμηχάνως ἐμοί M. Schol. πέμπειν αὐτὰς ἀμηνίτως δυσχερές ἐστιν ἐμοί, qui ἀμηνίτως pro ἀμηχάνως legisse videbatur Tyrwhitto. 482. ἐπέσκηψεν] ἀπέσκηψεν pr. M. 483. ὁρκίους αἱρουμένη Casaubonus] ὁρκίων αἱρουμένους M. ὁρκίοις αἱρουμένους Paleius. 486. θ' addidit Wellauerus. ὁρκώματα] κ ex μ factum videtur in M. 488. ἥξω] ἄξω Auratus (ut Ἀθηνᾶ ἄγει δικάσοντας dixit schol. v. 556. ab Heimsoethio comparatus). τάξω Schneidewinus in Diar. Gotting. a. 1845. p. 1952. 489. περῶντας M. Schol. per διδόντας exp.: unde πορόντας Hermannus. μηδὲν] μηδέν' Turnebus. φράσειν Marklandus ad Eurip. Suppl. 112.] φρεσίν 490. καταστροφαὶ] μεταστροφαὶ Meinekius Philol. 19. p. 224. 492. τε addidit Heathius. 493. ματροκτόνου D.] μητροκτόνου 495 εὐχερείᾳ Turnebus] εὐχερίαι 496. *ἔτυμα] ἔτυμα M et ἐτύμως 534. 497. προσμένει] προσνεμεῖ Weilius.
499. οὐδὲ Elmsleius] οὔτε 500. τῶνδ'] δ' ab διορθωτῇ habet M. 501. τιν' Weilius] τις 505. ὑπόδοσιν] ὑπόδησιν Flor. ὑπόδυσιν Ven. Per διαδοχὴν exp. schol. 506. ἄκεά τ' Schuetzius (ἄκεα δ' Heimsoethius)] ἄκετ' cum ζτ. in marg. τλάμων] δέ τις addit M. δὲ delevit Pauwius, τις Fritzschius. 511. ὦ—ὦ Pauwius] ἰὼ—ἰώ, verbis ἰὼ δίκα separato versu scriptis. δίκα] δίκα τ' Heimsoethius. 515. πίτνει Elmsleius] πιτνεῖ 517. εὖ] αὖ Hermannus.

519. δεῖ μένειν anonymus apud Dobraeum] δειμαίνει 522. φάει] δέει Auratus. 522. καρδίαν] καρδίας legisse videtur schol. qui exp. λαμπρότητι, ὀρθότητι φρενῶν. Post καρδίαν excidit syllaba una. καρδίαν ἔτ' Hermannus. 525. σέβοι] σέβει M, sed superscr. οι 526. ἀνάρχετον Wieselerus] ἄναρκτον M. ἀνάρκετον Triclinius. ἀνάρκητον Ven. 527. δεσποτούμενον] δεσποτουμένων Heimsoethius. 528. παντὶ Pauwius] ἅπαντι 530. ἄλλ' ἄλλᾳ Wellauerus] ἄλλα ἄλλαι, ι ab διορθωτῇ addito. *δ' ἐφορεύει] δι' ἐφορεύει (διεφορεύει Guelf.) 534. δυσσεβίας Porsonus] δυσσεβείας 536. πᾶσιν Heathius] πᾶσι 548. ἐπιστροφὰς δωμάτων Heathius] δωμάτων ἐπιστροφὰς 550. ἑκὼν δ' Wieselerus] ἐκ τῶνδ' 552. δ' addidit Pauwius. 553. παρβάταν Hermannus] περαιβάδαν M. παρβάδαν Ven. Flor. et Triclinius, quasi παρβάδαν Dorica adverbii forma sit, qualis est διαρρύδαν Choeph. 67. βαρίβαν Meinekius Philol. 19. p. 225. 554. ⏑ – τὰ] βάρη τὰ Heimsoethius. ἄγοντα Weilius. παντόφυρτ'] παντόθεν συνηγμένα exp. schol.: unde παντόσυρτ' Meinekius l. c. δίκας D.] δίκης 558. ἐν addidit Abreschius. 559. δυσπαλεῖ τε Turnebus] δυσπαλεῖται 560. θερμῷ Triclinius (superscripto θερμουργῷ)] θερμοεργῷ 561. ἀμαχάνοις D.] ἀμηχάνοις 562. λαπαδνὸν Musgravius] λέπαδνον 565. ἄκλαυτος D.] ἄκλαυστος αἶστος (debebat ᾄστος) Porsonus] ἄϊστος 566. κατειργάθου (debebat κατειργαθοῦ) Porsonus] κατεργάθου 567. εἴτ'] ἤ (non ἢ) scriptum super ει ab eadem manu. Suspectum est εἴτ' (vel ἤτ') οὖν, quae literae fortasse reliquiae sunt quinque primarum huius versus syllabarum. Tres quae desiderantur syllabae incertum est utrum ante an post εἴτ' οὖν exciderint. εἴτ' οὖν δι' ὤτων Heimsoethius.

σάλπιγξ βροτείου πνεύματος πληρουμένη
ὑπέρτονον γήρυμα φαινέτω στρατῷ.
πληρουμένου γὰρ τοῦδε βουλευτηρίου
σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμοὺς
πόλιν τε πᾶσαν ἐς τὸν αἰανῆ χρόνον
καὶ τῶνδ' ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.
ΧΟ. ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει.
τί τοῦδε σοὶ μέτεστι πράγματος λέγε.
ΑΠ. καὶ μαρτυρήσων ἦλθον· ἔστι γὰρ νόμῳ
ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος
ἐμῶν, φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος,
καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
ὅπως τ' ἐπίστᾳ τήνδε κύρωσον δίκην.
ΑΘ. ὑμῶν ὁ μῦθος, εἰσάγω δὲ τὴν δίκην.
ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων
γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.
ΧΟ. πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως.
ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς.
τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.
ΟΡ. ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει.
ΧΟ. ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.
ΟΡ. οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον.
ΧΟ. εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.
ΟΡ. λέγω· ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμών.
ΧΟ. πρὸς τοῦ δ' ἐπείσθης καὶ τίνος βουλεύμασιν;
ΟΡ. τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.
ΧΟ. ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;
ΟΡ. καὶ δεῦρό γ' ἀεὶ τὴν τύχην οὐ μέμφομαι.
ΧΟ. ἀλλ' εἴ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.
ΟΡ. πέποιθ', ἀρωγὰς δ' ἐκ τάφου πέμψει πατήρ.
ΧΟ. νεκροῖσί νυν πέπεισθι μητέρα κτανών.
ΟΡ. δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτοιν.
ΧΟ. πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.
ΟΡ. ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν.
ΧΟ. τοιγὰρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνῳ.
ΟΡ. τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῇ;
ΧΟ. οὐκ ἦν ὅμαιμος φωτὸς ὃν κατέκτανεν.
ΟΡ. ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;
ΧΟ. πῶς γάρ σ' ἔθρεψεν ἐντός, ὦ μιαιφόνε,
ζώνης; ἀπεύχει μητρὸς αἷμα φίλτατον;
ΟΡ. ἤδη σὺ μαρτύρησον. ἐξηγοῦ δέ μοι,
Ἄπολλον, εἴ σφε σὺν δίκῃ κατέκτανον.
δρᾶσαι γὰρ ὥσπερ ἐστὶν οὐκ ἀρνούμεθα·
ἀλλ' εἰ δικαίως εἴτε μὴ τῇ σῇ φρενὶ
δοκεῖ, τόδ' αἷμα κρῖνον, ὡς τούτοις φράσω.
ΑΠ. λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν
θεσμὸν δικαίως, μάντις ὢν δ' οὐ ψεύσομαι.
οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις,
οὐκ ἀνδρός, οὐ γυναικός, οὐ πόλεως πέρι,
ὃ μὴ κελεύσαι Ζεὺς Ὀλυμπίων πατήρ.
τὸ μὲν δίκαιον τοῦθ' ὅσον σθένει μαθεῖν,
βουλῇ πιφαύσκω δ' ὔμμ' ἐπισπέσθαι πατρός.
ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον.
ΧΟ. Ζεύς, ὡς λέγεις σύ, τόνδε χρησμὸν ὤπασεν,
φράζειν Ὀρέστῃ τῷδε, τὸν πατρὸς φόνον
πράξαντα μητρὸς μηδαμοῦ τιμὰς νέμειν.
ΑΠ. οὐ γάρ τι ταυτὸν ἄνδρα γενναῖον θανεῖν
διοσδότοις σκήπτροισι τιμαλφούμενον,
καὶ ταῦτα πρὸς γυναικός, οὔ τι θουρίοις
τόξοις ἑκηβόλοισιν, ὥστ' Ἀμαζόνος,
ἀλλ', ὡς ἀκούσει, Παλλὰς οἵ τ' ἐφήμενοι
ψήφῳ διαιρεῖν τοῦδε πράγματος πέρι.
ἀπὸ στρατείας γάρ νιν ἠμπποληκότα
τὰ πλεῖστ' ἀμείνον' εὔφροσιν δεδεγμένη
* * * * * *
δροίτῃ περῶντι λουτρὰ κἀπὶ τέρματι
φᾶρος παρεσκήνωσεν, ἐν δ' ἀτέρμονι
κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ.
ἀνδρὸς μὲν ὑμῖν οὗτος εἴρηται μόρος
τοῦ παντοσέμνου, τοῦ στρατηλάτου νεῶν.
ταύτην τοιαύτην εἶπον, ὡς δηχθῇ λεώς,
ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην.
ΧΟ. πατρὸς προτιμᾷ Ζεὺς μόρον τῷ σῷ λόγῳ·
αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον.
πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις;
ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι.
ΑΠ. ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν,
πέδας μὲν ἂν λύσειας, ἔστι τοῦδ' ἄκος
καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος·
ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις
ἅπαξ θανόντος, οὔτις ἔστ' ἀνάστασις.
τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ
οὑμός, τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω
στρέφων τίθησιν οὐδὲν ἀσθμαίνων μένει.
ΧΟ. πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς ὅρα·
τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδοι,
ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρός;
ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις;
ποία δὲ χέρνιψ φρατέρων προσδέξεται;
ΑΠ. καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ.
οὐκ ἔστι μήτηρ ἡ κεκλημένη τέκνου
τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου.
τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἅπερ ξένῳ ξένη
ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψῃ θεός.
τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.

---

569. φαινέτω] φαίνεται pr. M. 570. πληρουμένου] καθημένου Heimsoethius, collatis schol. verbis 566. καθισάντων τῶν δικαστῶν. 572. ἐς D.] εἰς 573. *τῶνδ' Ven. Flor.] τόνδ' *δίκῃ] δίκηι 576. νόμῳ Erfurdtius] δόμων (pr. δήμων) M. Eodem modo ego correxi v. 473. 577. ἀνὴρ Porsonus] ἀνὴρ ἐφέστιως M, sed o super ω. Hinc ἐφεστίων in tribus apogr. 581. τ' addidit Hermannus. 587. κατέκτονας] κατέκτανες Elmsleius ad Eurip. Med. 774.

598. πέμψει ex schol. Scaliger] πέμπει 599. Huic versui ζτ. adscr. in M, haud dubie propter imperativum librario ignotum πέπεισθι 600. δυοῖν] υ ex οι factum. μιασμάτοιν Elmsleius] μιασμάτων 603. τοιγὰρ] τί γάρ; Hermannus. φόνῳ Schuetzius] φόνου 608. φίλτατον] τὸ superscr. in M. 613. δοκεῖ, τόδ'] δοκεῖ· τὸ δ' pr. M. δοκεῖ, τὸ δή μοι κρῖνον Weilius. 615. ὢν δ' Canterus] δ' ὢν

618. κελεύσαι Hermannus] κελεύσει 620. βουλῇ Turnebus] βουλὴ 622. σύ, τόνδε] σοὶ τόνδε Burgesius. 631. νιν Porsonus] μιν ἀμείνον' M, i. e. ἀμείνον' et ἄμεινον. Scriptura suspecta. Post 631. lacunam indicavit D. 633. κἀπὶ] καὶ ἐπί pr. M. 634. περέσκήνωσεν (sic) M. παρεσκήνωσεν apogr. Flor. παρεσκήνησεν Turnebus. περεσκήνωσεν (quod non melioris notae est quam περεβάλοντο Agam. 1147.) agnoscit schol. πρὸς τὴν συναλιφὴν τῆς περί καὶ τὴν συζυγίαν τοῦ ῥήματος. 638. ταύτην τοιαύτην] δ' addit Pauwius. ταύτην δὲ τοίαν Heimsoethius. δηχθῇ] δειχθῇ pr. M. 645. λύσειας D.] λύσειεν 647. δ' addidit διορθωτής. 649. *ἐποίησεν] ἐποίησε

650. *τε] om. M. 651. *ἀσθμαίνων] ἀσθμαίνω

653. πέδοι D.] πέδῳ 656. *προσδέξεται] προσδέξαιτε, superscr. ε, M. In Guelf. προσδέξαιται, superscr. ε. 658. *κεκλημένη] κεκλημένου M. Sic ἡ τεκεῖν φάσκουσα καὶ κεκλημένη μήτηρ ap. Eurip. Alc. 637.

660. 661. His versibus ζτ. adscr. in marg. M. Versus parum dignos Aeschylo et fortasse non scriptos ab eo notavi in Praef. ed. Lips. quintae p. VIII.

πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρός· πέλας
μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διός,
* * * * * * *
οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
ἀλλ' οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.
* * * * * * *
[ἐγὼ δέ, Παλλάς, τἆλλα θ' ὡς ἐπίσταμαι,
τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,
καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον,
ὅπως γένοιτο πιστὸς ἐς τὸ πᾶν χρόνου
καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεά,
καὶ τοὺς ἔπειτα, καὶ τάδ' αἰανῶς μένοι
στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους]
ΑΘ. ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν
ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων.
ΑΠ. ἠκούσαθ' ὧν ἠκούσατ', ἐν δὲ καρδίᾳ
ψῆφον φέροντες ὅρκον αἰδεῖσθε, ξένοι.
ΑΘ. τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ;
ΧΟ. ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος.
μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.
ΑΘ. κλύοιτ' ἂν ἤδη θεσμόν, ἀστικὸς λεώς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
[ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῷ
ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον.
πάγον δ' Ἄρειον τόνδ', Ἀμαζόνων ἕδραν
σκηνάς θ', ὅτ' ἦλθον Θησέως κατὰ φθόνον
στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
τήνδ' ὑψίπυργον ἀντεπύργωσαν τότε·
Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος
πέτρα, πάγος τ' Ἄρειος· ἐν δὲ τῷ σέβας
ἀστῶν φόβος τε συγγενὴς τὸ μάδικεῖν
σχήσει τό τ' ἦμαρ καὶ κατ' εὐφρόνην ὁμῶς,
αὐτῶν πολιτῶν μὴ πικραινόντων νόμους
κακαῖς ἐπιρροαῖσι· βορβόρῳ θ' ὕδωρ
λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν.
τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον
ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν.
τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;]
τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας
ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον
ἔχοιτ' ἂν οἷον οὔτις ἀνθρώπων ἔχει,
οὔτ' ἐν Σκύθαισιν οὔτε Πέλοπος ἐν τόποις.
ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν
ἀστοῖσιν ἐς τὸ λοιπόν· ὀρθοῦσθαι δὲ χρὴ
καὶ ψῆφον αἴρειν καὶ διαγνῶναι δίκην
αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.
ΧΟ. καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς
ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.
ΑΠ. κἄγωγε χρησμοὺς τοὺς ἐμοὺς τε καὶ Διὸς
ταρβεῖν κελεύω μηδ' ἀκαρπώτους κτίσαι.
ΧΟ. ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις,
μαντεῖα δ' οὐκέθ' ἁγνὰ μαντεύσει νέμων.
ΑΠ. ἦ καὶ πατὴρ τι σφάλλεται βουλευμάτων
πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;
ΧΟ. λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης
βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.
ΑΠ. ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.
ΧΟ. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
ΑΠ. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;
ΧΟ. σύ τοι παλαιὰν διανομὴν καταφθίσας
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς.
ΑΠ. σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος
ἐμεῖ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.
ΧΟ. ἐπεὶ καθιππάζει με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.
ΑΘ. ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην·
ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο,

663. μέν] γάρ Meinekius. Post 664. lacunam indicavit Butlerus. Si nihil excidisset, οὐδ' in οὐκ mutandum foret. 667—673. Seclusi cum Weilio versus ab interpolatore compositos postquam genuini excidissent versus Aeschyli, quos quinque fuisse coniecit Weilius. Dixi de his in Praef. ed. Lips. quintae p. CV.

670. ἐς D.] εἰς 673. *τὰ πιστά] τ' ἄπιστα 674. κελεύω] κελεύσω Robortellus. 676—680. Versus in M hoc ordine scriptos, 679. 680. 678. 676. 677., transposuit Weilius. 676. ΑΠ. Weilius] ΧΟ. 677. αἰδεῖσθαι M, sed superscr. ab διορθωτῇ litera ε. 681. ἀστικὸς (ut v. 997.) Hermannus] ἀττικὸς 682. κρίνοντες] κρίναντες Ven. Flor. et Triclinius. 683—685. Versus in M infra positos post v. 706. huc transposuit Hermannus. 686—702. Seclusi versus quos ab loquaci interpolatore vetere compositos esse non solum sententiae, ab Minervae personae alienissimae, sed etiam, quod certissimum interpolationis indicium est, genus dicendi tam manifesto produnt ut nulla de iis dubitatio esse possit: de quo dixi in Praef. ed. Lips. quintae p. CIV. Post versum autem 685. etsi recte sequitur v. 703., tamen alii versus nonnulli interpositi fuisse possunt, quibus amissis suos substituit interpolator, cuiusmodi interpolationis exemplum supra notavimus ad v. 667. 686. *Αἰγέως] αἰγέωι 687. ἀεὶ Porsonus] αἰεὶ δικαστῶν Canterus] δ' ἑκάστων

694. 749. μάδικεῖν D.] μὴ ἀδικεῖν 695. τό τ' Grotius] τόδ' M, litera δ, quae prope evanuerat, instaurata, non in τ' mutata, quod Franzius cernere sibi videbatur. *ὁμῶς] ὅμως 696. πικραινόντων Valcken. in Thesauro vol. 6. p. 1075.] πικαινόντων ('πικαινόντων Ven. Flor.). 'πιχραινόντων Wakefieldus.

697. Verba κακαῖς ἐπιρροαῖσι dubitatur utrum cum verbis praecedentibus an cum sequentibus sint coniungenda, quae inter proverbia rettulerunt Zenobius 2, 76. et Diogenianus 3, 55. βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν: ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις (χείροσιν Diogenian.) θ'] δ' Hermannus. 699. *μήτε Guelf. Ven. Flor.] μηδὲ M, recte, si μὴ δ' ἄναρχον scribatur cum Hermanno.

700. σέβειν] σέθεν M, sed διορθωτὴς in marg. σέβειν. 706. Σκύθαισιν Triclinius] σκύθῃσιν 710. αἰδουμένους Canterus] αἰδουμένοις M, in αἱρουμένοις corruptum in tribus apographis. 714. κἄγωγε Porsonus] κἀγὼ (*κἀγώ) τε M. 716. νέμων Hermannus] μένων 719—722. Hos versus post 730. transposuit Merkelius: cui qui assensus est Weilius duos chori totidemque Apollinis versus post 718. excidisse putat. 723. 724. 727. 728. His versibus utitur schol. Eurip. in cod. Vat. ad Alc. v. 12. vol. 4. p. 90, 2. 724. ἀφθίτους θεῖναι] ἀφθιτουσθ' εἶναι pr. M. ἀφθίτους εἶναι schol. Eurip. 725. *οὔκουν Guelf.] οὐκοῦν M.

726. χ' ὥτε M, ut solet in huiusmodi crasibus.

727. σύ τοι] οὕτω ap. schol. Eur. παλαιὰν διανομὴν D.] παλαιὰς δαίμονας M. παλαιὰς διανομὰς schol. Eur. καταφθίσας] καταφθίνας schol. Eur. 730. *ἐχθροῖσιν—πρεσβῦτιν] ἐχθροῖσι — πρεσβύτιν M.

733. ἀμφίβουλος Turnebus] ἀμφίβολος Post 733. unum excidisse versum putat Weilius, quo Apollo iusserit ut urnae inverterentur.

τό δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
ἅπαντι θυμῷ, κάρτα δ' εἰμὶ τοῦ πατρός.
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον
ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον,
νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ.
ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους
ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.
ΟΡ. ὦ Φοῖβ' Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;
ΧΟ. ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾷς τάδε;
ΟΡ. νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν.
ΧΟ. ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.
ΑΠ. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
τὸ μἀδικεῖν σέβοντες ἐν διαιρέσει.
γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα,
βαλοῦσά τ' οἶκον ψῆφος ὤρθωσεν μία.
ΑΘ. ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην·
ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.
ΟΡ. ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
γαίας πατρῴας ἐστερημένον σύ τοι
κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ
"Ἀργεῖος ἀνὴρ αὖθις ἔν τε χρήμασιν
οἰκεῖ πατρῴοις, Παλλάδος καὶ Λοξίου
*ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου
σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον
σῴζει με μητρὸς τάσδε συνδίκους ὁρῶν."
ἐγὼ δὲ χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ
τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον
ὁρκωμοτήσας νῦν ἄπειμι πρὸς δόμους,
μήτοι τιν' ἄνδρα δεῦρο πρυμνήτην χθονὸς
ἐλθόντ' ἐποίσειν εὖ κεκασμένον δόρυ.
[αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε
τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα
ἀμηχάνοισι πράξομεν δυσπραξίαις
ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους
τιθέντες, ὡς αὐτοῖσι μεταμέλῃ πόνος·
ὀρθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
τιμῶσιν ἀεὶ τήνδε συμμάχῳ δορὶ
αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.]
καὶ χαῖρε, καὶ σὺ καὶ πολισσοῦχος λεώς·
πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις
σωτήριόν τε καὶ δορὸς νικηφόρον.
ΧΟ. ἰὼ θεοὶ νεώτεροι, παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἁ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ μεθεῖσα καρδίας
σταλάξω χθονὶ φθοράν· ἐκ δὲ τοῦ
λειχὴν ἄφυλλος, ἄτεκνος, ὦ δίκα δίκα,
πέδον ἐπισύμενος
βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γελῶμαι πολίταις.
δύσοισθ' ἄπαθον.
ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.
ΑΘ. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίᾳ σέθεν.
ἀλλ' ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
[αὐτός θ' ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,]
ὡς ταῦτ' Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
ὑμεῖς δὲ μὴ θυμοῦσθε, μηδὲ τῇδε γῇ
βαρὺν κότον σκήψητε, μηδ' ἀκαρπίαν
τεύξητ', ἀφεῖσαι δαιμόνων σταλάγματα,
βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς
λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις
ἕξειν ὑπ' ἀστῶν τῶνδε τιμαλφουμένας.
ΧΟ. ἰὼ θεοὶ νεώτεροι, παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἁ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰόν ἰὸν ἀντιπενθῆ μεθεῖσα καρδίας
σταλάξω χθονὶ φθοράν· ἐκ δὲ τοῦ
λειχὴν ἄφυλλος, ἄτεκνος, ὦ δίκα δίκα,
πέδον ἐπισύμενος
βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
σενάζω; τί ῥέξω; γελῶμαι πολίταις.
δύσοισθ' ἄπαθον.
ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.
ΑΘ. οὐκ ἔστ' ἄτιμοι, μηδ' ὑπερθύμως ἄγαν
θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα.
κἀγὼ πέποιθα Ζηνί, καὶ τί δεῖ λέγειν;
καὶ κλῇδας οἶδα δώματος μόνη θεῶν,
ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος·
ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπιθὴς ἐμοὶ
γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα

746. ΟΡ. addidit Abreschius: 745—747. Eumenidibus tribuit M. Versui 748. lineola praefixa, Ἀπ. Victorius. 752. *ὅδ'] ὅγ' 756. γαίας D.] καὶ γῆς 761. ὁρῶν] στυγῶν Weilius. κρατῶν Heimsoethius. 767—774. seclusit D. Vid. Praef. ed. Lips. quintae p. CV. 768. παρβαίνουσι] α inter ρ et β erasum in M. 769. *ἀμηχάνοισι] ἀμηχάνοις M. ἀμηχάνοις παρέξομεν apogr. Aug. 779. κἀκ in litura M. Videtur καὶ ἐκ fuisse. Idem v. 809. κἀχερῶν, κ super χ scripto. 780—788. Ad hos versus respicit Minerva infra v. 800—803. 780. 810. ἁ D.] ἡ 782. ἀντιπενθῆ M hic, ἀντιπαθῆ, eraso σ ante π, 812. 783. 813. σταλάξω χθονὶ φθορὰν Heimsoethius] σταλαγμὸν χθονιαφόρον M. Schol. μεθεῖσα ἀντὶ τοῦ μεθήσω, μετοχὴ ἀντὶ ῥήματος. — σταλαγμόν δὲ τὴν κατὰ βραχὺ φθοράν. Idem χθονιαφόρον explicat τόν εἰς τὴν γῆν φερόμενον. 785. 815. λειχὴν D.] λιχὴν 785. 815. ὦ δίκα δίκα Heimsoethius] ἰὼ δίκα 787. 817. βαλεῖ Turnebus] βαλεῖν

789. 819. γελῶμαι Tyrwhittus] γένωμαι M et schol. qui exp. ἢ τί γένωμαι. πολίταις. δύσοισθ' ἄπαθον Hermannus] δύσοιστα | πολίταις ἔπαθον

794—808. Quattuordecim his versibus tredecim respondent 824—836. ex quo sequitur aut in priore sermone versum 798. ab interpolatore fictum esse, de quo dixi in Praef. ed. Lips. quintae p. CVIII., aut, quae Weilii sententia est, unum ex altero sermone versum excidisse post v. 825. 794. πίθεσθε Turnebus] πείθεσθε 798. αὐτός θ' ὁ χρήσας Turnebus] αὐτός δ' ὁ θήσας M. corr. αὐτὸ δ' ὀρθήσας M pr. ut videtur. 800. ὑμεῖς δὲ μὴ θυμοῦσθε, μήτε (debebat μηδὲ) τῇδε γῇ | βαρὺν κότον σκήψησθε Weilius] ὑμεῖς δέ τε τῆιδε γῆι μὴ βαρὺν κότον | σκήψησθε, μὴ θυμοῦσθε 801. σκήψητε Elmsleius ad Eur. Med. 93.] σκήψησθε 802. δαιμόνων] Corruptum. πλευμόνων Wakefieldus. σταλάγματα] γρ. στενάγματα M a manu διορθωτοῦ. 803. βρωτῆρας αἰχμὰς] Mire dictum. βρωτῆρας αὐχμοὺς Scaliger. βρωτῆρας ἄχνας (ἄχναις Wieselerus) Musgravius. βοτῆρας ἄχναις Weilius. 805. ἐνδίκου] ἐνδίκους Heathius. 812. ἀντιπενθῆ] Vid. ad v. 782. 816. ἐπισύμενος] ἐπεσσύμενος M. Recte v. 786. 825. δύσκηλον] Per δυσθεράπευτον exp. schol. δύσκηλιν Weilius collato v. 787. Post 825. lacunam indicavit Weilius: vid. ad v. 794—808.

827. δώματος Casaubonus] δωμάτων: quo deceptus Triclinius ἐν οἷς scripsit pro ἐν ᾧ. 829. εὐπιθὴς Hermannus] εὐπειθής 830. μὴ ἐκβάλῃς M corr.] μὴ ἐκλάβῃς pr. M.

καρπόν φέροντα πάντα μή πράσσειν καλῶς.
κοίμα κελαινοῦ κύματος πικρόν μένος
ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
πολλῆς δὲ χώρας τῆσδ' ἔτ' ἀκροθίνια
θύη πρό παίδων καὶ γαμηλίου τέλους
ἔχουσ' ἐς ἀεὶ τόνδ' ἐπαινέσεις λόγον.
ΧΟ. ἐμὲ παθεῖν τάδε, φεῦ,
ἐμὲ παλαιόφρονα κατά τε γᾶς οἰκεῖν
ἀτίετον, φεῦ, μύσος.
πνέω τοι μένος ἅπαντά τε κότον.
οἰοῖ δᾶ, φεῦ.
τίς μ' ὑποδύεται πλευράς αὖ δύα;
θυμόν ἄιε, μᾶτερ
Νύξ· ἀπό γάρ με τιμᾶν δαναιᾶν θεῶν
δυσπάλαμοι παρ' οὐδέν ἦραν δόλοι.
ΑΘ. ὀργάς ξυνοίσω σοι· γεραιτέρα γάρ εἶ.
καὶ τῷ μέν εἶ σύ κάρτ' ἐμοῦ σοφωτέρα,
φρονεῖν δὲ κἀμοὶ Ζεύς ἔδωκεν οὐ κακῶς.
ὑμεῖς δ' ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα
γῆς τῆσδ' ἐρασθήσεσθε· προυννέπω τάδε.
οὑπιρρέων γάρ τιμιώτερος χρόνος
ἔσται πολίταις τοῖσδε. καὶ σὺ τιμίαν
ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως
⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏑ –
τεύξει παρ' ἀνδρῶν καὶ γυναικείων στόλων,
ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν.
[σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς
μήθ' αἱματηράς θηγάνας, σπλάγχνων βλάβας
νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασιν,
μήτ' ἐκζέουσ' ὡς καρδίαν ἀλεκτόρων
ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη
ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.
θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρών,
ἐν ᾧ τις ἔσται δεινός εὐκλείας ἔρως·
ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην.
τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ,
εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην
χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.]
ΧΟ. ἐμὲ παθεῖν τάδε, φεῦ,
ἐμὲ παλαιόφρονα κατά τε γᾶς οἰκεῖν
ἀτίετον, φεῦ, μύσος.
πνέω τοι μένος ἅπαντά τε κότον.
οἰοῖ δᾶ, φεῦ.
τίς μ' ὑποδύεται πλευράς αὖ δύα;
θυμόν ἄιε, μᾶτερ
Νύξ· ἀπό γάρ με τιμᾶν δαναιᾶν θεῶν
δυσπάλαμοι παρ' οὐδέν ἦραν δόλοι.
ΑΘ. οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά,
ὡς μήποτ' εἴπῃς πρὸς νεωτέρας ἐμοῦ
θεὸς παλαιά καὶ πολισσούχων βροτῶν
ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου.
ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι Πειθοῦς σέβας,
γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,
σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλεις μένειν,
οὔ τἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει
μῆνίν τιν' ἢ κότον τιν' ἢ βλάβην στρατῷ.
ἔξεστι γάρ σοι τῆσδε γαμόρῳ χθονὸς
εἶναι δικαίως ἐς τό πᾶν τιμωμένῃ.
ΧΟ. ἄνασσ' Ἀθάνα, τίνα με φῄς ἔχειν ἕδραν;
ΑΘ. πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.
ΧΟ. καὶ δὴ δέδεγμαι· τίς δέ μοι τιμὴ μένει;
ΑΘ. ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.
ΧΟ. σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον;
ΑΘ. τῷ γάρ σέβοντι συμφοράς ὀρθώσομεν.
ΧΟ. καί μοι πρόπαντος ἐγγύην θήσει χρόνου;
ΑΘ. ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ.
ΧΟ. θέλξειν μ' ἔοικας καὶ μεθίσταμαι κότου.
ΑΘ. τοιγάρ κατά χθόν' οὖσ' ἐπικτήσει φίλους.
ΧΟ. τί οὖν μ' ἄνωγας τῇδ' ἐφυμνῆσαι χθονί;
ΑΘ. ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,
καὶ ταῦτα γῆθεν ἔκ τε ποντίας δρόσου
ἐξ οὐρανοῦ τε κἀνέμων ἀήματα
εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα·
καρπόν τε γαίας καὶ βοτῶν ἐπίρρυτον
ἀστοῖσιν εὐθενοῦντα μὴ κάμνειν χρόνῳ,
καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν.
τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις.
στέργω γάρ, ἀνδρός φιτυποιμένος δίκην,
τό τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.
τοιαῦτα σοὔστι. τῶν ἀρειφάτων δ' ἐγὼ
πρεπτῶν ἀγώνων οὐκ ἀνέξομαι τό μὴ οὐ
τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.
ΧΟ. δέξομαι Παλλάδος ξυνοικίαν,
οὐδ' ἀτιμάσω πόλιν, [νέμει,
τὰν καὶ Ζεύς ὁ παγκρατὴς Ἄρης τε φρούριον θεῶν

916–926. = 938–948.

834. τῆσδ' ἔτ' ἀκροθίνια Hermannus] τῆσδέτ' ἀκροθίνια (i. e. τῆσδε τἀκροθίνια) 836. Post θύη (θῦη pr.) colon in M. τέλους] υ ab διορθωτῇ insertum. 836. ἀεὶ Robortellus] αἰεὶ 837. 870. τάδε] τά (i. e. ταῦτα) Heimsoethius. 838. τε additum ex v. 871. 838. 871. γᾶς Hermannus] γᾶν οἰκεῖν] οἰχνεῖν Hermannus. 839. μύσος pr. M, μῦσος corr., quae constans in locis reliquis omnibus (Choeph. 651. 967. Eum. 195. 378. 415.) codicis scriptura est, cuius ignarus scriba apogr. Guelf. hic μῖσος substituit. 842. 874. οἰοῖ D.] οἶ οἶ 843. ὑποδύεται] ὑποδεται (sine accentu) M. Recte v. 875. 843. 875. αὖ δύα D.] ὀδύνα M. ὦ δύα Wieselerus. 844. ἄϊε] Media syllaba producitur. 845. Versus in M sic divisi νύξ — | θεῶν — | παρ' — 845. 879. τιμᾶν δαναιᾶν L. Dindorfius in Thes. vol. 2. p. 886.] τιμῶν δαμαίων M. cum .α. super ῶν et .ον. super ων ab διορθωτῇ: sed v. 879. τιμᾶν δαμιᾶν. 846. 880. δόλω M, sed superscr. οι ab διορθωτῇ. 848—869. et 881—891. Hos versus transponendos esse intellexit Weilius: de quo dixi in Praef. edit. Lips. quintae p. CIX. 849. καὶ τῷ μὲν εἶ Wieselerus (quod legisse videtur schol. qui exp. διό τόν χρόνον)] καίτοι μέν σύ M. καίτοι τό μὲν σύ Heimsoethius. 852. προυννέπω] Alterum ν addidit διορθωτής. 855. Post haec verba versus excidit, in quo substantivum lectum fuit ad quod refertur ὅσην v. 857. 858—869. Seclusi versus interpolatoris veteris propter rationes in Praef. ed. Lips. quintae p. CIX. expositas. Iis sublatis Minervae versus undecim 848—857. totidem respondent eiusdem versibus 881—891. 860. ἀοίνοις Turnebus] ἀινους M, in ἀοίνους (non ἀοίνοις) mutatum ab διορθωτῇ 861. ἐκζέουσ' Musgravius] ἐξελοῦσ' M. Per ἀναπτερώσασα exp. schol. 862. *ἐμοῖς Ven. Flor.] ἐμοῖσιν ἱδρύσῃς Ἄρη Stephanus] ἱδρύσηι κάρα M, altero α in η mutato. 864. μόλις παρών] μολιπαίρων pr. M.

865. ἔσται] ἔστι, sed α ab διορθωτῇ superscr. 887. θέλεις] θέλῃς, superscr. ει, M. 888. ἐπιρρέποις] ἐπιρρίπτοις Meinekius Philol. 19. p. 226. 890. 891. Hos versus post 884. transposuit Weilius. 890. τῆσδε γαμόρῳ Dobraeus] τῇιδέ γ' ἀμοίρου 892. ἔχειν] ἕξειν Elmsleius. 893. *οἰζύος] ὀϊζύος 895. εὐθενεῖν Scaliger] εὐσθενεῖν 898. πρόπαντος Abreschius] πρὸ παντός 899. *ἔξεστι] ἔξεστιν M. ἔνεστι Meinekius Philol. 19 p. 227. 903. νίκης] νείκης Hermannus. 904. τοῦτο] πάντα Meinekius. 907. βοτῶν Stanleius] βροτῶν 908. εὐθενοῦντας M, sed litera σ puncto notata, i. e. εὐθενοῦντα 910. ἐκφορωτέρα πέλοις] ἔκφορος σπορά πέλοι Weilius. 911. φιτυποίμενος Lobeckius Paral. p. 195.] φῖτυ ποιμένος

ῥυσίβωμον Ἑλλάνων ἄγαλμα δαιμόνων·
ἅτ' ἐγὼ κατεύχομαι
θεσπίσασα πρευμενῶς
ἐπισσύτους βίου τύχας ὀνησίμους
γαίας ἐξαμβρόσαι
φαιδρὸν ἁλίου σέλας.
ΑΘ. τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις
πράσσω, μεγάλας καὶ δυσαρέστους
δαίμονας αὐτοῦ κατανασσαμένη.
πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους
ἔλαχον διέπειν. ὁ δὲ μὴ κύρσας
βαρεῶν τούτων οὐκ οἶδεν ὅθεν
πληγαὶ βιότου ⏑ – –.
τὰ γὰρ ἐκ προτέρων ἀπλακήματά νιν
πρὸς τάσδ' ἀπάγει, σιγῶν δ' ὄλεθρος
καὶ μέγα φωνοῦντ'
ἐχθραῖς ὀργαῖς ἀμαθύνει.
ΧΟ. δενδροπήμων δὲ μὴ πνέοι βλάβα,
τὰν ἐμὰν χάριν λέγω·
φλογμός τ' ὀμματοστερὴς φυτῶν, τὸ μὴ περᾶν ὅρον τόπων,
μηδ' ἄκαρπος αἰανὴς ἐφερπέτω νόσος,
μῆλά τ' εὐθενοῦντα γᾶ
ξὺν διπλοῖσιν ἐμβρύοις
τρέφοι χρόνῳ τεταγμένῳ· γόνος ⏑ –
πλουτόχθων ἑρμαίαν
δαιμόνων δόσιν τίοι.
ΑΘ. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον,
οἷ' ἐπικραίνει; μέγα γὰρ δύναται
πότνι' Ἐρινὺς παρά τ' ἀθανάτοις
τοῖς θ' ὑπὸ γαῖαν, περί τ' ἀνθρώπων
φανερῶς τελέως διαπράσσουσιν
τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ δακρύων
βίον ἀμβλωπὸν παρέχουσαι.
ΧΟ. ἀνδροκμῆτας δ' ἀώρους ἀπεννέπω τύχας,
νεανίδων τ' ἐπηράτων
ἀνδροτυχεῖς βιότους δότε, κύρι' ἔχοντες,
θεαί τ' ὦ Μοῖραι ματροκασιγνῆται,
δαίμονες ὀρθονόμοι,
παντὶ δόμῳ μετάκοινοι,
παντὶ χρόνῳ δ' ἐπιβριθεῖς
ἐνδίκοις ὁμιλίαις,
παντᾷ τιμιώταται θεῶν.
ΑΘ. τάδε τοι χώρᾳ τὴμῇ προφρόνως
ἐπικραινομένων
γάνυμαι· στέργω δ' ὄμματα Πειθοῦς,
ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπωπᾷ
πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας·
ἀλλ' ἐκράτησε Ζεὺς ἀγοραῖος,
νικᾷ δ' ἀγαθῶν
ἔρις ἡμετέρα διὰ παντός.
ΧΟ. τὰν δ' ἄπληστον κακῶν μήποτ' ἐν πόλει στάσιν
τᾷδ' ἐπεύχομαι βρέμειν.
μηδὲ πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν
δι' ὀργὰν ποινᾶς ἀντιφόνους ἄτας
ἁρπαλίσαι πόλεως.
χάρματα δ' ἀντιδιδοῖεν
κοινοφιλεῖ διανοίᾳ,
καὶ στυγεῖν μιᾷ φρενί.
πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος.
ΑΘ. ἆρα φρονοῦσα γλώσσης ἀγαθῆς
ὁδὸν εὑρίσκεις; ἐκ τῶν φοβερῶν
τῶνδε προσώπων μέγα κέρδος ὁρῶ
τοῖσδε πολίταις. τάσδε γὰρ εὔφρονας
εὔφρονες ἀεὶ μέγα τιμῶντες
καὶ γῆν καὶ πόλιν ὀρθοδίκαιον
πρέψετε πάντως διάγοντες.
ΧΟ. χαίρετε χαίρετ' ἐν αἰσιμίαισι πλούτου.
χαίρετ' ἀστικὸς λεὼς ἴκταρ ἥμενοι Διὸς
παρθένου φίλας φίλοι, σωφρονοῦντες ἐν χρόνῳ.
Παλλάδος δ' ὑπὸ πτεροῖς ὄντας ἅζεται πατήρ.
ΑΘ. χαίρετε χὐμεῖς· προτέραν δ' ἐμὲ χρὴ
στείχειν θαλάμους ἀποδείξουσαν,
πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν.
ἴτε καὶ σφαγίων τῶνδ' ὑπὸ σεμνῶν
κατὰ γῆς σύμεναι τὸ μὲν ἀτηρὸν
χώρας κατέχειν, τὸ δὲ κερδαλέον
πέμπειν πόλεως ἐπὶ νίκῃ.
ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι
παῖδες Κραναοῦ, ταῖσδε μετοίκοις.
εἴη δ' ἀγαθῶν
ἀγαθὴ διάνοια πολίταις.
ΧΟ. χαίρετε, χαίρετε δ' αὖθις, ἔπος διπλοίζω,
πάντες οἱ κατὰ πτόλιν, δαίμονές τε καὶ βροτοί,
Παλλάδος πόλιν νέμοντες· μετοικίαν δ' ἐμὴν
εὐσεβοῦντες οὔτι μέμψεσθε συμφορὰς βίου.
ΑΘ. αἰνῶ τε μύθους τῶνδε τῶν κατευγμάτων
πέμψω τε φέγγει λαμπάδων σελασφόρων
ἐς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους

927—937. = 1003—1013.
949—955. = 988—995.
956—967. = 976—987.
996—1002. = 1014—1020.

924. ἐπισσύτους] ἐπιρρύτους Meinekius. 925. ἐξαμβρόσαι] In marg. M ζτ. Metrum postulat verbum quale est ἐξαμβρόξαι. 932. βαρεῶν A. I. Ahrensius] βαρέων M. βραβέων Meinekius. 933. ⏑ ⏑ ⏓ –] προσέπαισαν Hermannus. 934. ἀπλακήματα Pauwius] ἀμπλακήματα 935. *σιγῶν] σιγῶν δ' addidit Hermannus. 940. *φλογμὸς] φλοιγμός M et in marg. ζτ. τ', quod Turnebus addidit, in Flor. est, si fides Franzio habenda. 944. εὐθενοῦντα γᾶ Dobraeus] εὐθενοῦντ' ἄγαν M. εὐθενοῦντα Πὰν Meinekius. 945. *διπλοῖσιν] διπλοῖς 946. ⏑ –] δ' ἀεὶ Musgravius. δὲ γᾶς olim Hermannus cum eoque Meinekius. 950. οἷ' Robortellus] οἷα ἐπικραίνει] ἐπικραινεῖ, ι post α eraso, in M. 952. θ' delet Heimsoethius *Kr. stud.* 1. p. 175. 954. δακρύων Ald.] κρύων et in marg. ζτ. 961. θεαί τ' ὦ Hermannus] θεαὶ τῶν In M duo versus ματροκασιγνῆται | δ. ὀ. quibus adscriptum ζτ. 964. μετάκοινοι Turnebus] μέγακοινοι 967. παντᾷ D. (πάντᾳ Canterus)] πάντα

980. Verbis μέλαν — ποινάς in duo versus divisis adscriptum ζτ. 981. ποινᾶς Pauwius] ποινάς 985. κοινοφιλεῖ Hermannus] κοινωφελεῖ 988. *ἆρα] ἄρὰ M, deleto accentu priore. *φρονοῦσα] φρονοῦσιν 989. εὑρίσκεις Robortellus] εὑρίσκει M. φρονοῦσαι — εὑρίσκουσ' Musgravius. 992. εὔφρονας Turnebus] εὐφράνας (*εὐφρόνας) 994. ὀρθοδίκαιον] ὀρθοδίκαιοι apogr. August. 995. πάντως Bothius] πάντες 996. χαίρετε addidit Turnebus. ἐν αἰσιμίαισιν Triclinius] ἐναισιμίαις 998. *ἴκταρ] ἴκταρ M corr.; prior accentus obscuratus. 999. παρθένου Robortellus] παρθένους 1003. δ' ἐμέ Porsonus] δέ με 1005. φῶς] φῶς θ' Hermannus, sublato puncto post προπομπῶν προπομπῶν Bentleius] πρόπομπον 1006. ζτ. in marg. M. 1007. ἀτηρόν Bentleius] ἀτήριον 1008. χώρας] χώρᾳ Paleius. 1010. ὑμεῖς — μετοίκοις Turnebus] ἡμεῖς — μέτοικοι 1014. ἔπος διπλοίζω D.] ἐπιδιπλοΐζω, erasa post ω litera, quae ι, quod saepe in M verbis in ω terminatis additum, vel ν fuisse videtur. 1020. εὐσεβοῦντες] εὖ σέβοντες Valckenarius. 1021. τε Hermannus] δέ M. αἰνῶ δ' ἀοιδοὺς Heimsoethius. 1022. φέγγη Turnebus] φέγγει 1023. ἐς D.] εἰς

Ξὺν προσπόλοισιν, οἵτε φρουροῦσιν βρέτας
τοὐμὸν δικαίως. ὄμμα γὰρ πάσης χθονὸς
Θησῆδος ἐξίκοιτ' ἂν εὐκλεὴς λόχος
παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων.
* * * * * * *
φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασιν
τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρός,
ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.

ΠΡΟΠΟΜΠΟΙ.

βᾶτε δόμῳ, μεγάλαι φιλότιμοι
Νυκτὸς παῖδες ἄπαιδες, ὑπ' εὔφρονι πομπᾷ –
εὐφαμεῖτε δέ, χωρῖται —

1032—1035. = 1036—1039

γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισιν,
τιμαῖς καὶ θυσίαις περίσεπτα τύχᾳ τε.
εὐφαμεῖτε δὲ πανδαμί.
ἵλαοι δὲ καὶ εὐθύφρονες γᾷ
δεῦρ' ἴτε, σεμναί, τᾷ πυριδάπτῳ
λαμπάδι τερπόμεναι καθ' ὁδόν.
ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.
σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων
Παλλάδος ἀστοῖς· Ζεὺς ὁ πανόπτας
οὕτω Μοῖρά τε συγκατέβα.
ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

1040—1043. = 1044—1047.

1026. Θησῆδος Wakefieldus] Θησηΐδος (θησεΐδος pr.) Post 1027. lacunam indicavit Hermannus, qui recte monet in versibus amissis Εὐμενίδων nomen Furiis imposuisse Minervam, quod in extrema parte fabulae factum esse testis est Aristophanes Byzantius in ὑποθέσει et Harpocratio s. v. Εὐμενίδες. 1029. τιμᾶται M, sed superscr. ε. 1031. *εὐάνδροισι] εὐάνδροισιν 1032. ΑΙ ΠΡΟΠΟΜΠΟΙ schol.] ΧΟ. βᾶτε δόμῳ Wellauerus] βᾶτ' ἐν δόμῳ M. βᾶτε δόμους Paleius. 1034. εὔφρονι L. Dindorfius in Thes. vol. 3. p. 2503.] εὐθύφρονι 1035. χωρῖται Hermannus] χωρεῖτε

1037. τιμαῖς Hermannus] καὶ τιμαῖς περίσεπτα Musgravius] περισέπται M et Ζτ. in marg. τύχᾳ τε] Corruptum. τυχοῦσαι Musgravius. τύχοιτ' ἂν Heimsoethius. 1040. εὐθύφρονες γᾷ] εὔφρονες αἶᾳ Meinekius. 1041. τᾷ addidit Weilius. σὺν Hermannus.

1042. λαμπάδι] (post ἴτε) Meinekius λαμπα M cum litura non duarum literarum, sed solius maculae, ut videtur. λαμπάδι ab alia m. antiqua. λάμπᾳ Hermannus, fortasse recte. πεύκᾳ Schoemannus, πανῷ Meinekius. ὁδὸν Boissonadius] ὁδὸν δ' 1044. Verba corrupta. Requiritur dactylicus tetrameter. 1045. ἀστοῖς· Ζεὺς ὁ π. Musgravius] ἀστοῖσι Ζεὺς π.

ΑΙΣΧΥΛΟΥ ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

ΑΘΑΜΑΣ.

1. Athenaei Epitome 2. p. 37 f. (ex eaque Eustathius p. 740, 10.) ὅτι τό ἀρχαῖον δύο γένη τριπόδων ἦσαν, οἱ καὶ λέβητες. — Αἰσχύλος

τόν μέν τρίπους ἐδέξατ' οἰκεῖος λέβης
ἀεί φυλάσσων τὴν ὑπέρ πυρός στάσιν.

Athenaeus 7. p. 316 b. καὶ τρίπουν δέ λέβητα Αἰσχύλος εἴρηκεν ἐν Ἀθάμαντι ἀπό ἁπλοῦ τοῦ πούς. Nomen fabulae omisit Epitome cum eaque Eustathius p 1541, 29. qui sola usus est Epitome Athenaei.

2. Hesychius, ἀήτους: μεγάλας. Αἰσχύλος Ἀθάμαντι (ἀθάμαντας codex). Est vocabulum Homeri, qui θάρσος ἄητον et alia dixit.

3. Hesychius, ἀπαρτί: ἀπηρτισμένως, ἀκριβῶς. Αἰσχύλος Ἀθάμαντι. Eaedem interpretationes leguntur in Bekk. Anecd. p. 418, 12. ante quas lemma ἀπαρτί excidisse animadvertit Nanckius.

4 a. Hesychius, βρυαζούσης λεαίνης: ἐν Ἀθάμαντι (Aeschyli an Sophoclis?) ἀκμαζούσης, ἢ ἐγκύμονος.

4 b. Etym. M. p. 346, 56. ex cod. Flor. ap. Millerum *Mélanges de L. Gr.* p. 116. ἐξαυστήρ: σημαίνει σκεῦός τι (per κρεάγρα exp. Hesychius) — Αἰσχύλος Ἀθάμαντι "χαλκέοισιν ἐξαυστῆρες χειρούμενοι." Fort. ἐξαυστῆρσιν ἐξαιρούμενοι, collato Laconico ἐξαιρέταρ, de quo v. Valcken. Anim. ad Ammon. p. 33.

ΑΙΓΥΠΤΙΟΙ.

Huius tragoediae, ab scriptore Catalogi memoratae, argumentum non potest dubitari quin caedes fuerit Aegypti filiorum, ab Danai filiabus in matrimonium acceptis perpetrata, uno excepto Lynceo, quem Hypermnestra servaverat: de quo v. quae Hyginus narrat Fab. 168. Chorum fabulae ex militibus Aegyptiis compositum fuisse coniecit Hermannus, non ex filiis Aegypti, qui Αἰγυπτιάδαι dicendi fuissent. Fragmentum unum superest, de Zagreo, Plutonis cognomine, in loco grammatici infra apponendo ad fr. 229. Narrationes igitur de Aegypti filiis Danaique filiabus Aeschylus tribus tractavit tragoediis, Ἱκέτισιν, Αἰγυπτίοις, Δαναΐσιν, in eodemque argumento versatam esse Θαλαμοποιούς fabulam coniecit Hermannus ad Fragm. p. 333. rationibus usus valde probabilibus, qui Θαλαμοποιούς non diversam ab Αἰγυπτίοις fuisse putabat. Mihi probabilius videtur Θαλαμοποιούς, nomine ab choro ducto, quartam fuisse huius tetralogiae fabulam, inverso rerum ordine, quemadmodum in tetralogia Oedipodea tribus tragoediis, Λαΐῳ, Οἰδίποδι, Ἑπτά ἐπὶ Θήβας, quarta addita fuit Σφίγξ fabula, quae secundum rerum ordinem prima esse debebat.

ΑΙΤΝΑΙΑΙ.

Duas fabulas hoc nomine inscriptas memorat scriptor Catalogi, Αἰτναίας γνησίους et Αἰτναίας νόθους: quarum altera utrum a poeta Attico an Alexandrino supposita fuerit nescimus. Similiter Rhesi Euripidei duplex exstitisse videtur editio, Ῥῆσος γνήσιος et Ῥῆσος νόθος. Αἰτναίων autem editio genuina quo consilio ab Aeschylo, dum in Sicilia commoraretur, scripta fuerit, vitae eius scriptor his verbis prodidit, ἐλθὼν τοίνυν εἰς Σικελίαν Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος ἐπεδείξατο τὰς Αἰτναίας, ἐντεῦθεν οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικίζουσι τὴν πόλιν. Ex quo recte collectum est fabulam circa olymp. 76, 1., quo tempore Aetnam condere instituit Hiero, scriptam, chorum autem ex mulieribus Aetnaeis compositum fuisse.

5. Stephanus Byz. p. 496, 9. Παλική, πόλις Σικελίας. — πλησίον δέ αὐτῆς ἱερόν Παλικῶν, οἵ εἰσι δαίμονές τινες, οὓς Αἰσχύλος ἐν Αἰτναίαις γενεαλογεῖ Διός καὶ Θαλείας (Αἰθαλείας Welcker. ad Simonid. Amorg. p. 38. licet Macrobius in *Thaliae nymphae* nomine consentiat) τῆς Ἡφαίστου. Conf. Hesych. s. h. v. Quattuor ex Aeschyli „*tragoedia quae inscribitur Aetna*" versus servavit Macrobius Saturnal. 5, 19. quo capite fabulam de Palicis copiose enarrat,

A. τί δῆτ' ἐπ' αὐτοῖς ὄνομα θήσονται βροτοί;
B. σεμνούς Παλικούς Ζεύς ἐφίεται καλεῖν·
ἦ καὶ Παλικῶν εὐλόγως μενεῖ φάτις·
πάλιν γάρ ἵκουσ' ἐκ σκότου τόδ' ἐς φάος.

Addidi personarum notas. V. 1. vulgatum τί δῆθεν αὐτοῖς ὄνομα τίθενται. Recte codex Paris. 6371. Tum editiones veteres vitioso accentu Παλίκους et Παλίκων. Accentibus caret codex Paris.: nam literis uncialibus scriptus est. 3. ἦ scripsi pro ἢ. μενεῖ Schneidewinus pro μένει. 4. ἵκουσ'] ἥκουσ' codex Paris. ἵκουσ' si scripsit Aeschylus, formam ab Attica dialecto alienam admisit etymologiae caussa. ἥξουσ' Burgesius in *Revue de Philologie* vol. 2. p. 229. σκότου pro σκότους correxit Hermannus. In cod. Paris. est CΤΟΥCΤΟΔΕΙCΦΑΟC.

6. Schol. Il. 6, 183. τόν κάλαμον τῶν βελῶν, φασί, καὶ Αἰσχύλος ἐν Αἴτναις (corrige Αἰτναίαις) τοὺς ποταμούς πολυηλακάτους φησί. Non fluvios, sed τὰ τῶν ποταμῶν χείλη, ut monet M. Schmidtius, collata gl. Hesychii, ἠλακάτη: δόναξ. ὁμοίως καὶ πολυηλάκατα τά τῶν ποταμῶν χείλη.

7. Hesychius, κρείττονας: τούς ἥρωας οὕτω λέγουσι. δοκοῦσι δέ κακότυχοί (scr. κακωτικοί ex Phot. p. 177, 8.) τινες εἶναι. διά τοῦτο καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι, μή τι βλαβῶσι. καὶ οἱ θεοί δέ. Αἰσχύλος Αἰτναίαις.

8. Hesychius, αἱμοί: δρυμοί. Αἰσχύλος Αἰτναίαις. Corrupte Eustathius p. 1851, 27. αἵμους τούς δρόμους Αἰσχύλος λέγει. et Suidas αἵμους τάς (τούς Zonaras p. 69.) δρόσους φησίν ὁ Αἰσχύλος. Emendate grammaticus Bekkeri p. 360, 30.

9. Hesychius, ἀναξίαν: βασιλείαν. Αἰσχύλος Αἰτναίαις. In tribus his locis Hesychii nomen fabulae in codice corruptum in αἰτναίας, αἰτναίαις, λιαναίαις.

10. Io. Lydus de mensibus p. 274. ed. Hasii (p. 116, 6. Bekk.), καὶ βασιλεῦσαι δέ αὐτόν (τόν Κρόνον) ἢ

ἱστορία παραδίδωσι — κατά τε τὴν Λιβύην καὶ Σικελίαν, ***** πους (οἰκίσαι τε τοὺς τόπους Hasius) καὶ πόλιν κτίσαι, ὡς ὁ Χάραξ φησί, τὴν τότε μὲν λεγομένην Κρανίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὡς Ἰσίγονος περὶ Ἑλληνικῶν θεῶν καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ (codex ετνη) παραδιδόασιν.

[ΑΛΚΜΗΝΗ.

Suspectum nomen fabulae: vid. ad fr. 75.]

ΑΜΥΜΩΝΗ.

Fabula fuit satyrica, cuius quod fuerit argumentum ex narratione coniici potest Apollodori 2, 1, 4. et Hygini fab. 169.

11. Ammonius s. v. γῆμαι p. 37. A. ἐν Ἀμυμώνῃ

σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δ' ἐμοί.

Vulgo γαμεῖν δὲ μή. Emendatum ex Bachmanni Anecd. 2. p. 375, 5. Apud Herodianum περὶ ἀκυρολογίας in Boisson. Anecd. vol. 3. p. 263. et in Etym. God. p. 125, 7. est ἐμοὶ δὲ γαμεῖν.

12. Athenaeus 15. p. 690 c. Αἰσχύλος ἐν Ἀμυμώνῃ

κἄγωγε τὸς σὰς βακκάρεις τε καὶ μύρα.

13. Hesychius. θρώσκων κνώδαλα: ἐκθορίζων καὶ σπερματίζων, γεννῶν. Αἰσχύλος Ἀμυμώνῃ.

ΑΡΓΕΙΟΙ.

14. Harpocratio p. 306, 10. ed. Oxon. χλῆδος: — Αἰσχύλος Ἀργείοις (sic Maussacus pro ἀργείαις)

καὶ παλτὰ κἀγχυλητὰ καὶ χλῆδον βαλών.

βαλών] βελῶν M. Schmidtius Philol. 16. p. 162. καὶ πάλτ' ἀναγκύλητα Salmasius

15. Etym. M. p. 341, 5. ἐνηλύσια: εὐκίνητα. καὶ ἤλυσιν τὴν ἔλευσιν. Αἰσχύλος ἐν Ἀργείοις "Καπανεύς μου καταλείπεται λοιποῖς ἀκέραυνος δρούρων (δρόρων codices duo) ἐπηλυσίων (ἐνηλυσίων Stanleius) ἀπέλιπεν." οἱ δὲ τὰ κατασκηφθέντα. οὕτως εἰς τὸ ῥητορικόν. εἰς δὲ τοὺς ἐτυμολόγους εὗρον· ἐνηλύσια λέγεται εἰς ἃ κεραυνὸς εἰσβέβηκεν (hoc verbo utitur propter etymologiam vocabuli ἐνηλύσια), ἃ καὶ ἀνατίθεται Διὶ καταιβάτῃ καὶ λέγεται ἄδυτα καὶ ἄβατα. Verba poetae corrupta. Hesychius, ἐνηλύσια: τὰ κατασκηφθέντα χωρία ἐνηλύσια λέγεται. ἔνιοι δὲ εὐκίνητα, παρὰ τὴν ἔλευσιν. ἐνηλύσιος: ἐμβρόντητος, κεραυνόβλητος.

16. Hesychius, ἀπόσκημμα: ἀπέρεισμα. Αἰσχύλος Ἀργείοις (ἀργίας codex). M. Schmidtio in Philol. 16. p. 161. vera huius fabulae inscriptio Ἀργεία esse videtur, quae Adrasti filia fuit Polynici in matrimonium data.

ΑΡΓΩ Η ΚΩΠΕΥΣΤΗΣ.

Sic nomen huius fabulae scriptum est in Catalogo. Argonautarum tamen quum remiges multi fuerint, multo probabilius est Ἀργὼ ἢ Κωπευσταὶ inscriptam fuisse, nomine a choro κωπευστῶν ducto, quod vidit Welckerus in libro de Aeschyli Trilogiis p. 312. qui pro tragoedia habuit. Mihi credibilius videtur satyricam fuisse fabulam, de quo non poterit dubitari, si recte iudicamus de loco Hesychii statim afferendo.

17. Hesychius, ἐμμέλεια: εἶδος ὀρχήσεως. — τραγικὴ δὲ ἡ ὄρχησις. Ἀργυρίοις δὲ Αἰσχύλος ἀντὶ τοῦ σατυρική, ἥ ἐστι σίκινις (codex σικήνης).

In corrupto ἀργυρίοις si latet nomen fabulae, aut Ἀργοῖ scribendum erit aut cum Meursio Ἀργείοις. Verum quum nomina fabularum non ante, sed post nomina poetarum collocare soleat Hesychius, probabilius Bothius haec sic correxit, ἀκύρως δὲ Αἰσχύλος ἀντὶ τῆς σατυρικῆς. Aliam viam iniit Hermannus, qui in Opusc. vol. 7 p. 207. coniecit, τραγικὴ δὲ ὄρχησις. Αἰσχύλος Ἀργείοις. ἦν δὲ καὶ σατυρική, ἥ ἐστι σίκιννις. collata simili notatione Hesychii s. v. σίκιννις, ἦν δὲ καὶ ἐμμέλεια τραγική, καὶ κωμικὴ κόρδαξ

18. Schol Apoll. Rh. 1, 105. Φερεκύδης δὲ Ποντέα (Ποτνιέα O. Muellerus in libro de Orchomeno et Minyis p. 264.) ἱστορεῖ τὸν Τῖφυν εἶναι. Αἰσχύλος (codex δίσχηλος, quod correxit Sturzius ad Pherecyd. p. 170.) δὲ τὸν Τῖφυν ἐν τῇ Ἀργοῖ Ἶφιν καλεῖ.

19. Ad hanc fabulam Welckerus l. c. p. 313. probabiliter rettulit versum ab Philone Iud. allatum vol. 2. p. 468. οὐδ' ἡ Ἀργὼ ναυαρχοῦντος Ἰάσονος ἐπέτρεπεν ἐπιβαίνειν οἰκέταις μεμοιραμένη καὶ ψυχῆς καὶ λογισμοῦ, φύσις οὖσα φιλελεύθερος· ὅθεν καὶ ὁ Αἰσχύλος ἐπ' αὐτῆς εἶπε,

ποῦ δ' ἐστὶν Ἀργοῦς ἱρὸν, αὔδασον, ξύλον.

Scribitur ἱερόν. αὔδασον autem non est in αὔδησον mutandum. Videtur enim hoc verbum ex genere eorum esse de quibus Lobeckius ad Phryn. p. 204, 205. egoque in Thesauro vol. 6. p. 1500. diximus. Hyginus Poet. Astron. 2, 37. "*Homerus hunc eundem locum* (Pagasas) *in Thessaliae finibus esse demonstrat; Aeschylus autem, ut nonnulli aiunt, a Minerva quandam materiam loquentem eodem esse coniunctam.*" Apollod. 1, 9, 16. κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον.

ΒΑΣΣΑΡΑΙ.

Fuit secunda tetralogiae Lycurgeae fabula: v. schol. Ar. Thesm. 135. cuius verba afferemus ad fragm. 122. Nomen in Catalogo Βασσάραι scriptum, et βάσσαρες apud Hesych. s. v. εἰλλόμενον non ex Βασσαρίσι, sed ex Βασσάραις corruptum, ut apud Simplicium legitur. Aeschylus igitur Βασσάρας, non Βασσαρίδας inscripsisse videtur. Nomen autem huic fabulae, ut aliis multis, ab choro impositum.

20. Eratosthenes Catast. c. 24. ὃς (Orpheus) τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν· ἐπεγειρόμενός τε τῆς νυκτὸς κατὰ τὴν ἑωθινὴν ἐπὶ τὸ ὄρος τὸ καλούμενον Πάγγαιον προσέμενε τὰς ἀνατολάς, ἵνα ἴδῃ τὸν Ἥλιον πρῶτον. ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῷ ἔπεμψε (ἐπέπεμψε Valck.: sed *misit* est etiam ap. schol. Latinum Arati p. 67.) τὰς Βασσαρίδας, ὥς φησιν Αἰσχύλος ὁ ποιητής, αἵτινες αὐτὸν διέσπασαν καὶ τὰ μέλη διέρριψαν χωρὶς ἕκαστον· αἱ δὲ Μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς καλουμένοις Λειβήθροις. De quo loco dixerunt Valckenarius ad Callimachi fragm. p. 186. Gaisfordus ad Hephaestion vol. 1. p. 71. Hermannus Opusc. vol. 5. p. 19.

21. Hesychius, εἰλλόμενον: εἰργόμενον. Αἰσχύλος Βασσάραις (βάσσαρες codex). Simplicius ad Aristot. de coelo fol. 125 b. (p. 505, 19. ed. Brand.): τὸ ἰλλομένην εἴτε διὰ τοῦ ἰῶτα γράφεται, τὴν δεδεμένην δηλοῖ· — εἴτε διὰ τῆς ει διφθόγγου γράφοιτο, καὶ οὕτως εἰργομένην δηλοῖ, ὡς καὶ Αἰσχύλος ἐν Βασσάραις Activum εἶλαι, in εἶναι corruptum, restitui Sophocli Antig. 578.

22a. Schol. ad Nicandri Theriaca v. 288. σημαίνει δ' ἡ λέξις (ψολόεις) τρία· ἔστι γὰρ ψολόεν (legitur ψόλον, quod correxit Hermannus) τὸ μέλαν, τὸ σποδοειδές, τὸ λαμπρόν. — καὶ Αἰσχύλος ἐν Βασσαρίσι (βακκαρίσι libri)

κάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ.

Vitiose σκάρφει codex Paris. 2403. et, ut videtur, Gottingensis.

22b. Hephaestio c. 13. p. 82. τὸ Βακχειακὸν σπάνιόν ἐστιν, ὥστε εἰ καί που ποτὲ ἐμπέσοι, ἐπὶ βραχὺ εὑρίσκεσθαι, οἷον

ὁ ταῦρος δ' ἔοικεν κυρίξειν τιν' ἀρχάν,

φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν.

ubi schol. cod. Saibantiani, Βασσάρων (corr. Βασσαρῶν) Αἰσχύλου ἡ χρῆσις. Hesychius κυρίξειν ἢ κυρίττειν: κέρατι μάχεσθαι, fortasse ex hoc loco, ut monet ten Brink in Philologo 13. p. 886.

ΓΛΑΥΚΟΣ.

De Glaucis (Ποτνιεῖ et ποντίῳ) dissertatio Hermanni in Opusculis vol. 2. p. 59 quacum comparanda

Leutschii commentatio in Encyclopaedia Halensi s. v. *Glaukos* et Gaedechens in libello Gottingae edito a. 1860. "*Glaukus der Meergott.*" In Catalogo fabularum solus memoratur Γλαῦκος πόντιος, in didascalia Persarum simplex positum nomen, Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ, Προμηθεῖ, ubi in apographis plerisque Ποτνιεῖ post Γλαύκῳ legitur additum ab recentiore grammatico, qui pari iure πυρφόρῳ post Προμηθεῖ addere potuisset. In didascaliis haud dubie simpliciter Γλαύκῳ et Προμηθεῖ scriptum fuit, quum fabulae cognomines (Γλαῦκος πόντιος, Προμηθεὺς δεσμώτης et λυόμενος) eo tempore de quo hic agitur (olymp. 76, 4.) nondum scriptae essent: quae sententia similibus aliarum fabularum exemplis confirmatur, de quibus dixi in annot. ad Soph. Aiacem in ed. Oxon. tertia (a. 1860.) p. 3. Ceterum non dubitandum quin Γλαῦκος prior (Ποτνιεύς) tragoedia, alter (πόντιος) drama satyricum fuerit: de quo post alios dixit Hermannus l. c.

ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ.

23. Pausanias 9, 22, 6. τούτων τε δὴ ἔστι τῇ Ἀνθηδόνι μνήματα, καὶ ἐπὶ τῇ θαλάσσῃ καλούμενον Γλαύκου πήδημα. εἶναι δὲ αὐτὸν ἁλιέα, καὶ ἐπεὶ τῆς πόας ἔφαγε, δαίμονα ἐν θαλάσσῃ γενέσθαι καὶ ἀνθρώποις τὰ ἐσόμενα ἐς τόδε προλέγειν οἵ τε ἄλλοι πιστὰ ἥγηνται καὶ οἱ τὴν θάλασσαν πλέοντες πλεῖστα ἀνθρώπων ἐς τὴν Γλαύκου μαντικὴν κατὰ ἔτος ἕκαστον λέγουσι. Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκεσε. Pontium Glaucum Cicero adolescentulus scripsit teste Plutarcho V. Cicer. c. 2. καί τι ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος, ἐν τετραμέτρῳ πεποιημένον.

24. Phrynichus Bekkeri p. 5, 21. ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν: ἐπὶ τοῦ Γλαύκου ἀναφανέντος ἐκ τῆς θαλάσσης. Αἰσχύλος. Verbis ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν grammaticus interpretatus est verba poetae quae ab Phrynicho in lemmate posita exciderunt et haec fere fuisse videntur

ἀνθρωπόμορφον κῆτος ἐξ ἁλὸς φανέν.

de quo pluribus dixi in Philologo vol. 12. p. 189. et 17. p. 720. collato versu quem ex Euripide attulit Plut. Mor. p. 22 e. κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός, quem ex Andromeda sumtum esse novimus ex scholio ad Eurip. Orest. 335. ab me edito vol. 2. p. 111, 22. ed. Oxon. ubi verba κῆτος θοάζον ex Andromeda afferuntur, de quo monere debebam ad Eurip. fragm. 134. et 949.

25. Athenaeus 3. p. 87 a. ἀρσενικῶς (κόγχοι) δ' Αἰσχύλος ἐν Ποντίῳ Γλαύκῳ "κόγχοι, μύες κὤστρεια." Codex κ' ὄστρεα. Athen. p. 92 e. ὄστρεια δὲ μόνως οὕτως ἔλεγον οἱ ἀρχαῖοι.

26. Vita Arati in Petavii Uranologio p. 269 a. (apud Buhlium vol. 2. p. 430.) εἰσὶ δὲ καὶ τῆς Εὐβοίας Ἀθῆναι Διάδες, ὧν μέμνηται ἐν Γλαύκῳ Ποντίῳ Αἰσχύλος

κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν.

De hac urbe Stephanus Byz. s. v. Ἀθῆναι p. 34, 22. ταύτας δ' Ἀθήνας Διάδας λέγεσθαι. Nam sic cum Meinekio scribendum pro τὰς δ' Ἀθήνας καὶ Δ. λ., nisi malis ταύτας δὲ τὰς Ἀθήνας καὶ Διάδας λέγεσθαι. Post λέγεσθαι Valckenarius Diatr. p. 144. addi voluit Αἰσχύλος μαρτυρεῖ, quum vix dubitari possit quin Aeschyli versum in mente habuerit Stephanus. Sed λέγεσθαι epitomatoris esse posse monet Meinekius. In versu Aeschyli legebatur παρ' ἐκ περσῶν, quod correxit Butlerus. Simili composito διεκπερᾶν usus est Aeschylus Pers. 485.

27. Strabo 10. p. 447. ὑπὸ τοιοῦδε πάθους (σεισμοῦ) καὶ ἡ ὁμώνυμος τῇ νήσῳ (Εὐβοίᾳ) πόλις καταποθῆναι λέγεται, ἧς μέμνηται καὶ Αἰσχύλος ἐν τῷ Ποντίῳ Γλαύκῳ

Εὐβοΐδα καμπὴν ἀμφὶ Κηναίου Διὸς
ἀκτήν, κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα.

Libri deteriores καμπτήν. κάμπτων Meinekius.

28. Schol. Pindari Pyth. 1, 152. Ἱμέρας ποταμὸς Σικελίας, περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ

καλοῖσι λουτροῖς ἐκλελουμένος δέμας
εἰς ὑψίκρημνον Ἱμέραν ἀφικόμην.

ἐκλελουμένος pro ἐκλέλουμαι deleto δ' post Ἱμέραν Heynius. De versu λοῦται γε μὲν δὴ λουτρὸν αὖ τὸ δεύτερον ap. Poll. 7, 167. fortasse ad hanc fabulam referendo v. ad fragm. 332.

29. Schol. Theocr. 4, 62. τοὺς Σατύρους (ἀκρατεῖς ex scholio inferiore addidit Casaubonus de satyr. poesi 1, 5.) οἱ πλείονές φασιν, ὡς καὶ τοὺς Σειληνοὺς καὶ Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ Ἀνδρομέδᾳ. Schol. Eur. Rhesi 36. vol. 1. 23, 5. Αἰσχύλος δὲ δύο Πᾶνας λέγει, τὸν μὲν Διός, ὃν καὶ (Ἀρκάδος pro ὃν καὶ Vaterus p. 86.) δίδυμον, τὸν δὲ Κρόνου.

30. Etym. M. p. 250, 1. Δαυλίς: πόλις ἐν τῷ Παρνασῷ κειμένη. — εἴρηται δὲ διὰ τὸ πολὺ δάσος ἔχειν. δαῦλον γὰρ τὸ δασύ Αἰσχύλος

δαῦλος ὑπήνη καὶ γενειάδος πυθμήν.

Scribe δαῦλος δ' ex Eustathio p. 274, 24. δαῦλον γὰρ τὸ δασὺ ἔλεγον προπερισπωμένως, ὡς δηλοῖ Παυσανίας, εἰπὼν δαῦλον τὸ δασύ. ἡ προτέρα περισπᾶται. Αἰσχύλος "δαῦλος δ' ὑπήνη." Pausanias 10, 4, 7. τοῖς δὲ ἔστιν εἰρημένον ὡς τὸ χωρίον, ἔνθα ἡ πόλις (Δαυλίς) ᾠκίσθη, παρείχετο συνεχῆ δένδρα, καλεῖσθαι δὲ τὰ δασέα ὑπὸ τῶν πάλαι δαῦλα· ἐπὶ τούτῳ δὲ καὶ Αἰσχύλον τοῦ Γλαύκου τοῦ Ἀνθηδονίου γένεια ὑπήνην ὠνομακέναι δαῦλον.

31. Anecd. Bekkeri p. 347, 22. — καὶ κατὰ σύνθεσιν ἀείζων, ὡς Αἰσχύλος Γλαύκῳ Ποντίῳ

ὁ τὴν ἀείζων ἄφθιτον πόαν φαγών.

—— ζωός — ἧς ἡ γενικὴ ζωοῦ, ἣν Αἰσχύλος κατὰ σύνθεσιν προάγει εἰπὼν

καὶ γεύομαί πως τῆς ἀειζώου πόας.

De herba illa Iacobsius Athenaei locos memorat 14. p. 679 a. 7. p. 296 f.

ΓΛΑΥΚΟΣ ΠΟΤΝΙΕΥΣ.

Phineus, Persae, Glaucus (Ποτνιεύς), Prometheus (πυρφόρος) una tetralogia comprehensae: vide argumentum Persarum. Ad Glauci Potniensis equos Hesychii gl. Γλαύκου φορβάδας (γλαυκοφόρβιδες codex) ἵππους: εὐγενεστάτους referendam esse animadvertit O. Iahnius in Museo Rhen. 9. p. 629.: sed verba illa utrum ex Aeschyli fabula an aliunde sumta sint nescimus.

32. Schol. Eur. Phoen. 1194. vol. 3 p. 318, 14. ἄξονές τ' ἐπ' ἄξοσι: καὶ παρ' Αἰσχύλῳ ἐν Γλαύκῳ Ποτνιεῖ

ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρός,
ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι.

Priorem versum affert Ar. in Ranis 1403. (1447) ubi scholiasta, τὸ δὲ "ἐφ' ἅρματος γὰρ ἅρμα" ἐκ Γλαύκου Ποτνιέως τοῦ Αἰσχύλου. Codex Euripidis August. ἐμπεφυγμένοι, unde ἐμπεφυρμένοι Valckenarius. ἐκπεφυγμένοι codex Vaticanus, idemque haud dubie in Veneto fuit ubi literae υγ perierunt.

33. Schol. Il. 13, 198. (Eustathius p. 927, 39.) Αἰσχύλος περὶ Γλαύκου

εἷλκον δ' ἄνω λυκηδόν, ὥστε διπλόοι
λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις.

δ' addidit Hermannus.

34. Schol. Ar. Ran. 1576. εὐοδίαν: εὐκολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου "εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν."

35. Hesychius, ἀμφίσωπον: περίωπον, πάντοθεν ἀναπεπταμένον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ. Etym. M. p. 91, 12. ἀμφίσωπον: περίβλεπτον.

36. Hesychius, εὐφήμοις γόοις: δυσφήμοις, κατὰ ἀντίφρασιν. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ.

37. Hesychius, ἴτηλον: τὸ ἔμμονον καὶ οὐκ ἐξίτηλον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ. Photius p. 118, 3. ἴτηλον: τὸν οὐκ ἐξίτηλον, ἀλλ' ἀνεξάλειπτον. οὕτως Αἰσχύλος.

38. Hesychius, Ξιφίρου λιμήν: Αἰσχύλος Γλαύκῳ

Ποτνιεῖ (Ποντίῳ Hermannus). ὁ πορθμός. ταῦτα γὰρ πάντα τὰ περὶ Ῥήγιον ὡρείων. ubi τῶν — ὁρίων Valesius, τῶν — νεωρίων Alberti. Suspectum nomen Ξιφίρου, quod ex Ξιφωνίου corruptum videbatur Bernhardyo in Annal. Berolin. a. 1828. p. 243. Ξιφώνειος λιμὴν memoratur ab Scylace p. 4. (21 ed. Muell.) Ξιφήρους λιμήν:—ταῦτα γὰρ πάντα περὶ Ῥήγιον Ὠρίωνος ἔργον Meinek. Philol. vol. 13. p. 511. collato Diodoro 4, 85.

39. Schol. Plat. p. 16. (370. Bekker.) ἀγὼν πρόφασιν οὐκ ἀναμένει. — Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ

ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους.

ΔΑΝΑΙΔΕΣ.

Dissertatio Hermanni in Opusc. vol. 2. p. 319.

40. Schol. Pindari Pyth 3, 27. τὸ ὑποκουρίζεσθαι ἀοιδαῖς εἶπε διὰ τὸ τοὺς ὑμνοῦντας ἐπευφημιζομένους λέγειν σὺν κόροις τε καὶ κόραις. Αἰσχύλος Δαναΐσι

κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος,
ἕως ἐγείρω πρευμενεῖς τοὺς νυμφίους
νόμοισι θέντων σὺν κόροις τε καὶ κόραις.

V. 1. κἄπειτα δ' εἶσι] κἄπειτ' ἄνεισι Toupius Emend vol. 2 p. 295. 3. corruptum habendum erit θέντων, nisi quis aliqua inter secundum tertiumque versum excidisse statuat. Infelices criticorum coniecturas memoravit Hermannus p. 326. Verba σὺν κόροις τε καὶ κόραις lucem accipiunt etiam ab Hesychii glossa, κουριζόμενος. ὑμεναιούμενος, διὰ τὸ λέγειν γαμουμέναις "σὺν κόροις τε καὶ κόραις", ὅπερ νῦν παρεφθαρμένως ἐκκορεῖν λέγεται. Codex γαμουμέναις διὰ τὸ λέγειν. Transposuit Nauckius.

41. Athenaeus 13. p. 600 a. καὶ ὁ σεμνότατος δ' Αἰσχύλος ἐν ταῖς Δαναΐσιν αὐτὴν παράγει τὴν Ἀφροδίτην λέγουσαν

ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
ὄμβρος δ' ἀπ' εὐνάεντος οὐρανοῦ πεσὼν
ἔκυσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον·
δενδρῶτις ὥρα δ' ἐκ νοτίζοντος γάμου
τέλειός ἐστι. τῶν δ' ἐγὼ παραίτιος.

V. 1. τρῶσαι] χρῶσαι Heathius. πλῆσαι Meinekius.

ε
3 εὐνάεντος] Epitomae codex Paris. εὐνάοντος, unde εὐνάοντος Eustathius ad Homer. p. 978, 24, quod pro νοτίζοντος dictum probat Meinekius ad Theocr. p. 425. 6. δενδρῶτις] δένδρων τις codex. Correxit Hermannus collato Eurip. Herc f. 790. Πυθίου δενδρῶτι πέτρα. γάμου] γάνους Gomperzius in Museo Rhen. 13. p. 479.

42 a. Hesychius, καθαίρομαι γῆρας: ἐκδύομαι. Αἰσχύλος Δαναΐσι (δαΐσι codex).

42 b. Strabo 5. p. 221. de Pelasgis. Αἰσχύλος δ' ἐκ τοῦ περὶ Μυκήνας Ἄργους φησὶν ἐν Ἱκέτισιν ἢ Δαναΐσι (Ἱκέτισι καὶ Δαναΐσι Hermannus) τὸ γένος αὐτῶν.

ΔΙΚΤΥΟΥΛΚΟΙ.

Nomen in Δικτυουργοί corruptum in Catalogo. De argumento fabulae nihil constat. Piscatores Seriphios, in quorum retia Danaë cum Perseo exposita inciderit, intelligit Hermannus, qui de hac fabula dixit in Relationibus Societ. Saxon. 1. p. 119.

43. Aelianus N. A. 7, 47. τῶν δὲ ὑστρίχων καὶ τῶν τοιούτων ἀγρίων τὰ ἔκγονα ὄβρια (καὶ ὀβρίκαλα addit Nauckius) καλεῖται. καὶ μέμνηται δὲ Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι (143. ubi ὀβρικάλοισι legitur) καὶ Δικτυουλκοῖς. Photius p. 314, 23. ὄβρια καὶ ὀβρίκαλα: τὰ τῶν λεόντων καὶ λύκων σκύμνια. Αἰσχύλος Δικτυουλκοῖς.

44. Hesychius, θῶσθαι: δαίνυσθαι (codex δύνασθαι) θοινᾶσθαι (θωρᾶσθαι ex Etymolog. Parisino Bastius ad Gregor. p. 358. θοινᾶσθαι Salmasius), εὐωχεῖσθαι Αἰσχύλος Δικτυουλκοῖς.

45. Pollux 7, 35. ὕφασμα δέ ἐστι λεπτόν, εὐυφές, ἰσχνόν, εὐήτριον, εὔπλοκον. τὸ δὲ εὐήτριον Αἰσχύλος ἐν Δικτυουλκοῖς εἰ καὶ μὴ ἐπὶ ἐσθῆτος, ἀλλ' οὖν εἴρηκε "δικτύου δ' εὐήτρια." Volgo δικτυουργικοῖς. Correctum ex codice Falckenburgii. Pro δικτύου in cod. Paris. Bekkeri scriptum κερκίου, librario, ut videtur, ad κερκίς quod sequitur aberrante.

ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ.

Τροφοί, omisso Διονύσου, in Catalogo.

46. Schol. Ar. Eq. 1318. ὥσπερ ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν. Scriptor argumenti Medeae Euripidis, Αἰσχύλος δ' ἐν ταῖς τοῦ Διονύσου Τροφοῖς ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε. Διονύσοιο τιθῆναι memorantur ab Homero Il. 6, 132. omissis nominibus, de quibus alii alia narrarunt: v. Pherecydem in Muelleri Fragm. Hist. vol. 1. p. 84. Diodor. 3, 70. Io. Lydum de mens. 4, 38. Etym. M. p. 372, 4. Theognosti Can. p. 106, 31. ab Nauckio indicatos. Aeschyli fabulam satyricam fuisse coniecit Boettigerus in libro de picturis vasorum vol. 1, 2. p. 185

47. Hesychius, δίκρα ὄψις: ἡ διπλῆ. Αἰσχύλος Τροφοῖς. δίκρα ὀσφῦς (at διπλῆ ὀσφῦς ap. Poll. 1, 190. at *spina duplex* ap. Vergilium) M. Schmidtius l. c.

48. Hesychius, πεδοίκου χελιδόνος: συνοίκου. Αἰσχύλος Τροφοῖς. Photius p. 403, 24. πεδοικούσης (πεδοίκου Nauckius): μετοικούσης.

49. Photius p. 47, 10. ἑψιοῦσα: τροφὰς διδοῦσα χόνδρου καὶ τὰ ἑψητά. Αἰσχύλος Τροφοῖς "βιοτὴν αὔξιμον ἑψιοῦσα." Ἱππῶναξ. Inter καὶ et τὰ ἑψητά excidisse ψιφά intellexit M. Schmidtius in Philologo vol. 16. p. 228. collata Hesychii gl. ψιφά: ἑψητά (ἐψιτά codex) λεπτά, etsi mirum est vocabulum ψιφά pro usitato ψίχες dictum. Praeterea Schmidtius verba sic corrigi et collocari voluit, Ἐμψίουσα: τροφὰς διδοῦσα χόνδρου. "βρωτὺν αὔξιμον ἐμψίουσα" Ἱππῶναξ. καὶ ψιφὰ τὰ ἑψητὰ Αἰσχύλος Τροφοῖς, coniectura parum probabili, quum verba αὔξιμον ἐμψίουσα sic iuxta se posita neque iambico nec trochaico metro apta sint: nam ἐμψίουσα syllaba secunda producta dicitur. Quamobrem probabilius verba καὶ ψιφὰ τὰ ἑψητά, loco alieno illata, ante Ἱππῶναξ collocari videntur. Hesychius, ἐμψιοῦσα: ἐρίγματα διδοῦσα. Recta scriptura est ἐμψίουσα, restituta ab Lobeckio Rhemat. p. 154. Aeschyli verba metro Ionico scripta sunt. Verbi simplicis ψίω aoristo ἔψισε usus est Hipponax in versu ab Etym. M. p. 154, 27. servato, ex quo Hesychii gl. ἔψισεν: ἐψώμισεν sumta esse potest.

[ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ. V. ΦΡΥΓΕΣ.]

ΕΛΕΥΣΙΝΙΟΙ.

50. Hesychius, ἀοζήσω (codex ἀοξήσω): διακονήσω, ὑπουργήσω. Αἰσχύλος Ἐλευσινίοις (ἐλευσινίαις codex).

51. Plut V. Thesei c 29. συνέπραξε δὲ (Θησεὺς) καὶ Ἀδράστῳ τὴν ἀναίρεσιν τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων, οὐχ, ὡς Εὐριπίδης ἐποίησεν ἐν τραγῳδίᾳ, μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος· οὕτω γὰρ οἱ πλεῖστοι λέγουσι· — — καταμαρτυροῦσι δὲ τῶν Εὐριπίδου Ἱκετίδων οἱ Αἰσχύλου Ἐλευσίνιοι, ἐν οἷς καὶ (καὶ ante οἱ Αἰσχύλου Ἐ. transponit Sintenis) ταῦτα λέγων ὁ Θησεὺς πεποίηται

ΕΠΙΓΟΝΟΙ.

52. Schol. Pindari Isthm. 6, 10. τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον. — τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκίρνασαν· τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις

"λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου
"Ηρας τε." εἶτα
"τὴν δευτέραν δὲ κρᾶσιν ἥρωσιν νέμω." εἶτα
"τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα."

V. 3. δέ pro γε Schuetzius.

53. Hesychius, τιμαλφής: ἔντιμος, τιμὴν ἀλφάνουσα, διὰ τιμῆς ἀγομένη. — Αἰσχύλος δὲ ἐν Ἐπιγόνοις ἐπὶ τοῦ ἐντίμου.

54. Apud Athenaeum 13. p. 584 d. Andronicus histrio versum ex Epigonis recitasse memoratur (τοῖς Ἐπιγόνοις εὐημερήκει)

ὀλόμενε παίδων, ποῖον εἴρηκας λόγον;

Dubitatur utrum Aeschyli an Sophoclis Epigonos dicat. Andronicus autem Demosthenis oratoris aetate vixit.

[ΕΥΡΩΠΗ. V. ΚΑΡΕΣ Η ΕΥΡΩΠΗ.]

ΗΔΩΝΟΙ.

Fuit prima tetralogiae Lycurgeae fabula: v. schol. ad Aristoph. Thesm. 135. cuius verba afferemus ad fragm. 122. De trilogiae Lycurgeae argumento coniecturas suas exposuit Hermannus Opusc. 5. p. 24.

55. Strabo 10. p. 470. τούτοις δ' ἔοικε καὶ τὰ παρὰ τοῖς Θρᾳξὶ τά τε Κοτύττια καὶ τὰ Βενδίδεια, παρ' οἷς καὶ τὰ Ὀρφικὰ τὴν καταρχὴν ἔσχε. τῆς μὲν οὖν Κότυος τῆς ἐν τοῖς Ἠδωνοῖς Αἰσχύλος μέμνηται καὶ τῶν περὶ αὐτὴν ὀργάνων (verba καὶ τῶν — ὀργάνων om. duo libri optimi) εἰπὼν γὰρ "σεμνὰ Κότυς ἐν τοῖς Ἠδωνοῖς (verba ἐν τοῖς Ἠδωνοῖς ex superioribus repetita delet Nauckius) ὄρεια δ' ὄργαν' ἔχοντας (ἔχοντες libri duo, quod ipsum Aeschylus haud dubie scripserat, sed Strabo, qui haec suae orationi accommodaret, accusativo opus habuit) τοὺς περὶ τὸν Διόνυσον εὐθέως ἐπιφέρει

ὁ μὲν ἐν χερσὶν
βόμβυκας ἔχων, τόρνου κάματον,
δακτυλόδικτον πίμπλησι μέλος,
μανίας ἐπαγωγὸν ὁμοκλάν (corr. ὁμοκλήν)·
ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ.

καὶ πάλιν

ψαλμὸς δ' ἀλαλάζει·
ταυρόφθογγοι δ' ὑπομυκῶνται
ποθὲν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι,
τυπάνου δ' εἰκὼν ὥσθ' ὑπογαίου
βροντῆς φέρεται βαρυταρβής.

V. 1. σεμνὰ — ἔχοντας] σεμνὰ Κοτυτοῦς ὄργι' ἔχοντες Nauckius. Κοτυτοῦς nomen in libris modo sic modo Κοτυττοῦς scribitur, de quo dixi in Thes. vol. 4. p. 1887. 4. δακτυλόδικτον pro δακτυλόδεικτον Pauwius. Apud Hesychium est lemma δακτυλόδικτον, cuius interpretatio excidit. 6. Schol. Il. 23, 34. καθόλου δὲ κοτύλας ἐκάλουν πάντα τὰ κοῖλα. καὶ Αἰσχύλος ἐν Ἠδωνοῖς τὰ κύμβαλα "ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ." Attulit hunc versum Athenaeus 11. p. 479 b. ex eoque Eustath. p. 1282, 16. 10. Libri alii ὑπογέου, quod nihil aliud est quam ὑπογαίου, alii ὑπογείου. Ceterum versus hos omnes chori Edonorum esse, suam deam Cotyn celebrantium, monet Hermannus Opusc. 5. p. 9.

56. Ar. Thesm. 135. ποδαπὸς ὁ γύννις; τίς πάτρα τίς ἡ στολή; ubi schol. λέγει δὲ (Λυκοῦργος) ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συλληφθέντα Διόνυσον "ποδαπὸς ὁ γύννις;"

57. Aristophanes Avium v. 277.

τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀριβάτης;

ubi schol. τοῦτο εἶπεν εἰς τὸ τερατῶδες τοῦ ὄρνιθος ἀφορῶν, οὐδὲν πρὸς τὸ προσκείμενον. παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλου "τί ποτ' ἔσται ὁ μουσόμαντις ἄλλο ἀβρατεὺς (ἀκρατοῦς cod. Ven.) ὃν σθένει." Suidas, μουσόμαντις: κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί. παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλου "τίς ποτ' ἔσται ὁ μουσόμαντις ἄλαλος ἀβρατεύς." Corruptis ultimis versus verbis nihil opis attulerunt criticorum coniecturae memoratae ab Hermanno l. c. p. 16, 17. quibus alias addidit M. Schmidtius Philol. 18. p. 228. Sententiae satisfacit τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄλαλος ἀβροβάτης (de hoc voc. etiam Hermannus cogitavit) ὅδε;

58. Erotianus p. 190. (79. ed. Klein.) Ἴκταρ: ἐγγύς, παρὰ τοῖς Ἀττικοῖς, ὡς καὶ Αἰσχύλος ἐν Εὐμενίσι φησί —. μέμνηται ὁ αὐτὸς τῆς λέξεως καὶ ἐν Ἠδωνοῖς.

59. Hesychius, ἄδασμος: οὐδένα δασμὸν ἐκτελοῦσα, οἷον τελοῦσα ἐνοίκιον. Αἰσχύλος Ἠδωνοῖς (codex ἡδονήν). Photius p. 8, 4. ἄδασμος: οὐδένα δασμὸν ἐκτίνουσα, οὐδὲ μερίζουσα δασμὸν τῆς οἰκήσεως. οὕτως Αἰσχύλος.

60. Hesychius et Suidas, αἰγίζειν: διασπᾶν, ἐκ μεταφορᾶς, παρ' ὃ καὶ τὸ αἰγίζεσθαι ἀπὸ τῶν καταιγίδων. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς (ἡδανῇ codex Hesychii) καὶ τὰς νεβρίδας οὕτω λέγει. Haec partim repetuntur infra apud Suidam, Ἠδωνίς Ἠδωνίδος: χώρα οὕτω λέγεται. καὶ Ἠδωνοὶ ὄνομα ἔθνους. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖσι καὶ τὰς νεβρίδας οὕτως καλεῖ· καὶ ἔστιν ἐν τῷ αἰγίζειν. Poetae verba fuisse νεβρίδας δ' Ἠδωνίδας ᾔγιζον coniecit Hermannus.

61. Hesychius, ἀμφίδρομος: Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα καινὸν περὶ τὰ Ἀμφιδρόμια, ὡς εἰ ἔλεγες τὸν γενέθλιον. δηλοῖ δὲ καὶ ἐξ ἑκατέρου μέρους θεώμενον ἢ προηγούμενον, ἢ ὁρμᾶν δυνάμενον, ὡς Αἰσχύλος Ἠδωνοῖς (codex ἠδωνές).

62. Hesychius, ἄσσιοτα: ἔγγιστα. Αἰσχύλος Ἠδωνοῖς (codex ἠδωνῶν).

63. Schol. Il. 9, 535. sive 539. ed. Bekk. χλούνην οἱ μὲν ἀφριστήν· χλουδεῖν γὰρ τὸ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον· ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων ἰαμβοποιῶν τινὰ φάναι "ἀνὴρ δδ' ἑσπέρης καθεύδοντα ἄπουν ἔδησε χλούνην (ἀπ' οὖν ἔδησε χλοῦνιν Hermannus)" Ξενοφῶντα δὲ γένος τι Ἰνδῶν φάναι τὸν χλούνην εἶναι, καθάπερ καὶ παρ' Αἰσχύλῳ ἐν Ἠδωνοῖς "μακροσκελὴς μὲν ἆρα μὴ χλούνης τις ᾖ." Eustathios p. 772, 53. ὅτι δὲ καὶ ἐκτομίαν ὁ χλούνης δηλοῖ, οὐ μόνον Αἰσχύλος δίδωσι χρῆσιν, ἀλλὰ καὶ Αἰλιανὸς μάλιστα ἐν τοῖς περὶ προνοίας χλούνην λέγων τὸν ἀπόκοπον· καὶ Ἀριστοτέλης δὲ κατὰ τὸν γεωγράφον χλούνην οὖν τὸν τομίαν λέγει. "Eam interpretationem prorsus reiectam narrat ab Aristophane grammatico. Vide Nauck, Aristoph. Byz. fragm. p. 118. 120. In Opusc. 5. p. 13. dixi Aeschylum fortasse scripsisse ΑΓΓ. μακροσκελὴς μέν. ΛΥΚ. ἆρα μὴ χλούνης τις ἦν; ut χλούνης *locustam* significaret. Nam ad Theocriti versum 10, 18: "μάντις τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία," schol. haec annotavit: ἴσως οὖν ὁ Θεόκριτος τὴν ἰσχνὴν εἰπεῖν θέλων καὶ διεφθινηκυῖαν τοῦτο φησίν. ἢ τὴν ἐπιβλαβὲς καὶ χαλεπὸν ὁρῶσαν. Ἀρίσταρχος γὰρ ἐν ὑπομνήματι Λυκούργου Αἰσχύλου τὴν ἀκρίδα φησὶ ταύτην, εἰ προσβλέψει τινὶ τῶν ζῴων, ἐκείνῳ κακὸν γίνεσθαι. ἔστι δὲ χλωρὰ καὶ περιμήκεις τοὺς πόδας ἔχουσα καὶ λεπτούς, καὶ συνεχῶς αὐτοὺς κινοῦσα. et paucis interiectis, ipsa illa vox μακροσκελής, sed perperam μακρόσκελος scripta, de ista bestiola dicta est: ἢ ἡ σὴ ἐρωμένη ἡ ἐοικυῖα τῇ ἀκρίδι τῇ καλαμαίᾳ ὀνομαζομένῃ, τῇ πρὸς μαντείας ἐπιτηδείᾳ, περιβαλεῖται τὸν χρῶτά σου κατὰ τὴν νύκτα· τουτέστιν, ἡ ἰσχνὴ καὶ λεπτὴ καὶ μακροσκελὴς συγκοιμηθήσεταί σοι. Potuit Aristarchi illud ὑπόμνημα Λυκούργου universam tetralogiam complecti, atque, ut in solo Lycurgo constiterit, non potuit etiam eorum aliquid explicari, quae in praegressis legerentur tragoediis. Itaque quod disseruit Aristarchus ad illum ipsum Edonorum versum pertinere, in iis autem quae e libro aliquo Xenophontis (fortasse ex Sillis Xenophanis) scholiasta Homeri affert, scribendum esse γένος τι ἀκρίδων suspicatus sum." HERMANN.

64 a. Longinus 15, 6. καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται·

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη.

Rettulerant hoc fragmentum editores ad Lycurgum: sed de primo accessu Bacchi sermonem esse iam Zoega viderat in Dissert. p. 15. quem secutus est Welckerus in Trilogia p. 322. et in Appendice p. 105 HERMANN.

64 b. Etym. M. p. 191, 5. λέγονται βασσάραι χιτῶνες, οὓς ἐφόρουν αἱ Θρᾴκιαι βάκχαι, καλούμενοι οὕτως ἀπὸ τοῦ βασσαρέως Διονύσου. ἦσαν δέ ποικίλοι καὶ ποδήρεις. Αἰσχύλος ἐν Ἠδωνοῖς

ὅστις χιτῶνας βασσάρας τε Λυδίας
ἔχει ποδήρεις.

ἐκ τοῦ ῥητορικοῦ. Verba καλούμενοι οὕτως et quae post Διονύσου leguntur accesserunt ex cod. Florentino ap. Millerum, *Mélanges de littérature Greeque* p. 62. correcto codicis vitio ἐνηδόνοις.

ΗΛΙΑΔΕΣ.

Dissertatio Hermanni in Opusc. vol. 3. p. 130.

65 a. Philodemus περὶ εὐσεβείας in Gomperzii Stud. Hercul. fasc. 2. p. 22. suppletus ab Nauckio in *Mélanges Gréco-Romains* a. 1864. vol. 2. p. 609. Αἰσχύλος] δ' ἐν Ἡλιά[σι λέγει] Δία καὶ αἰθέ[ρα εἶναι κ]αὶ γῆν καὶ [οὐρανὸ]ν καὶ τὰ πάν[τα καὶ ὑπ]ὲρ τὰ πάν[τα. Aeschyli versus servavit Clemens Alex. Strom. 5. p. 718. ὅ τε Εὐφορίωνος Αἰσχύλος ἐπὶ τοῦ θεοῦ σεμνῶς σφόδρα φησίν

Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανός,
Ζεύς τοι τὰ πάντα χὤτι τῶνδ' ὑπέρτερον.

Quae exscripsit Euseb. Pr. Ev. 13. p. 681 b.

65 b. Schol. Soph. Oed. Col. 1248. τὰ ἀπὸ τῶν ὀρῶν φησι τῶν προσαγορευομένων Ῥιπῶν. τινὲς δὲ οὕτω καλοῦσι, Ῥιπαῖα ὄρη. λέγει δέ αὐτὰ ἐννύχια διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι. μέμνηται δέ Ἀλκμὰν — καὶ ἐν Ἡλιάσιν Αἰσχύλος "Ῥῖπαι μέν δὴ πατρός." Quibus in oris sitos esse montes illos putaverit Aeschylus ex his cognoscimus, quae Plinius H. N. 37, 2, 11. scribit: *Phaethontis fulmine icti sorores, luctu mutatas in arbores populos, lacrimis electrum omnibus annis fundere iuxta Eridanum amnem, quem Padum vocamus electrum appellatum, quoniam sol vocitatus sit* ἠλέκτωρ, *plurimi poetae dixere, primique, ut arbitror, Aeschylus, Philoxenus, Euripides, Satyrus, Nicander.* et infra: *Quod Aeschylus in Iberia, hoc est in Hispania, Eridanum esse dixit, eundemque appellari Rhodanum, Euripides rursus et Apollonius in Adriatico litore confluere Rhodanum et Padum, faciliorem veniam facit ignorati sucini in tanta orbis ignorantia.* Idem fere testatur Appuleius de orthographia ab Ang. Maio editus p. 135. *Eridanus citra diphthongum, fluvius Atticae, nec non Thessaliae. Est item Italiae, qui et Padus: item Hiberiae, auctoribus Aeschylo, Pausania, Euphorione minore.* Patet ex his Eridanum ab Aeschylo Iberiae fluvium, qui alio nomine Rhodanus vocaretur, esse dictum. Longissimum enim tractum terrarum Iberiae appellatio complectebatur: de qua re, ne Cluverium commemorem in Germania antiqua 1, 2., disseruit Ukertus in descriptione orbis antiqui vol. 2, 1. p. 248. HERMANN. Opusc. vol. 3. p. 121. 122. Fabulae Aeschyleae summam ab schol. Hom. Od. 17, 208. tradi coniicit Nauckius, quum scholiastae narratio ab Euripidis Phaethonte discrepet.

66. Athenaeus 11. p. 469 f. ὅτι ὁ ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο ἐπὶ τὴν δύσιν — φησὶν — Αἰσχύλος ἐν Ἡλιάσιν

ἔνθ'
ἐπὶ δυσμαῖσι τεοῦ
πατρὸς Ἡφαιστοτυκὲς
δέπας, ἐν τῷ διαβάλλει
πολὺν οἰδματόεντ' αὐρίδρομον πόρον συθεὶς
μελανίππου προφυγὼν
ἱερᾶς νυκτὸς ἀμολγόν.

V. 2. δυσμαῖσι σοῦ (debebat τεοῦ ut Hermannus) Casaubonus] δυσμαῖς ἴσου 3. Ἡφαιστοτυχὲς (debebat Ἡφαιστοτυκὲς ut Hermannus) Schweighaeuserus] ἡφαιστοτευχὲς 5. οἰδματόεντ' αὐρίδρομον (ἀμφίδρομον Hermannus) πόρον συθεὶς R. Ellis in *The Philological Journal, Cambridge* 1868. fasc. 1. p. 71.] οἰδματόεντα φέρει δρόμου ουθεις (sic codex sine accentu, ex quo Musurus οὐδ' εἷς fecit).

67. Bekk. Anecd. p. 346, 9. Ἀδριαναὶ γυναῖκες. Αἰσχύλος Ἡλιάσιν· "Ἀδριαναί τε γυναῖκες τρόπον ἕξουσι γόων." Erant haec, ut videtur, in eodem chori Ionico carmine hunc in modum scripta:

Ἀδριηναί τε γυναῖκες τρόπον ἕξουσι γόων.

Verisimile est enim Ionica ut poetica forma usum esse Aeschylum, quod fecit etiam Euripides in Hippol. 735. Chorum illa apud Aeschylum dicere, ut consoletur deflentes fratris obitum Heliades, supra monui. Qui sit ille lugendi mos, quem servaturae sint feminae ad Padum, indicant Polybius 2, 16. Scymnus v. 399. Diodorus 5, 23. HERMANN. l. c. p. 138. 139.

68. Athenaeus 10. p. 424 d. τούτῳ ὅμοιόν ἐστι τὸ ἀνιηρέστερον καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου "ἀφθονέστερα λίβα." Epitome ἀφθονέστερον λίβα. Recte Casaubonus ἀφθονεστέραν λίβα. Sic εὐκταίαν λίβα fragm. 52.

ΗΡΑΚΛΕΙΔΑΙ.

69. Stobaeus 122, 2. Αἰσχύλου Ἡρακλειδῶν

οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι.

70. Hesychius, ἀμφιμήτορες: οἱ ἐκ πολλῶν μητέρων γεγονότες ἀδελφοί. Αἰσχύλος Ἡρακλείδαις. Suidas, ἀμφιμήτωρ: ὁ ἑτερομήτωρ. Αἰσχύλος.

71. Hesychius, ἐπιγλωσσῶ: ἐποιωνίζου διὰ γλώττης. Αἰ. Ἡ. ἐπιγλωσσῶ legitur Choeph. 1045.

ΘΑΛΑΜΟΠΟΙΟΙ.

De argumento huius fabulae v. supra p. 100.

72. Pollux 7, 122. καὶ ἐκφάτνωμα (φάτνωμα Hermannus) δὲ καὶ κῦμα μέρη ἔργων ἐν Αἰσχύλου Θαλαμοποιοῖς

ἀλλ' ὁ μέν τις Λέσβιον φατνώματι
κῦμ' ἐν τριγώνοις ἐκπεραινέτω ῥυθμοῖς.

τάχα δὲ καὶ οἱ θαλαμοποιοὶ εἶδος τέχνης. V. 1. ἀλλ' ὁ] ἀλλ' εἶ' ὁ Nauckius Philol. 11. p. 282. 2. ἐκπεραινέτω Kuehnius pro ἐμπεραινέτω.

ΘΕΩΡΟΙ Η ΙΣΘΜΙΑΣΤΑΙ.

Memoratur in Catalogo.

73. Athenaeus 14. p. 629 f. Αἰσχύλος ἐν Θεωροῖς

καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων.

Hesychius, σκωπευμάτων: σχῆμα τῆς χειρὸς πρὸς τὸ μέτωπον τιθεμένης, ὥσπερ ἀποσκοπούντων. Photius p. 527, 6. σκώπευμα: σχῆμα σατυρικόν, ὡς καὶ ὁ σκωπός. οὕτως Αἰσχύλος. Hesychius, ὑπόσκοπον χέρα: Αἰσχύλος. ὥσπερ οἱ ἀποσκοποῦντες οὕτω κελεύει σχηματίσαι τὴν χεῖρα, καθάπερ τοὺς Πᾶνας ποιοῦσι. σχῆμα δέ ἐστιν ὀρχηστικὸν ὁ σκοπός. de quo vid. Salmas. ad Scr. Hist. Aug. vol. 2. p. 836.

74. Hesychius, ἰαμβίς: Αἰσχύλος Θεωροῖς ἢ Ἰσθμιασταῖς. τοῖς καθαρίζουσιν ὁ αὐλὸς συνῄει, καὶ αἱ τοιαῦται κιθαρίσεις ἐλέγοντο παριαμβίδες.

75. Hesychius, ἀποστάς: φυγών. Αἰσχύλος Ἰσθμιασταῖς (codex ἰσθάσταις) καὶ Ἀλκμήνῃ. Alcmena Aeschyli quum nulla fuerit, aut corruptum hoc nomen est aut excidit Euripidis nomen.

76. Photius p. 655, 12. Ψό: ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος· ἔστι δὲ ἀποκομματικοῦ λεξειδίου (ἀπόκομμα Ἀττικοῦ λεξειδίου Bernhardyus, ἀποκομματικὸν λεξείδιον Dobraeus)· ψόθον γὰρ καλοῦσιν. Ἀριστοφάνης (fr. 706) "πλέω γράσου καὶ ψοθοίου καὶ ῥύπου γε καὶ ψόθου." Αἰσχύλος Θεωροῖς. "Lege πλέω γράσου τε καὶ ψόθου· οἷον, καὶ ῥύπου· Αἰσχύλος Θεωροῖς. et intellige quasi statim post ψό sequeretur Αἰσχύλος." DOBRAEUS in indice p. 735. Theognostus in Crameri Anecd. Oxon. vol. 2. p. 53, 28. ubi de nominibus in οιος agit, 'ψοθοιὸς ὁ ἀκάθαρτος.'

ΘΡΗΙΣΣΑΙ.

77. Ὅπλων κρίσιν, Θρῇσσας et Σαλαμινίας una trilogia comprehensas fuisse recte coniecisse videtur Welckerus in libro de Trilogia p. 438. at Hermannus in dissertatione de Aeschyli tragoediis fata Aiacis et Teucri complexis, in Opusc. vol. 7. p. 362—387. "Θρῇσσαι dicta fuit ex choro captivarum mulierum. Testis est scholiastes Sophoclis ad Ai. 134. quum explicans cur Sophocles ex viris Salaminiis chorum fecerit, scripsit: τὸ δὲ τῶν αἰχμαλώτων κηδεμονικὸν μέν, ὡς Αἰσχύλος ἐν Θρῄσσαις, οὐ μὴν εὐπρόσωπον· ὅρα γὰρ οἷον τὸ αἰχμαλώτους ἐπιτιμᾶν τῷ Μενελάῳ. Quorum verborum postrema utrum ad Sophoclei Aiacis v. 1091. 1092. spectent, an Aeschylus id quod vituperat scholiastes fecerit, incertum est: sed tamen, quoniam vix tanti sunt isti duo versus, propter hos ut laudandus esset Sophocles, nescio an Aeschylum notari sit existimandum." HERMANN. l. c. p. 372.

78. Schol. Sophoclis Aiac. 815. μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὐτρεπίσας τὸ ξίφος ῥῆσίν τινα πρὸ τοῦ θανάτου προφέρεται, ἐπεὶ γελοῖον ἦν κωφὸν εἰσελθόντα περιπεσεῖν τῷ ξίφει. ἔστι δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια· εἰώθασι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. τί οὖν τὸ αἴτιον, φθάνει Αἰσχύλος ἐν Θρῄσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας. ἴσως οὖν καινοτομεῖν βουλόμενος (ὁ Σοφοκλῆς) καὶ μὴ κατακολουθεῖν τοῖς ἑτέρου τινὸς ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον· ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος· εἰκῇ γὰρ κατηγορεῖν ἀνδρὸς παλαιοῦ οὐχ ὅσιον. Idem ad 833. παραδεδομένου δὲ καθ' ἱστορίαν ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτός, διὰ τὸ τὸν Ἡρακλέα τῇ λεοντῇ αὐτὸν σκεπάσαντα κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι διὰ τὸν γωρυτὸν ὃν περιέκειτο. φησὶ δὲ περὶ αὐτοῦ Αἰσχύλος ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ. τόξον ὥς τις ἐντείνων, πρὶν δή τις, φησί, παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ. ὁ δὲ Σοφοκλῆς, ἐριθεῦσαι μέν τι ὡς πρεσβυτέρῳ μὴ βουληθείς, οὐ μὴν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησι, πλευρὰν ἀναρρήξαντα τῷδε φασγάνῳ, κατὰ τί τὴν πλευρὰν μὴ εἰπών. "Latere videntur talia fere poetae verba: ἔκαμψε, τόξον ὥς τις ἐντείνων, ξίφος, | πρὶν δὴ παροῦσα δαιμόνων τις εὐφρόνως | ἔδειξεν αὐτῷ." HERMANN. l. c. p. 374.

79. 80. "Non dubito quin ad eandem rem pertineant verba, quae inter alia ex Aeschyli tragoediis decerpta Aristophanes in Ranis v. 1294. posuit, τὸ συγκλινές τ' ἐπ' Αἴαντι, in quibus omissum vulgo τε codices optimi praebuerunt. Scriptum fuisse credo apud Aeschylum "τὸ συγκλινές τ' ἐπ' Αἴαντι ξίφος." Schol. Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δέ φησιν ἐκ Θρησσῶν αὐτὸ εἶναι. Homericus Aiax toto corpore vulnerabilis erat. Schol. ad Iliad. 14, 404. τρωτὸς δὲ ὁ Αἴας ὅλον τὸ σῶμα, οὐχ ὡς Αἰσχύλος τὰ περὶ τὴν μασχάλην. δῆλον δὲ καὶ ἐκ τοῦ ἐπὶ Πατρόκλῳ ἀγῶνος. μονομαχοῦντος γὰρ αὐτοῦ πρὸς Διομήδην φησὶ "καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοί," ὡς δυναμένου τρωθῆναι. τοῦτο δὲ ὑπονοοῦσι διὰ τὸ μηδέποτε παρ' Ὁμήρῳ τετρῶσθαι αὐτόν." HERMANN. l. c.

81. Hesychius, ἀγαῖς (ἄγοις recte Favorinus): ζηλώσεσιν. Αἰσχύλος Θρῄσσαις.

Versus de morte Aiacis ab Clem. Alex. Strom. 2. p. 462. allatos, non Aeschyli esse, quod Heinsius aliique crediderunt, dixi in ed. Clementis Oxon. vol. 2. p. 188.

ΙΕΡΕΙΑΙ.

82. Macrobius Saturnal. 5, 22. *In tertio Aeneidos libro cursim legitur, neque unde translatum sit quaeritur "quae Phoebo pater omnipotens, mihi Phoebus Apollo | praedixit" — Sed affirmo doctissimum vatem etiam in hoc Aeschylum eminentissimum tragoediarum scriptorem secutum, qui in fabula quae Latina lingua* SACERDOTES *inscribitur sic ait*

στέλλειν ὅπως τάχιστα· ταῦτα γὰρ πατὴρ
Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα.

Attulit etiam schol. Soph. Oed. Col. 793. omisso θεσπίσματα.

83. Aristoteles Ethic. Nicom. 3, 2. ὃ δὲ πράττει ἀγνοήσειεν ἄν τις, οἷον λέγοντές φασιν ἐκπεσεῖν αὐτοῖς, ἢ οὐκ εἰδέναι ὅτι ἀπόρρητα ἦν, ὥσπερ Αἰσχύλος τὰ μυστικά. ubi Eustratius p. 40 a. δοκεῖ γὰρ Αἰσχύλος λέγειν μυστικά τινα ἔν τε ταῖς Τοξότισι καὶ Ἱερείαις καὶ ἐν Σισύφῳ πετροκυλιστῇ καὶ ἐν Ἰφιγενείᾳ καὶ ἐν Οἰδίποδι. ἐν γὰρ τούτοις πᾶσι περὶ Δημήτρας λέγων τῶν μυστικωτέρων (μυστικῶν Schneidewinus) περιεργότερον ἅπτεσθαι ἔοικε. λέγει δὲ καὶ περὶ Αἰσχύλου καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ πρώτῳ περὶ Ὁμήρου ὡς κινδυνεύοντος ἐπὶ σκηνῆς ἀναιρεθῆναι ἐπὶ τῷ τῶν μυστικῶν περιφέρειν (προφέρειν Hermannus) τινὰ δοκεῖν, εἰ μὴ προαισθόμενος κατέφυγεν ἐπὶ τὸν τοῦ Διονύσου βωμόν, cet. Aelianus V. H. 5, 19. Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς διακαλυψάμενος τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας, ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ καὶ ἀφῆκαν τὸν Αἰσχύλον. Clemens Alexandr. Strom. 2. p. 461. ὡς Αἰσχύλος τὰ μυστήρια ἐπὶ σκηνῆς ἐξειπὼν ἐν Ἀρείῳ πάγῳ κριθεὶς οὕτως ἀφείθη ἐπιδείξας αὐτὸν μὴ μεμυημένον. Vide Lobeckii Aglaoph. p. 77.

84. Arist. Ran. 1283. (1305 Kust.) ex Aeschylo

εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας
οἴγειν.

ubi scholiasta, ἐξ Ἱερειῶν Αἰσχύλου.

85. Hesychius, Κασωλαβα: οἱ μὲν πόλις, οἱ δὲ κώμη. Αἰσχύλος Ἱερείαις.

ΙΞΙΩΝ.

Argumentum fabulae componi potest ex narratione Diodori 4, 69.

86. Stobaeus 121, 16. Αἰσχύλου Ἰξίονος

βίου πονηροῦ θάνατος εὐκλεέστερος.

Similis versus fr. 395, 1.

87. Hesychius, Ἱερῖτιν (ἱερείτην codex): καθαρμοῦ δεομένην, ἱκέτιν. Αἰσχύλος Ἰξίονι.

88. Schol. Pindari Pyth. 2, 39. τὸν Ἰξίονα οἱ μὲν Ἀντίονος γενεαλογοῦσιν, ὡς Αἰσχύλος. Conf. Diodor. 4, 69.

89. Athenaeus 4. p. 182 c. οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους (αὐλοὺς) καλουμένους. — εἰσὶ δ' οἱ αὐλοὶ οὗτοι ἐλάσσονες τῶν τελείων. Αἰσχύλος γοῦν κατὰ μεταφορὰν ἐν Ἰξίονί φησι

τὸν δ' ἡμίοπον καὶ τὸν ἐλάσσονα
ταχέως ὁ μέγας καταπίνει.

καὶ τὸν ἐλάσσω Porsonus. Haec verba delet Bothius. ἡμίοπον αὐλὸν ex Aeschylo memorat Pollux 6, 161.

90. Epimerismi Homer. in Crameri Anecd. Oxon. vol. 1. p. 62, 12. παρὰ τὸ ἀλαστῶ ῥῆμα ἀλάστωρ ὁ Ζεύς, ἐπὶ τῶν χαλεπόν τι πρασσόντων. παρῆκται δὲ ἡ εὐθεῖα παρὰ τὴν ἀλάστορος γενικήν. Αἰσχύλος Ἰξίονι "πρευμενὴς ἀλάστορος." Aliud ex Aeschylo exemplum attulit grammaticus in Bekk. Anecd. p. 382, 30. ἀλάστορον ἀντὶ τοῦ ἀλάστορα, ἀπὸ τῆς εὐθείας ὁ ἀλάστορος. Αἰσχύλος "μέγαν ἀλάστορον" εἶπεν. His inter se comparatis Nauckius grammatici prioris verba sic redintegranda esse coniecit, Αἰσχύλος Ἰξίονι "μέγαν ἀλάστορον" καὶ ἀλλαχοῦ "πρευμενῶς ἀλάστορον", ex Eumen. 296. δέχου δὲ πρευμενῶς ἀλάστορον", ubi nunc ἀλάστορα legitur, versu proximo ab οὐ incipiente.

[ΙΣΘΜΙΑΣΤΑΙ. V. ΘΕΩΡΟΙ.]

ΙΦΙΓΕΝΕΙΑ.

De profanatis mysteriis fragm. 83.

91. Schol. Soph. Aiac. v. 722. κυδάζεται: λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων. — καὶ Αἰσχύλος ἐν Ἰ.

οὔ τοι γυναιξὶ δεῖ κυδάζεσθαι· τί γάρ;

Exscripsit haec Suidas, apud quem οὔτοι γυναιξὶ κυδάζεται tantum legitur.

92. Aristophanes Ran. 1302. [μοι παῖ.

κύδιστ' Ἀχαιῶν, Ἀτρέως πολυκοίρανε μάνθανε

ubi schol. Ἀρίσταρχος καὶ Ἀπολλώνιος, ἐπισκέψασθε πόθεν εἰσί. Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου, Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.

ΚΑΒΕΙΡΟΙ.

Hanc fabulam eiusdem fuisse trilogiae atque Ὑψιπύλην et Ἀργὼ coniecit Welckerus.

93. Athenaeus 9. p. 373 d. ὄρνιθα ἐπὶ τοῦ ἀρσενικοῦ — Αἰσχύλος Καβείροις

ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ.

94. Schol. Pind. Pyth. 4, 303. πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς ἐς τὸ Ἀργῷον εἰσελθόντας σκάφος, καὶ Αἰσχύλος Καβείροις (sic Meursius pro κιβήραις).

95. Athenaeus 10. p. 428 f. καὶ τὸν Αἰσχύλον ἐγὼ φαίην ἂν τοῦτο διαμαρτάνειν· πρῶτος γὰρ ἐκεῖνος καὶ οὐχ, ὡς ἔνιοί φασιν, Εὐριπίδης παρήγαγε τὴν τῶν μεθυόντων ὄψιν εἰς τραγῳδίαν. ἐν γὰρ τοῖς Καβείροις εἰσάγει τοὺς περὶ τὸν Ἰάσονα μεθύοντας.

96. Pollux 6, 23. οἰνηρός — καὶ Αἰσχύλος

μηδὲ κρωσσοὺς
μήτ' οἰνηροὺς μήθ' ὑδατηροὺς
λείπειν ἀφνεοῖσι δόμοισι.

Phrynichus Bekkeri p. 115. 3. ὑδρηροὺς πίθους καὶ οἰνηρούς: Αἰσχύλος Καβείροις. Plut. Mor. p. 632 f. εἰ τις ἀντιστρέψας αἰτιῷτο τοῖς Αἰσχύλου Καβείρους ὄξους σπανίζειν δῶμα ποιήσαντας, ὥσπερ αὐτοὶ παίζοντες ἠπείλησαν. Vide Lobeck. Aglaoph. p. 1207. V. 1. μηδὲ] Recte, ut videtur, Blomfeldus μηδ' αὖ. Idem v. 3. λείπειν restituit pro λιπεῖν. λήγειν M. Schmidtius in Philologo vol. 18. p. 229.

ΚΑΛΛΙΣΤΩ.

Memoratur in Catalogo.

97. Hesychius, Πονίας βῆσσος: ὡς ἀπὸ τοῦ Πανός. Αἰσχύλος Καλλιστοῖ. Codex ὡς ἐπὶ τοῦ. Photius p. 377, 17. Πανιὰς αἶσα: ἀπὸ τοῦ Πανός.

ΚΑΡΕΣ Η ΕΥΡΩΠΗ.

98. Stobaeus 51, 26. Αἰσχύλου Καρῶν

ἀλλ' Ἄρης φιλεῖ
ἀεὶ τὰ λῷστα πάντα τἀνθρώπων στρατοῦ.

Similia de Marte dicta poetarum collegit Valckenarius Diatrib. Eurip. p. 225. qui iure desideravit infinitivum, qui in vocabulo corrupto τἀνθρώπων latet. Scribendum videtur παντὸς ἀγρεύειν στρατοῦ, vel παντὸς ἀντρέπειν στρατοῦ, quod partim vidit Erfurdtius qaum ad Sophoclis Philoct. 437. p. 223. coniiceret παντὸς ἀνατρέπων, vel simili aliquo modo. Verbo λῃίζεται in sententia simili usus est Sophocles fragm. 649., sed haud dubie ex λωτίζεται (λογίζεται apud Stobaeum corrupto, verbo ἀγρεύειν fragm. 498. πάντ' ἀπανθίζειν στρατοῦ Coningtonus.

99 a. Steph. Byz. p. 461, 16. Μύλασα: πόλις Καρίας, ἀπὸ Μυλάσου — λέγεται καὶ Μύλασος (sic codex Vratisl.: vulgo Μύλας), ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ.

99 b. Steph. Byz. p. 707, 13. Ὤλενος: πόλις Ἀχαΐας καὶ Αἰτωλίας, θηλυκῶς λεγομένη. Αἰσχύλος Καρσὶν (sic Meinekius: γραύσιον vel ταύσιον libri) "τὴν πιεινὴν ζαθέαν (τ' addit cod. Paris.) Ὤλενον."

ΚΕΡΚΥΩΝ.

100. Hesychius, ἄμβωνες: αἱ προσαναβάσεις τῶν ὀρῶν (ω). Αἰσχύλος Κερκύονι (codex κερκύονι) καὶ Σισύφῳ. Erotianus p. 86. (p. 53, 6. ed. Klein.) καὶ γὰρ οἱ Ῥόδιοι ἄμβωνας καλοῦσι τὰς ὀφρυώδεις τῶν ὀρῶν ἀναβάσεις. μέμνηται τῆς λέξεως καὶ Αἰσχύλος.

101. Pollux 10, 175. εἶεν δ' ἂν καὶ ἀμφωτίδες ἐκ τῶν σκευῶν — εἰπόντος — ἐν Κερκύονι Αἰσχύλου

ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας.

Hesychius, ἀμφωτίδες: ἃς ἔχουσιν οἱ παλαισταὶ περὶ τοῖς ὠσίν. Eadem ex Pausania Eustath. p. 1324, 38.

102. Hesychius, ἀπεψύχη: ἀπεπνευματίσθη. Αἰσχύλος Κερκύονι σατυρικῷ.

103. Hesychius, ἀτίσεις: ἀτιμάσεις. Αἰσχύλος Κερκύονι.

104. Hesychius, εὐλημᾶτεῖ: λήματος καὶ ἀνδρείας εὖ ἔχει. Αἰσχύλος Κερκύονι σατυρικῷ et omissis Αἰ. Κ. Photius p. 35, 4.

105. Harpocratio p. 226, 6. ὄρον: σκεῦός τι γεωργικόν — μήποτε μέντοι τὸ ὄρον παρά τε Αἰσχύλῳ ἐν Κερκύονι (codices κεραυνῶνι) καὶ παρὰ Μενάνδρῳ σημαίνει ξύλον τι ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν. Fabulae nomen omisit Epitome cum eaque Suidas et Photius p. 349, 18.

ΚΗΡΥΚΕΣ.

106. Pollux 9, 136. φαῦλον τὸ λογγάζειν ἐν τοῖς Κήρυξι τοῖς Αἰσχύλου. De hoc vocabulo dixi ad Aristophanis fragm. 641. p. 693. ed. Oxon. Photius p. 228, 22. λογγάσω: στραγγεύσομαι· ὃ ἡμεῖς λαγγάσω καὶ λαγγονεύσω λέγομεν. Αἰσχύλος. Quibus quae adduntur δὲ ἐξ ὧν τὰ ἀπόγεια δοῦσιν λογγάσια alius glossae fragmentum sunt, qua de vocabulo λογγῶνες explicatum fuit.

107. Pollux 10, 68. μήποτ' οὖν βέλτιον στενόστομαν αὐτὸ καλεῖν. εἴρηται δὲ τοὔνομα ἐπὶ ἀμφορέως ἐν σατυρικῷ δράματι Κήρυξι τοῖς Αἰσχύλου "στενόστομον τὸ τεῦχος."

108. Pollux 10, 186. φαίης δ' ἂν καὶ σίσυρναν, Αἰσχύλου ἐν Κήρυξι σατύροις λέγοντος "καὶ τῆς σισύρνης τῆς λεοντείας." Alii codices κατὰ pro καὶ et λεοντίας. δορᾶς addebat Toupius Emend. vol. 2. p. 166. comparatis Hesychii et Suidae glossis, λεόντειος δορά et λεοντεία δορά.

109. Antiatt. Bekkeri p. 102, 11. κακοποιεῖν: Αἰσχύλος Κήρυξιν.

110. Idem p. 109, 22. νοσσόν: χωρὶς τοῦ ε Αἰσχύλος Κήρυξιν. νοττία pro νεοττία metri caussa dictum restitui Aristoph. Av. 547.

111. Photius p. 477, 11. πυρσοκόρσου λέοντος: Αἰσχύλος ἐν Κήρυξι σατύροις. Hesychius, πυρσοκόρσου λέοντος: πυρροκεφάλου, ξανθοτρίχου.

ΚΙΡΚΗ.

Κίρκη σατυρικὴ in Catalogo.

112. Hesychius, αὐτόφορβος: αὐτοφάγος. Αἰσχύλος Κίρκῃ.

113. Hesychius, ζυγώσω: δαμάσω, κλείσω, καθέξω. Αἰσχύλος Κίρκῃ σατυρικῇ. Photius p. 55, 8. ζυγώσω: καθέξω, δαμάσω.

ΚΡΗΣΣΑΙ.

114. Athenaeus 2. p. 51 d. μόρα — ἐν δὲ Κρήσσαις (Αἰσχύλου) καὶ τὰ τῆς βάτου

λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις
καὶ μιλτοπρέπτοις βρίθεται ταὐτοῦ χρόνου.

Negligentius haec repetit Eustathius p. 1254, 24. Pollux 6, 46. συκάμινα. ταῦτα δὲ καὶ μόρα Αἰσχύλος ὠνόμακε, τὰ ἄγρια οὕτως ὀνομάσας τὰ ἐκ τῆς βάτου.

115. Hesychius, ἀτόπαστον: ἀνείκαστον. τοπάζειν

γάρ τό εἰκάζειν. καὶ τό ὑποτοπῆσαι δὲ ἐνθένδε λέγεται. Αἰσχύλος Κρήσσαις.

116. Hesychius, ἐπιξενοῦσθαι: μαρτύρεσθαι, πορεύεσθαι. Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ καὶ Αἰ. Κρήσσαις.

117. Hesychius, αὐτορέγμων: ἑαυτῷ ἐργαζόμενος. αὐτορέγμονος πότμου: ὅσον ἑαυτὸν ἔρεζε καὶ κατευθὺς ἑαυτορέγμονος, παρὰ τό ὀρέγειν τὴν χεῖρα. Αἰσχύ-
τ
λος Κρήσσαις (codex κρη). "Legendum — ὅσον ἑαυτόν ἔρεξε καὶ κατέθυσε. ἢ αὐτορέγμονος παρὰ τὸ ὀρέγειν τὴνχεῖρα Manifestum est enimduasgrammaticum proponere vocabuli etymologias, alteram qua ducatur ab αὐτός et ῥέζειν, alteram qua ab ὀρέγειν." L. DINDORF. in Thesauro vol. 3. p. 11.

118. Photius p. 430, 24. πισσοκωνήτῳ πυρί: τῷ εὐκαύτῳ· ἐπεὶ τὰ καιόμενα πίσσῃ χρίεται. Αἰ. Κρήσσαις. Hesychius, πισσοκωνήτῳ πυρί: πίσσῃ χρίουσιν, ἵνα τάχιον καίηται· κωνῆσαι δέ ἐστι τό περιενεγκεῖν. et, κωνῆσαι: πισσοκοπῆσαι, καὶ κύκλῳ περιενεγκεῖν. καὶ πισσοκώνητον μόρον λέγουσιν, ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπό πυρὸς ἀποθάνωσιν. Αἰ. Κρήσσαις καὶ Κρατῖνος. Codex αἰσχύλος καὶ κρατῖνος κρήσαις.

ΛΑΙΟΣ.

Fuit tetralogiae Oedipodeae, de qua sic scriptum est in didascalia tragoediae Ἑπτὰ ἐπὶ Θήβας inscriptae, ἐδιδάχθη ἐπὶ Θεαγενίδου (sic Franzius pro Θεαγένους) ὀλυμπιάδι οη΄. (anno l) ἐνίκα Λαΐῳ, Οἰδίποδι, Ἑπτὰ ἐπὶ Θήβας, Σφιγγὶ σατυρικῇ.

119. Hesychius, ἀράχνου: ἀπὸ εὐθείας ἀράχνης. Αἰσχύλος Λαΐῳ. Genitivus ἀράχνης est in Agam. 1492. κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'. Forma suspecta ἄραχνος in loco aliis vitiis laborante Suppl. 887.

120. Schol. Arist. Vesp. 288. ἐγχυτριεῖς: ἀπό τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς ἀποκτείναι χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ καὶ Αἰσχύλος Λαΐῳ (codex λάξῳ) καὶ Φερεκράτης. "Putandus est autem Aeschylus istud verbum de Oedipo dixisse, quem recens natum exponi iusserit Laius". HERMANN. Opusc. 7. p. 103.

ΛΕΩΝ.

Memoratur haec fabula in Catalogo.

121. Stephanus Byz. p. 699, 13. χώρα: — ὅθεν τό χωρίτης — καὶ Αἰ. ἐν Λέοντι σατυρικῷ

ὁδοιπόρων δήλημα χωρίτης δράκων.

ὁδοιπόρων pro ὁδοιπορῶν Iacobsius.

ΛΗΜΝΙΟΙ.

Vide fragm. 242.

ΛΥΚΟΥΡΓΟΣ.

122. Aristophanes Thesmoph. v. 135.

καί σ', ὦ νεανίσχ', ὅστις εἶ κατ' Αἰσχύλον
ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι.

ubi schol. Ravennas, τὴν τετραλογίαν λέγει Λυκουργίαν (scr. Λυκούργειαν) Ἠδωνούς, Βασσαρίδας, Νεανίσκους, Λυκοῦργον τὸν σατυρικόν. λέγει δὲ ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συλληφθέντα Διόνυσον "ποδαπὸς ὁ γύννις;" Ex his apparet nullam ab Aeschylo editam esse tragoediam Lycurgi nomine inscriptam, sed Λυκούργειαν veteres dixisse tres illas, quas scholiasta nominat, tragoedias, quemadmodum Agamemno Choephoroe et Eumenides Ὀρέστεια appellantur. Dissertationem de Aeschyli Lycurgia scripsit Hermannus in Opusc. vol. 5. p. 3—30.

123. Athenaeus 10. p. 447 c. τόν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν. — μνημονεύει τοῦ πώματος Αἰσχύλος ἐν Λυκούργῳ

κάκ τῶνδ' ἔπινε βρῦτον ἰσχναίνων χρόνῳ,
κἀσεμνοκόμπει τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ.

V. 1. ἔπινε] Codex ἔπινες. Apographum Florentinum ἔπεινε. 2. κἀσεμνοκόμπει Lobeckius ad Phrynich. p. 416. Codex καὶ σεμνοκόπτει. ἀνδρείᾳ στέγῃ pro ἀνδρῶνι dictum accipit Bothius.

124. Schol. Arist. Equit. 1147. Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων "καὶ τούσδε κημοὺς στόματος."

125. 126. Schol. Soph. Oed. Colon. v. 674. ἀνέχουσα: ἄνω ἔχουσα. ὡς ἐν Λυκούργῳ Αἰσχύλος "ἄκουε δ' ἀν' οὖς ἔχων." Suidas, ἀν' οὖς ἔχων: ἀντὶ τοῦ ἄνω τό οὖς ἔχων. Hesychius, ἄνους: ἀξύνετος. ἀνούτατος: ἄτρωτος ἐκ χειρός. Αἰσχύλος Λυκούργῳ. Quae rectum in ordinem redegit Nauckius, ἄνους: ἀξύνετος. ἀν' οὖς ἔχων: ἄνω τὸ οὖς ἔχων. Αἰσχύλος Λυκούργῳ. ἀνούτατος: ἄτρωτος ἐκ χειρός.

[ΛΥΤΡΑ. V. ΦΡΥΓΕΣ.]

ΜΕΜΝΩΝ.

127 a. Memoratur haec tragoedia in Catalogo et apud Pollucem 4, 110. ὁπότε μὴν ἀντὶ τετάρτου ὑποκριτοῦ δέοι τινὰ τῶν χορευτῶν εἰπεῖν ἐν ᾠδῇ, παρασκήνιον καλεῖται τὸ πρᾶγμα, ὡς ἐν Ἀγαμέμνονι Αἰσχύλου· εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ὀνομάζεται, καὶ πεπρᾶχθαί φασιν αὐτὸ ἐν Μέμνονι Αἰσχύλου. In Agamemnone nihil est quo referri possit alterutra Pollucis observatio: unde alii alia coniecerunt, quae videre licet apud Hermannum Opusc. vol. 7. p. 146. Mihi, sublata dittographia, delenda videntur illa ὡς ἐν Ἀγαμέμνονι Αἰσχύλου.

Memnonem ab Aeschylo in scenam productum memorat Euripides apud Aristophanem Ran. 963. οὐδ' ἐξέπληττον αὐτοὺς | Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους. De argumento fabulae coniectura fieri potest ex narratione Procli Chrestom. p. 458. ed. Gaisf. sec. De morte Memnonis egisse Ψυχοστασίαν coniecit Hermannus, qui huc rettulit fragmenta 279. 304. 315.

Ad hanc fabulam probabiliter relata sunt fragmenta quattuor ex Agamemnone allata, in qua fabula non leguntur.

127 b. Eust. Il. p. 1156, 18. τὴν ἐκεῖθεν πνοὴν ἄρκιον, εἰς ὃ φέρει ἐκεῖνος (grammaticus ignotus) χρῆσιν ταύτην

καὶ μὴν πελάζει καὶ καταψύχει πνοὴ
ἄρκειος ὣς ναύταισιν ἀσκεύοις μολών.

Anecd. Bekk. p. 415, 18. καὶ τὴν πνοὴν ἄρκιον "καὶ μὴν — πνοὴ ἄρκιος." quae Aeschyli verba esse Bergkius collegit ex gl. Hesychii, ἀσκεύοις: ψιλοῖς, ἀπαρασκεύοις. Αἰσχύλος Ἀγαμέμνονι, ubi Μέμνονι correxit.

V. 2. ἄρκειος pro ἄρκιος Lobeckius. ὣς pro ὡς Bergkius et ναύταισιν pro ναύτησιν Nauckius.

127 c. Anecd. Bekk. p. 353, 11. ἀθηρής: ἴσως μὲν ὁ ἀτειρής (ἀτηρὴς codex), ἢ ὁ ἀντερειστικός. Αἰσχύλος Ἀγαμέμνονι (Μέμνονι Wellauerus)

χαλκὸν ἀθέριτον ἀσπίδος ὑπερτενῆ.

(ἀθέριστον ἀσπίδων Blomfieldus Praef. ad Agam. p. X.) ἢ ὁ λαμπρός, ὁ διὰ λαμπρότητα ἀθρούμενος, ἢ ὁ ἀθερίζων καὶ οὐδενὸς ἔχων λόγον διὰ σκληρότητα· ἢ ὁ ὀξὺς παρὰ τοὺς ἀθέρας. Hesychius, ἀθερής: ὁ σίδηρος, ἀτειρής (ἀτηρὴς codex), ὅταν θερίζῃ. ἢ θεριστικός, ἢ ὁ διὰ λαμπρότητα ἀθρούμενος, ὀξύς, ἢ ἀσταχύων.

127 d. Epimerismi Homerici in Crameri Anecd. Oxon. vol. 1. p. 122, 6. δουρί: πέντε ἔχει δοτικάς, δούρατι δουρὶ δόρει δόρατι δορὶ — ἢ δόρει παρ' Αἰσχύλῳ ἐν Ἀγαμέμνονι (Μέμνονι Lehrsius) "σὺν δόρει στρατόν". Tragicos in senariis solo videri usos esse forma δόρει, δορὶ autem, quod ubique fere intulerunt librarii, non dixisse nisi postulante metro, ostendi in annotatione ad Soph. Aiac. 1056.

127 e. Hesychius, γονίας: εὐχερής. Αἰσχύλος Ἀγαμέμνονι (Μέμνονι Wagnerus).

ΜΥΡΜΙΔΟΝΕΣ.

"Myrmidones Aeschyli et Nereides et Phryges una trilogia comprehensas fuisse continuitas argumenti

credere iubet. [Et viderat Welckerus in libro de Trilogia p. 416.] Praeivit Aeschylo Homerus, Aeschylus Attio, qui nisi totam trilogiam, certe duas priores tragoedias videtur Latinas fecisse. Hinc in illa Graeci poetae fragmentorum paucitate aliquid ad divinandam inventionem fragmenta conferunt Attli. In Myrmidonibus, quantum colligi potest, Achilles quum precibus et necessitate victus tandem Patroclum in proelium ire passus esset, isque esset ab Hectore occisus, mortuum deflebat. Nereides pugnam Achillis, qui nova a matre arma accepisset, necemque Hectoris videntur continuisse. In Phrygibus Priamus corpus filii ab Achille redemit." HERMANN. Opusc. vol. 5. p. 136. Respicit ad hanc fabulam Ar. Ran. 1040. ὅθεν ἡμὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποίησεν | Πατρόκλων, Τεύκρων —. et schol. Hom. Il. 16, 380. ubi per errorem Ἀχιλλέα pro Ἕκτορα scriptum esse monet Hermannus.

128. Harpocratio p. 259, 11. προπεπωκότες: ἀντὶ τοῦ προδεδωκότες· ἐκ μεταφορᾶς δὲ λέγεται. — ἐν ἀρχῇ δέ τῶν Μυρμιδόνων Αἰσχύλος

τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ,
δοριλυμάντους Δαναῶν μόχθους,
οὓς * * εἴσω κλισίας.

Primum versum attulit Arist. Ran. 1023. ubi schol. ἔστι δὲ ἀρχὴ Μυρμιδόνων Αἰσχύλου. 3. σὺ προπίνεις supplet Blomfieldus in Praef. ad Persas p. XIV. προπεπωκὼς Heathius, quod verum haberi potest, si in initio versus proximi secunda verbi alicuius persona lecta fuisse credatur, velut θάσσεις. Ad hanc fabulam Aristophanis locum in Ranis v. 942. male rettulit scholiasta, cuius verba infra ad Phryges apponentur.

129. Aristophanes Avium v. 808. ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον, | τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς. ubi schol. Αἰσχύλον: ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν,

ὧδ' ἐστὶ μύθων τῶν Λιβυστικῶν κλέος,
πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν ἀετὸν
εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος,
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
ἁλισκόμεσθα.

πεποίηκε γὰρ ὁ Αἰσχύλος ἀετόν τρωννύμενον καὶ λέγοντα ταῦτα, ἐπειδὴ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἐμπεπαρμένον αὐτῷ, καὶ ἡμεῖς οὖν, φησίν, οὐχ ὑπ' ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ ἑαυτῶν γνώμῃ. τοῖς αὑτῶν πτεροῖς: ὅλον τοῦτο ἐκ Μυρμιδόνων Αἰσχύλου. Scholiastam exscripsit Suidas s. v. ταυτὶ μέν, et, omisso primo versu Aeschyli, s. v. οὐχ ὑπ' ἄλλων. V. 1. ὧδ'] Apud schol. ὡς δέ, apud Suidam ὅδ'. In fine versus uterque λόγος. Restitui ὧδ' et κλέος ex Aphthonio in Walzii Rhet. vol. 2. p. 12. et Diogeniano Proverb. Praefat. p. 180. ed. Schneidew. 2. ἀετόν] αἰετόν libri. Postrema verba τάδ' — αὑτῶν πτεροῖς in proverbium abierunt, quo plures scriptores utuntur, quorum locos Casaubonus ad Athen. 11. p. 494 b. Porsonus ad Euripidis Medeam 139. VIII. et Nauckius indicarunt (Dionys. Hal. de admir. vi Demosth. c. 7. vol. 6. p. 971. Philo Iud. vol. 2. p. 501. Eustath. Il. p. 632, 35. Suidas s. v. πάγας et schol. Byzant. Aeschyli Agam. 822. p. 509. ed. Oxon. et qui ad hoc proverbium alludunt, Gregor. Nys. Epist. 1. in Gallandi Bibl. Patr. vol. 6. p. 626 c. Procopius Gaz. Epist. 62. in Maii Class. Auct. vol. 4. p. 246. Aristides vol. 2. p. 624. ed. Dind. Theodoretus Hist. eccl. 3, 4. vol. 3. p. 921. Georg. Pachym. p. 104. schol. Luciani Hermot. c. 54. Zachar. Mityl. p. 139. Heliodorus 2, 33. Vita Maximi Conf. vol. 1. p. XVIII.) Aristidem vol. 2. p. 15, 16. ed. Jebb. memoravit Stanleius. Adde Galen. vol. 1. p. 280. ed. Bas. 5. p. 144. ed. Chart.

130. Anecd. Bekk. p. 321, 19. et Suidas, ἀβδέλυκτα: ἀμύσακτα, ἀμίαντα, τὰ μὴ μιαίνοντα, ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυσχεράνειε. τραγικωτέρα δὲ ἡ λέξις. Αἰσχύλος Μυρμιδόσι (Μυρμιδόσι om. Anecd. Bekk.)

καὶ μὴν φιλῶ γε κἀβδέλυκτ' ἐμοὶ τάδε.

Similiter Zonaras Lex. p. 9. ubi poetae fabulaeque nomen omissum est, sicut in Crameri Anecd. Paris. vol. 4. p. 85, 23. Codicis sui et Suidae scripturam γὰρ ἀβδέλυκτ' ἐμοὶ correxit Bekkerus. ἀβδέλυκτά μοι Anecd. Paris.

131. Aristophanes Ranar. v. 1295.

Φθιῶτ' Ἀχιλλεῦ, τί ποτ' ἀνδροδάϊκτον ἀκούων,
ἰή,
κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

ubi schol., τοῦτο μὲν ἀπό τῶν πρέσβεων πρὸς Ἀχιλλέα Αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ Μυρμιδόνων. προφέρει καὶ Εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ ἄλλων δραμάτων συναγαγών. διό καὶ ἀσαφῆ μίαν ἁρμονίαν οὐκ ἔχοντα. οὐκ ἄρα τὰ μὴ ξυνετὰ ζητητέον. Et ad v. 1297. προφέρει δὲ οὐκ ἐφεξῆς τὰ αὐτὰ μέλη αὐτοῦ, ἀλλ' ὡς ἔτυχεν ἄλλο ἄλλοθεν, καὶ ἐπιλέγει τό ἰήκοπον, κυρίως ἐκείνων τῶν ἰαμβείων ὄν, τοῦ "Φθιῶτ' Ἀχιλλεῦ." Et ad v. 1275. (similiter Suidas s. v. ἰή) ὡς ἐφυμνίῳ δὲ κέχρηται τῷ "ἰήκοπον οὐ πελάθεις" (ἐπ' ἀρωγάν addit Suidas). Verbis Φθιῶτ' Ἀχιλλεῦ ad Cinesiam irridendum usum esse Strattin testatur Athenaeus 12. p. 551 d. caussa addita parum probabili, διὰ τό ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ "Φθιῶτα" λέγειν. V. 2. ἰὴ κόπον pro ἰήκοπον Heathius.

132. Aristophanes Ranar. v. 1447.

βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.

ubi schol., ἐκ Μυρμιδόνων. πεποίηκε γὰρ αὐτοὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέγειν· β', δ', γ', ε'. τοῦτο δὲ λέγει ὁ Διόνυσος, δεικνὺς ὡς Αἰσχύλος νενίκηκε. Ex alius scholiastae annotatione intelligitur alios hunc versum ex Euripidis Telepho, alios aliunde sumptum credidisse.

133. Aristophanes Ecclesiaz. v. 392.

Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τριωβόλου
τὸν ζῶντα μᾶλλον· τἀμὰ γὰρ διοίχεται.

ubi schol. et Suidas s. v. ἀποίμωξον, παρὰ τὰ ἐξ Αἰσχύλου Μυρμιδόνων

Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον.

"Verba esse Achillis respondentis Antilocho, qui primus ei Patrocli interfecti nuntium attulerat, ut etiam ap. Homer. Il. 18, 18. monuit Porson. ad Med. Eurip. v. 750." BUTLER.

134. 135. Athenaeus 13. p. 602 e. παρὰ δὲ Σπαρτιάταις — πρὸ τῶν γάμων ταῖς παρθένοις ὡς παιδικοῖς νόμος ἐστὶν ὁμιλεῖν. — Αἰσχύλος Μυρμιδόσι

σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπῃδέσω,
ὦ δυσχάριστε, τῶν πυκνῶν φιλημάτων.

Plut. Mor. p. 751 c. πρόσλαβε δὲ τῷ Σόλωνι καὶ τὸν Αἰσχύλον λέγοντα "σέβας δὲ μηρῶν οὐ κατῃδέσω, ὦ δυσχάριστε τῶν πικρῶν φιλημάτων." Alterum versum ἀνωνύμως attulit idem p. 61 a. Achillis ad Patrocli cadaver verba esse vidit Porsonus ad Eur. Med. 750. et recte eo rettulisse videtur versum ab Luciano Amor. c. 54. vol. 2. p. 457. allatum, στένων γοῦν Ἀχιλλεὺς τὸν Πατρόκλου θάνατον ἀταμιεύτῳ πάθει πρὸς τὴν ἀλήθειαν ἀπερράγη,

μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία.

ubi quod post ὁμιλία in libris additur καλλίων vel καλλίω nihil aliud esse videtur quam κλαίων, ut corrigebat Dobraeus in Appendice ad Aristoph. p. (129). Ad Achillis et Patrocli amorem in hac fabula descriptum spectat Athenaei locus 13. p. 601 a. καὶ Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὁ μέν τόν Ἀχιλλέως πρός Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ τόν τῶν παίδων. Plato in Convivio p. 180 a. Αἰσχύλος δὲ φλυαρεῖ φάσκων Ἀχιλλέα Πατρόκλου ἐρᾶν, ὃς ἦν καλλίων οὐ μόνον Πατρόκλου, ἀλλὰ καὶ τῶν ἡρώων ἁπάντων καὶ ἔτι ἀγένειος, ἔπειτα νεώτερος πολὺ, ὥς φησιν Ὅμηρος.

136. Schol. Ar. Av. 1256. (ex eoque Suidas s. v. τριέμβολον) τριέμβολον: πολλάκις ἐμβαλεῖν δυνάμενον. μήποτε δὲ καὶ πλοίου τις ἦν κατασκευή. καὶ γὰρ δεκέμβολον Αἰσχύλος εἶπε τὴν τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσιν.

137. Schol. Ar. Pac. 1177. ὥσπερ ξουθὸς ἱππαλεκτρυών: ὡς φοινικᾶ πτερὰ ἔχοντα δηλοῖ. ὅτι τοῦ παρ' Αἰσχύλῳ πολλάκις κληθέντος ἱππαλεκτρυόνος, ὃν ἀεὶ κωμῳδοῦσιν, ἐν Μυρμιδόσι μέμνηται. Ἄλλως. ὁ Αἰσχύλος "ἀπὸ δ' αὖτε ξουθὸς ἱππαλεκτρυὼν στάζει κηρόθεν τῶν (apud Bekker. κηρ. θέντων) φαρμάκων πολὺς πόνος." Quae Hermannus sic corrigit,

ἀπὸ δ' αὖτε ξουθὸς ἱππαλεκτρυὼν
στάζει, κριθέντων φαρμάκων πολὺς πόνος.

Ar. Av. 800. κἄστι νυνὶ ξουθὸς ἱππαλεκτρυών. ubi schol. παρὰ τὰ γραφέντα ἐκ Μυρμιδόνων Αἰσχύλου. Ar. Ran. 937. ΑΙΣΧ. σὺ δ', ὦ θεοῖσιν ἐχθρέ, ποῖ' ἅττ' ἐστὶν ἅττ' ἐποίεις; | ΕΥΡ. οὐχ ἱππαλεκτρυόνας μὰ Δί' οὐδὲ τραγελάφους ἅπερ σύ, | ἃν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γράφουσιν. Ibid. 959. (910.) "ΔΙΟΝ. νὴ τοὺς θεούς, ἐγὼ γοῦν | ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα | τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν τίς ἐστιν ὄρνις. | ΑΙΣΧ. σημεῖον ἐν ταῖς ναυσίν, ὦ 'μαθέστατ', ἐνεγέγραπτο. ubi schol. eod. Rav. ad v. 963. προείρηται (in scholiis ad Pacem vel Aves) ὅτι ἐκ τῶν Μυρμιδόνων ἐστὶν ἐπὶ νεὼς "ἐπὶ δ' αἰετὸς ξουθὸς ἱππαλεκτρυών."

138. Hesychius, ἀγρέμονα (ἄγρεμον codex); τὸν κάμακα, ἀπὸ τοῦ αἱρεῖν (ἀγρεῖν Nauckius) καὶ λαμβάνειν, ἤγουν ἀγρεύειν. ἢ λαμπάδα, ἢ δόρυ. Αἰσχύλος δὲ ἐν Μυρμιδόσιν ἀγρέμονα τὸν ἐπιμήνιον.

139. Hesychius, κουράς: ἡ ἐν τοῖς ὀροφήμασι γραφή, ὀροφικὸς πίναξ. παρὰ δὲ Αἰσχύλῳ ἐν Μυρμιδόσιν ἀμφιβάλλει (ἀμφιβάλλεται Hermann. Opusc. vol. 5. p. 145.) ἐγκουράδι. ἔστι δὲ ἐγκουρὰς ὀροφικὸς πίναξ. Idem, ἐγκουράδες: τὰ ἐν τῷ προσώπῳ στίγματα, καὶ οἱ ἐν ταῖς ὀροφαῖς γραφικοὶ προσώπων (hoc vocabulum ex praecedente προσώπῳ ortum recte delet L. Dindorfius in Thesauro vol. 3. p. 101.) πίνακες. ἔστι γὰρ κουρὰς ἡ κορυφὴ (ὀροφὴ Struvius in Supplementis Schneideri p. 117.) καὶ ὁ γραπτὸς πίναξ, ἐγκουρὰς δὲ γεγραμμένος. Αἰσχύλος Μυρμιδόσιν. Postrema Lobeckius Pathol. p. 451. sic corrigit, ἔστι γὰρ κουρὰς ἡ κορυφὴ καὶ ἐγκουρὰς ὁ ἐγγεγραμμένος. Quod de Aeschylo dicit Hesychius, sic est intelligendum, dubitari utrum ἐγκουράδι an ἐν κουράδι scripserit poeta.

140. Schol. Ar. Av. 1420. πτερῶν πτερῶν δεῖ: παρὰ τὸ Αἰσχύλου ἐκ Μυρμιδόνων "ὅπλων ὅπλων δεῖ."

ΜΥΣΟΙ.

141. Strabo 13. p. 616. ῥεῖ δ' ἐκ τοῦ Τήμνου ποταμὸς Μύσιος ἐμβάλλων εἰς τὸν Κάϊκον ὑπὸ ταῖς πηγαῖς αὐτοῦ· ἀφ' οὗ δέχονταί τινες εἰπεῖν Αἰσχύλον κατὰ τὴν εἰσβολὴν τοῦ ἐν Μυρμιδόσι (recte Pauwius Μυσοῖς) προλόγου

ἰὼ Κάϊκε Μύσιαί τ' ἐπιρροαί.

Macrobius Saturnal. 5, 20, 16. *hoc in loco ad fidem sensui faciendam, quod uliginosa sint non tantum Gargara pro vicinia montis, sed et universa Mysiae arva, adhiberi potest testis Aeschylus*, ἰὼ Κάϊκε Μύσιαί τ' ἐπιρροαί. Myrmidones, quam fabulam ab anapaestis incepisse supra vidimus, Strabo memoriae errore nominasse videtur. εἰσβολὴ de primo fabulae versu dictum similiter ap. schol. Ar. Ran. 1. et Thesm. 1065.

142. Photius p. 344, 19. et Suidas, Ὀργεῶνες: — ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτως καλοῦσιν. — Αἰσχύλος ἐν Μυσοῖς, τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων,

ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών·
εὐχαῖς δὲ σώζοις δεσπότας παιωνίαις.

V. 2. σώζοις] σώσεις vel δώσεις et δώσοις Suidae codices. Ad hunc locum spectat etiam Harpocratio s. v. ὀργεῶνες.

143. Stephanus Byz. p. 487, 5. Οἶος: πολίχνιον Τεγέας. Αἰσχύλος Μυσοῖς.

144. Aristoteles Poetic. c. 24. ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ Πύθια ἀπαγγέλλοντες ἢ ἐν Μυσοῖς ὁ ἄφωνος (Τήλεφος, ut monet Tyrwhittus collato Athenaeo 6. p. 224 c. 10. p. 421 d. Hygino Fab. 244. Tzetza ad Lycophr. 206.) ἐκ Τεγέας εἰς τὴν Μυσίαν ἥκων.

ΝΕΑΝΙΣΚΟΙ.

Fuit tetralogiae Lycurgeae: vide ad Lycurgum.

145. Athenaeus 11. p. 503 c. Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαί φησι ψυκτῆρας καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι. Αἰσχύλος Νεανίσκοις

σαύρας ὑποσκίοισιν ἐν ψυκτηρίοις.

σαύρας] αὔρας Valckenarius ad Hippolytum 199.

146. Hesychius, ἀρείφατον λῆμα: ἰσχυρόν, ἀντὶ τοῦ Ἄρει ἐοικός. Αἰσχύλος Νεανίσκοις. In Etym. M. p. 139, 21. ubi ἀρείφατος explicatur ἐν πολέμοις φονευόμενος, codex Flor. ap. Miller. *Mélanges* p. 41. addit ἔχομεν δὲ τὴν χρῆσιν παρ' Αἰσχύλῳ ἐν Νεανίσκοις. quibus quae adiuncta sunt καὶ καρτερικὸς καὶ πολεμικὸς ἀρείφατος, nihil aliud sunt quam explicationes vocabuli ἀρείφατος, ut in praecedentibus Etym. verbis ἀρειμάνιος et ἀρείφατος per πολεμικός explicatur.

147. Hesychius, ἀφοίβαντον: ἀκάθαρτον. Αἰσχύλος Νεανίσκοις.

148. Photius p. 326, 15. Ὀκτώπαν ποταμὸν Αἰσχύλος διαπέπλακεν ἐν (codex διαπέπλευκε, quod correxit Cobetus Var. Lect. p. 121.) Νεανίσκοις. Hesychius, Ὀκτώπας ποταμός.

ΝΕΜΕΑ.

149. Nomen huius fabulae legitur in Catalogo. Ad eam haud dubie referendum quod scholiasta Pindari in praefatione Nemeorum de institutione istorum ludorum scripsit: ἄλλοι δέ, ὧν ἐστι καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ τῷ Νεμέας παιδί. Monuit Hermannus Opusc. vol. 7. p. 205. Conf. Apollodori narratio 3, 6, 4.

ΝΗΡΗΙΔΕΣ.

Hermanni dissertatio in Opusc. vol. 5. p. 149.

Videtur secunda fuisse fabula trilogiae de qua dictum ad Myrmidones.

150. Schol. Eur. Phoen. 209. vol. 3. p. 97, 11. Αἰσχύλος Νηρεῖσι

δελφινοφόρον πόντου πεδίον
διαμειψάμεναι.

Sunt chori Nereidum verba.

151. Schol. Pindari Nem. 6, 85. δίκρουν γὰρ ὥστε δύο ἀκμὰς ἔχειν, καὶ μιᾷ βολῇ ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρεῖσι "κάμακος εἶσι κάμακος γλώσσημα διπλάσιον." Aeschyli versus videtur fuisse "κάμακος δ' εἶσι γλώσσημα διπλοῦν." vel δίκρουν, quod coniecit Iacobs. in Diar. Halens. a. 1822. vol. 1. p. 567.

152. Hesychius, ἐναραφόρος: σκυλοφόρος. ἐναροκτάντας δὲ φθογγ . . . κότος ὑψοῦ τέλος ἀθανάτων ἀπολέψει (ἀπολείψει recte Musurus) Αἰσχύλος ἐν Νηρεῖσιν, οἱ ὑπομνηματισταὶ παρὰ τὸ (Odyss. 22, 412.) "οὐχ ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι·" ἵνα ᾖ ὁ νοῦς, ὁ δὲ ἐναροκτάντας θάνατόν (scr. θάνατος) μὴ (in μοι mutavit Musurus) ἐπικαυχώμενος τὸ ἐκ τῶν θεῶν τέλος ὑψοῦ ἀπολείψει, τὰ τῶν ἀθανάτων ὕψη, καὶ ἐπὶ τοὺς ἐχθροὺς ἥξει. Eust. p. 437, 20. ἐκ τοῦ ἐναίρειν καὶ κτείνειν ἐναροκτάντας ὁ θάνατος. Verbis corruptis, quae inter ἐναροκτάντας δὲ et ὑψοῦ leguntur, sententiam tolerabilem restituit Hermannus, ἐναροκτάντας δὲ φθόνος αὐχαῖς | ἔγκοτος ὑψοῦ | τέλος ἀθανάτων ἀπολείψει, | ἥξει τ' ἐχθρούς.

153. Hesychius, ἀθήρ· ἐπιδορατίς. Αἰσχύλος Νηρεῖσι (codex νηρεῖ). Anecd. Bekk. p. 353, 16. ἀθήρ: ἀκμὴ τοῦ ἠκονημένου σιδήρου, κατὰ μεταφορὰν ἀπὸ τοῦ ἀθέρος, ὅς ἐστι τοῦ ἀστάχυος. λέγεται δὲ καὶ ἡ ἐπιδορατὶς ἀθήρ.

NIOBH.

Dissertatio Hermanni in Opusc. vol. 3. p. 37. De loco Aristot. Poet. c. 18. dixit idem vol. 7. p. 358. et in dissert. qua demonstratur non videri Aeschylum Ἰλίου πέρσιν scripsisse p. 6. seqq. De mytho vid. Hyginus fab. 9. Apollod. 3, 5, 6. schol. Il. 24, 602. Ovid. Metam. 6, 146 seqq. De numero Niobidarum dicetur ad fragm. 163.

154. Aeschyli Niobam memorat Ar. Ran. 912. quem locum apponemus ad Φρύγας ἢ Ἕκτορος λύτρα. Oeagrum, histrionem tragicum, qui Niobam egerit, memorat idem Vesp. 579. κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει πρὶν ἂν ἡμῖν | ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας. ubi schol. ὅτι τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος εἴρηται πρότερον· ὡς θαυμάζων δὲ αὐτόν φησιν ὅτι κἂν ἐκεῖνος ὁ μέγας καταδικασθῇ· ἐκ τῆς Νιόβης δέ· καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην ἢ Σοφοκλέους ἢ Αἰσχύλου. Disertius schol. ad v. 564. ed. mese, Αἰσχύλου δὲ ἦν ὑποκριτής.

155. Strabo 12. p. 580. Αἰσχύλος δὲ συγχεῖ ἐν τῇ Νιόβῃ· φησὶ γὰρ ἐκείνη μνησθήσεσθαι τῶν περὶ Τάνταλον "οἷς ἐν Ἰδαίῳ πάγῳ | Διὸς πατρῴου βωμός ἐστι." καὶ πάλιν "Σίπυλον Ἰδαίαν ἀνά (ἀνά in fine trimetri positum fuit, nisi delendum sit cum Bothio) καὶ ὁ Τάνταλος λέγει

σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδόν,
Βερέκυντα χῶρον, ἔνθ' Ἀδραστείας ἕδος
Ἴδη τε μυκηθμοῖσι καὶ βρυχήμασιν
πρέπουσι μήλων πᾶν τ' Ἐρέχθειον πέδον.

V. 3. Ἴδη Hermannus] Ἴδης libri. 4. πρέπουσι pro ἕρπουσι H. L. Ahrensius. τ' Meinekius pro δ', quod libri duo omittunt. Ἐρέχθειον idem Vindic. Strabon. p. 199. Libri ἐρέχθει, ὀρεχθεῖ, ἐρέχθεον.

Primum locum attulit Plato Reipubl. 3. p. 391 e. πᾶς γὰρ ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι, πεισθεὶς ὡς ἄρα τοιαῦτα πράττουσί τε καὶ ἔπραττον καὶ

οἱ θεῶν ἀγχίσποροι
οἱ Ζηνὸς ἐγγύς, ὧν κατ' Ἰδαῖον πάγον
Διὸς πατρῴου βωμός ἐστ' ἐν αἰθέρι,
κοὔπω (libri καὶ οὔπω) σφιν ἐξίτηλον αἷμα δαιμόνων.

Lucianus Enc. Dem. c. 13. vol. 3. p. 501. μανίᾳ σώφρονι τῶν ψυχῶν, ὅσαι Ζηνὸς ἐγγὺς καὶ θεῶν ἀγχίσποροι, φησὶν ὁ τραγικός. Photius Lex. p. 6, 7. et Anecd. Bekk. p. 322, 25. ἀγχίσποροι: ἐγγὺς γένους ὄντες (ὄντες om. Photius). Synesius Dionis p. 51 c. προέδοσαν γὰρ αὐτὰς ἄνδρες ἀγχίσποροι τῶν θεῶν, similiterque Damascius ap. Phot. Bibl. p. 336, 19. 350, 9. 338, 16., Suidas s. v. ἀγχίσπορος et πολυήκοος. Plut. Mor. p. 603 a. τί γὰρ ἡ πλατεῖα χώρα πρὸς τὸν ἄλυπον βίον; οὐκ ἀκούεις τοῦ Ταντάλου λέγοντος ἐν τῇ τραγῳδίᾳ "σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδόν, βερέκυντα (βερέκυνθα libri) χῶρον." (haec verba anonymως attulit etiam p. 778 b) εἶτα μετ' ὀλίγον λέγοντος

οὑμὸς δὲ δαίμων οὐρανῷ κυρῶν ἄνω
ἔραζε πίπτει καί με προσφωνεῖ τάδε,
γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν.

Ita enim Porsonus in Miscell. p. 312. librorum scripturam correxit θυμὸς δὲ ποθ' ὁμὸς οὐρανῷ —.

156. Stobaeus 118, 1. Αἰσχύλου Νιόβης

μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ,
οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων ἄνοις,
οὐδ' ἔστι βωμὸς οὐδὲ παιωνίζεται.
μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ.

Primum versum affert Ar. Ran. 1392. ubi schol. recens (ad v. 1386) τὸ δ' ἑξῆς ἐκ Νιόβης Αἰσχύλου, et sine fabulae nomine schol. Soph. El. 139. et Suidas s. v. θανατῶν, s. v. μόνος θεῶν, s. v. πάγκοινος, et omisso poetae fabulaeque nomine schol. Eur. Alc. 55. tres primos versus schol. Il. 9, 158. (Eust. p. 744, 2.) V. 1. θεῶν γὰρ] γὰρ θεῶν schol. Soph. et schol. Eur. θεῶν γε Suidas s. v. πάγκοινος. θεῶν (omisso γάρ) Suidas s. v. μόνος θεῶν et Eust. 2. οὐδ' — οὐδ' schol. Il. et Eust. οὔτ' — οὔτ' Stobaeus. ἄνοις Dobraeus. ναοῖς Stobaeus. λάβοις schol. Il. et Eust. Anecd. Bekk. p. 406, 9. ἄνοις: ἀντὶ τοῦ ἀνύσαις. Φρύνιχος, quem locum attulit Nauckius, Phrynichum grammaticum intelligens. 3. οὐδ' ἔστι βωμός schol. Il. et Eust. οὐ βωμός ἐστιν Stobaeus. Primo versui apud schol. Soph. et Suidam subiiciuntur verba μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος, quae unde sumta sint nescitur.

157. Aristophanes Avium v. 1246.

ἆρ' οἶσθ' ὅτι Ζεύς εἴ με λυπήσει πέρα,
μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος
καταιθαλώσω πυρφόροισιν αἰετοῖς;

ubi schol. corrupte, καὶ δόμους Ἀμφίονος: ἐκ Νιόβης Αἰσχύλου. ἐξέρριπται δὲ τ' Ἀμφίονος (ἐνέρραπται δὲ τὸ Ἀμφίονος Hermannus) ἐκ μονῳδίας.

158. Hesychius, ἐπῴζειν: ἐπικαθῆσθαι τοῖς ᾠοῖς. Αἰσχύλος Νιόβῃ μεταφορικῶς "ἐφημένη τάφον τέκνοις ἐπῳζε τοῖς τεθνηκόσιν." "Ineptit grammaticus; nam matrem sepulcro filiorum defixam cum gallina ovis insidente comparare neque Aeschylus neque alius poeta unquam potuit. Legendum ἐπῷζε, *lamentabatur*. Verbum ἐποίζω cognato δυσοίζω facile munitur." NAUCK. de Aristoph. Byz. p. 162. De Niobe sepulcro liberorum assidente vide quae infra ad Phryges afferentur et schol. Promethei v. 433. Eustathium p. 1343, 62. 1940, 64. De quibus dixit Hermannus p. 42. 43. V. 2. τάφον] τάφῳ Masurus.

159. Hephaestio c. 1. p. 7. ed. Gaisf. ubi de correpta diphthongo agit, Αἰσχύλος ἐν Νιόβῃ

Ἴστρος τοιαύτας παρθένους λοχεύεται.

Afferunt omisso fabulae nomine Priscianus p. 562. (I. p. 38. Hertz. et grammaticus in excerptis ap. Hertzium p. 192. ubi τοιάσδε pro τοιαύτας) et Eustathius p. 1665, 38. Ἴστρος in οἶστρος corruptum in libris nonnullis Hephaestionis et Prisciani. Apud Eustathium μνηστεύεται.

160. Plato Reipubl. 2. p. 380 a. (ex eoque Euseb. Pr. Ev. 13. p. 643 d.) οὐδ' αὖ, ὡς Αἰσχύλος λέγει, ἐατέον ἀκούειν τοὺς νέους ὅτι

θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ.

ἀλλ' ἐάν τις ποιῇ, ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι τὰ τῆς Νιόβης πάθη —. Omisso poetae et fabulae nomine attulerunt Plut. Mor. p. 17 b. 1065 e. Stobaeus 2, 7.

161. Hesychius, κάκαλα: τείχη. Αἰσχύλος Νιόβῃ. Photius p. 125, 4. κόκαλον: τεῖχος.

162. Hesychius, ἠμορίς: κενή, ἐστερημένη. Αἰσχύλος Νιόβῃ. Codex ἡμορίς. ἤμορος per ἄμοιρος explicant Hesychius et Photius p. 70, 11.

163. Schol. Eur. Phoen. 159. vol. 3. p. 81. περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησὶ "καὶ δὶς ἑπτ' αὐτῆς τέκνα | Νιόβης θανόντα Λοξίου τοξεύμασιν." ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀριστοφάνης δὲ ἐν δράματι Νιόβης (in Δράμασιν ἢ Νιόβῳ fragm. 272.) ὁμοίως ἑπτὰ αὐτάς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας.

164. Philostratus V. Apoll. 4, 16. p. 154. (71, 27. ed. Kays.) ἀλλὰ σύ, ἔφη, Ἀπολλώνιε, σοφοῖς γὰρ πρὸς σοφοὺς ἐπιτήδεια, τοῦ τε τάφου ἐπιμελήθητι καὶ τὸ ἄγαλμα τοῦ Παλαμήδους ἀνάλαβε, φαύλως ἐρριμμένον. ubi Morellus in argumento capitis haec verba posuit, "*Senarius iambicus ex Aeschyli Nioba*, σοφοῖς · ἔστι γὰρ πρὸς σοφοὺς ἐπιτήδεια, *Prudentibus affinia inter se pleraque.*" Quae non constat unde sumserit. Verba autem Graeca eodem fere modo vertit vetus interpres Rinuccinus, *Est enim sapientibus viris erga sapientes affinitas quaedam.* Quo indicio Hermannus Opusc. vol. 3. p. 49. verba poetae haec fuisse coniecit in tetrametris trochaicis, ὡς σοφοῖσι πρὸς σοφοὺς ἐστὶ κηδεία. Quae valde incerta quidem coniectura est (v. Kayser. ad Philostr. de gymnast. p. 93.), digna tamen memoratu, quod ipsum illud vocabulum κηδεία ex Aeschylo annotatum est ab grammatico codicis Baroccianі 159. (apud Cramerum in Museo Philol. Cantabrig. vol. 2. p. 114.) qui per ἐπιγαμβρεύσεις explicat.

ΞΑΝΤΡΙΑΙ.

Ad hanc fabulam Elmsleius ad Eur. Bacchas p. 15. rettulit Philostrati locum Imagin. p. 790. αἱ δὲ ξαίνουσι τὸ θήραμα, μήτηρ ἐκείνη καὶ ἀδελφαὶ μητρός, αἱ μὲν ἀπορρηγνῦσαι τὰς χεῖρας, ἡ δὲ ἐπισπῶσα τὸν υἱὸν τῆς χαίτης. etsi hoc non sequitur ex verbo ξαίνουσι: nam Ξάντριαι Aeschyli *mulieres* sunt *lanificae*, ut iam Musgravius monuit.

165. Photius p. 326, 19. et Suidas, ὀκτώπουν: Κρατῖνος Θράτταις "ὀκτώπουν ἀνεγείρεις" ἀντὶ τοῦ σκορπίον. παροιμία γὰρ "σκορπίον ὀκτώπουν (ὀκτώπουν ex verbis praecedentibus illatum) ἀνεγείρεις." ἐν δὲ ταῖς Αἰσχύλου Ξαντρίαις ἡ Λύσσα ἐπιθειάζουσα ταῖς Βάκχαις φησὶν

ἐκ ποδῶν δ' ἄνω
ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα
κέντημα γλώσσης, σκορπίου βέλος λέγω.

V. 3. γλώσσης] λύσσης Lobeckius ad Soph. Aiac. p. 103. ed. sec.

166. Etymol. M. p. 595, 40. ubi de femininis proparoxytonis ab masculinis oxytonis in ης agitur, οἷον ὑβριστὴς ὕβριστις, αἰχμητὴς αἴχμητις, βουλευτὴς βούλευτις, ultimi exemplum additur "τῶνδε βούλευτις πόνων" ἐν ταῖς Ξαντρίαις, omisso nomine poetae. Ξαντρίας etiam Plato comicus scripsit.

167. Pollux 10, 117. τὰς μέντοι λαμπάδας καὶ κάμακας εἴρηκεν ἐν Ξαντρίαις Αἰσχύλος "κάμακες πεύκης οἱ πυρίφλεκτοι."

168. Aeschylus Eumen. 24. Βρόμιος ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ, | ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός, | λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον. ubi scholiasta, νῦν φησιν ἐν Παρνασῷ εἶναι τὰ κατὰ Πενθέα· ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι.

169. Galenus ad Hippocr. Epidem. vol. 5. p. 455. ed. Bas. vol. 9. p. 385. Chart. ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι Σοφοκλῆς — οὕτω καὶ Αἰσχύλος ἐν Ξαντρίαις

ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται
οὔτ' ἀστερωπὸν ὄμμα Λητῴας κόρης.

Librorum vitia ἐξ ἀντιαίαις οὔτε — οὔτ' ἀστέρων στόμα correxit Bentl. in Epist. ad Millium p. 58. Photius p. 409, 10. πέμφιξ: πνοή. Αἰσχύλος ἐν Ξαντρίαις ἐπὶ τῶν ἀκτίνων.

170. Apud Aristophanem in Ranis Aeschylus inter Euripidis monodiarum particulas recitat v. 1385. Νύμφαι ὀρεσσίγονοι. ubi scholiasta, ἐκ τῶν Ξαντριῶν Εὐριπίδου, φησὶν Ἀσκληπιάδης. εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διαθέντων (διασωθέντων αὐτογράφων Dobraeus). Νύμφαι ὀρεσιγόνιαι (ὀρεσιγόνιοι codex Ven.) θεαῖσιν ἀγείρω Ἰνάχου Ἀργείου ὑπὸ ποταμοῦ παισὶ βιοδώροις. ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπότακτα. ἄλλως οὐδὲ παρ' Αἰσχύλου ταῦτα ἥρμοζε λαμβάνεσθαι. Quibus Valckenarius in Diatribe p. 11. admovit Platonis locum Reipubl. 2. p. 381 d. (repetitum ab Eusebio Pr. Ev. 13, 3. p. 645.) μηδὲ Πρωτέως καὶ Θέτιδος καταψευδέσθω μηδεὶς μηδ' ἐν τραγῳδίαις μηδ' ἐν τοῖς ἄλλοις ποιήμασιν εἰσαγέτω Ἥραν ἠλλοιωμένην ὡς ἱέρειαν ἀγείρουσαν Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις. cui nunc accessit Diogenes epistola quinta in *Notices et Extraits des Mss.* vol. 5, 2. p. 241. οἵτινες (tragici) Ἥραν τε τὴν Διὸς παράκοιτιν ἔφασαν τὴν ἱέρειαν μεταμορφωθεῖσαν τοιοῦτον βίου σχῆμα ἀναλαβεῖν, νύμφαις κρήναισιν (κρηναίαισιν Boissonadius: probabilius ὀρεσσιγόνοισι | νύμφαις κρηνιάσιν Meinekius in Zimmermanni Annal. a. 1843. p. 293.) κυδραῖς θεαῖς ἀγείρουσαν Ἰνάχου Ἀργείαις ποταμοῦ παισὶν βιοδώροις. Valde diversae sunt criticorum de hoc fragmento opiniones, quas sciens praetereo. Solus partem veri vidit Valckenarius, qui quum Xantrias Euripidem scripsisse recte negasset, ex Aeschyli fabula hos versus sumtos esse suspicatus est, hoc etiam usus argumento, quod Plato in vicinia illius loci similia Aeschyli peccata plura notaverit, nullum Euripidis. De quo nunc omnis sublata dubitatio est restituto apud scholiastam Aeschyli nomine ex codicibus. Bene igitur haec Valckenarius, nisi quod neque ostendit quomodo Aristophanes Aeschylum sua ipsius verba deridentem potuerit introducere, et ex optimis hexametris malos fecit versus, fortasse non facturus, si Diogenis loco uti potuisset, et gravissimum sententiae suae testem, ad quem alii non magis attenderunt, neglexit, Pausaniam, qui non dubium est quin ad hunc ipsum Aeschyli locum spectaverit 8, 6, 6. ὁ δὲ Ἴναχος ἐφ' ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν διὰ τοῦ ὄρους, τοῦτό ἐστιν Ἀργείοις καὶ Μαντινεῦσιν ὅρος τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ διὰ τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ τούτῳ τὸν Ἴναχον ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν καλοῦσιν Ἀργεῖον. Aeschyli igitur versus fuerunt

ὀρεσσιγόνοισι
Νύμφαις κρηνιάσιν κυδραῖσι θεαῖσιν ἀγείρω,
Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις.

Iunonis quae partes in Aeschyli fabula fuerint nescitur.

ΟΙΔΙΠΟΥΣ.

Fuit secunda tetralogiae Oedipodeae fabula: v. ad Laii fragmenta. Quo minus dubitari potest quia argumentum idem fuerit quod Sophoclis Oedipi Regis. — De profanatis mysteriis fragm. 83.

171. Schol. Soph. Oed. R. 733. περὶ Δαυλίδα φησὶ τὴν σχιστὴν ὁδόν, ὁ δὲ Αἰσχύλος περὶ Ποτνίας οὕτως

ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον
σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς
τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν.

Ad Oedipum rettulerunt Valckenarius ad Phoen. 38. aliique. V. Ulrichs *Reisen und Forschungen in Griechenland* 1. p. 155. Schneidewin. Philol. vol. 3. p. 352. (ubi primum versum addito ἔπειτ' explet) et in Diariis Gotting. a. 1850. p. 176. seqq.

ΟΠΛΩΝ ΚΡΙΣΙΣ.

Videtur prima fuisse fabula trilogiae, de qua diximus ad fragm. 77. Aiacem et Ulixem de armis Achillis certantes produxerunt inter Romanos poetas qui armorum iudicium scripserunt, Pacuvius, Attius, Pomponius. Secundam et tertiam trilogiae Aeschyleae fabulam Θρῄσσας et Σαλαμινίας fuisse coniecit Welckerus.

172. Schol. Soph. Ai. 190. Αἰ. ἐν Ὅπλων κρίσει

ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,
τῆς σῆς λέγω τοι μητρός, ἥ σ' ἐγείνατο.

V. 2. λέγω τοι] λέγω 'γὼ Hermannus.

173. Stobaeus 11, 8. Αἰσχύλου Ὅπλων κρίσεως

ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη.

Similiter Eurip. Phoen. 469. ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

174. Stobaeus 121, 23. Αἰσχύλου ἐν Ὅπλων κρίσει

τί γὰρ καλὸν ζῆν βίοτον ὃς λύπας φέρει;

βίοτον pro βίον Stanleius. ᾧ βίος λύπας φέρει Nauckius.

175. Ar. Ach. 883. πρέσβειρα πεντήκοντα Κωπᾴδων κορᾶν. ubi schol. ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου Ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου, ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρηίδας τις ἐξελθούσας πρὸς τὴν Θέτιν λέγων

δέσποινα πεντήκοντα Νηρῄδων χοροῦ.

χοροῦ Valckenar. Anim. ad Ammon. p. 164. Legebatur χορόν. κορῶν Bentleius. In cod. Rav. est κορᾶν, ex versu Aristophanis.

176. Etym Gud. p. 567, 34. χλίδοντα, χλίδην, σωρηδόν, δηλοῖ πλήθους ἔμφασιν. Αἰσχύλος Ὅπλου κρίσει καὶ χερίδοντα, ἀντὶ τοῦ πληθύνοντα. Ea sic corrigenda videntur, χλίδον καὶ χλῆδον, σωρόν. δηλοῖ πλήθους ἔμφασιν. Αἰσχύλος Ὅπλων κρίσει "κεχληδότα" ἀντὶ τοῦ πληθύνοντα. HERMANN.

ΟΣΤΟΛΟΓΟΙ.

177. Photius p. 353, 15. Ὀστολόγοι: παρ' Ἐπιλύκῳ. καὶ δρᾶμα Αἰσχύλου Ὀστολόγοι. Fuit drama satyricum.

178. Athenaeus 15. p. 667 c. καὶ Αἰσχύλος δ' ἐν Ὀστολόγοις ἀγκυλητοὺς λέγει κοττάβους διὰ τούτων

Εὐρύμαχος οὐκ ἄλλος οὐδὲν ἥσσονας
ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίους ἐμοί.
ἦν μὲν γὰρ αὐτῷ σκοπὸς ἀεὶ τοὐμὸν κάρα,
τοῦ δ' ἀγκυλητοῦ κοσσάβιός ἐστι σκοπὸς
ἐκτεμὼν ἡβῶσα χεὶρ ἐφίετο.

V. 1. οὐκ] οὗτος Hermannus. ἥσσονας Musurus] ἧσσον codex. 2. ἐναισίους Porsonus] αινεσιους codex sine accentibus. 3. σκοπὸς Dobraeus] κότταβος codex. τοὐμὸν Petitus] τοῦμεν (sic) codex. 4. 5. Verbis corruptis parum profuerunt criticorum coniecturae, velut Dobraei, τοῖς δ' ἀγκυλητοῖς κοσσάβοις ἐπίσκοπα | ὅσσων ἐμῶν ἡβῶσα χεὶρ ἐφίετο. τοὺς παρ' Αἰσχύλῳ ἀγκυλητοὺς κοττάβους memorat Athen. 11. p. 782 c. ex coque Eustathius p. 344, 24. et sine Aeschyli nomine schol. Ar. Pac. 1244. 5. ἐκτεμὼν] ἐκ τ' ἐμῶν Stanleius collato Polluce 10, 76. χειρ sine accentu codex.

179. Athenaeus 1. p. 17 c. (ex eoque Eust. p. 1828, 28.) Αἰσχύλος ἀπρεπῶς που παράγει μεθύοντας τοὺς Ἕλληνας, ὡς καὶ τὰς ἀμίδας ἀλλήλοις περικαταγνύναι. λέγει γοῦν

⏑ – ὅδ' ἐστὶν ὅς ποτ' ἀμφ' ἐμοὶ βέλος
γελωτοποιόν, τὴν κάκοσμον οὐράνην,
ἔρριψεν οὐδ' ἥμαρτε. περὶ δ' ἐμῷ κάρᾳ
πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη
χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοί.

Tzetza ad Lycophr. 778. παρ' Αἰσχύλῳ φαίνεταί τις τὸν Ὀδυσσέα τύψας ὀστράκῳ, οὐ μὴν παρ' Ὁμήρῳ. οὐράνην ex Aeschylo memorant Pollux 10, 44. (et 2, 223.) anon. in Walzii Rhet. vol. 7. p. 735. gramm. in Crameri Anecd. Paris. vol. 4. p. 12, 14. Conf. Eustath. Opusc. p. 296, 51.

ΠΑΛΑΜΗΔΗΣ.

Aesch. Prom. 457. ἔς τε δὴ σφιν ἀντολὰς ἐγὼ | ἄστρων ἔδειξα, ubi schol. τούτων τὴν εὕρεσιν καὶ Παλαμήδει προσῆψεν. Ad Aeschyli Palamedem ab Platone Reipubl. 8. p. 522 d. respici putabat Butlerus. De Platonis loco dixit Aristides vol. 2. p. 260.

180. Schol. Homeri Il. 4, 319. ubi de aoristo ἔκταν agit, Αἰσχύλος Παλαμήδει

τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης;

Nauplii haec verba esse coniecit Vater. ad Eur. Rhes. p. 233.

181. Athenaeus 1. p. 11 e. ἔστι δ' ἡ τάξις καὶ παρ' Αἰσχύλῳ τῶν ὀνομάτων, ἐν οἷς ὁ Παλαμήδης πεποίηται λέγων

καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκατοντάρχας
ἔταξα, σῖτον δ' εἰδέναι διώρισα,
ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρίτα.

unde sua duxit Eustathius p. 242, 22. 1358, 4. 1432, 5. 1791, 45. 1833, 4. V. 1. καὶ ταξιάρχας χἀκατοντάρχας στρατῷ Porsonus. Conf. Sophoclis fragm. 379. Versum 3. ex Aeschylo afferunt schol. Il. 2, 308. in Crameri Anecd. Paris. vol. 3. p. 7, 15. 154, 6., schol. Il. 2. 381., schol. Od. 2, 20., Etym. Gud. p. 150, 19. θ'] δ' Ath., om. schol. Od. 2, 20. et Etym. Gud. τρίτα om. schol. Il. 2, 381., schol. Od. 2, 20. Etym. Gud. Eust. p. 1833. τρία est ap. schol. Il. in Crameri Anecd. Paris. vol. 3. p. 7, 15. Eust. p. 1358. 1432. 1791. τρία ἢ μάλιστα τρίτα idem p. 242. Ad hunc locum spectat Phrynichus Bekkeri p. 23, 23. τέσσαρας τροφὰς οἶδεν ὁ ποιητής· — ὁ δ' Αἰσχύλος τρεῖς οἶδεν, ἀφελὼν τὴν δειελινήν.

ΠΕΝΘΕΥΣ.

Argum. Baccharum Euripidis, ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Πενθεῖ. Memoratur in Catalogo.

182. Galenus loco ad fr. 169. indicato, πέμφιξ — ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτὸς — ἐν Πενθεῖ

μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς.

ΠΕΡΡΑΙΒΙΔΕΣ.

Περραιβίδες, ut est in Catalogo, hanc fabulam inscriptam fuisse, non Περραιβοί, ostendi in Praefat. ad Athenaeum vol. 1. p. IV.

183. Athenaeus 11. p. 476 c. Αἰσχύλος δ' ἐν Περραιβίσι τοὺς Περραιβοὺς παρίστησιν ἀντὶ ποτηρίων τοῖς κέρασι χρωμένους διὰ τούτων

ἀργυρηλάτοις
κέρασι χρυσᾶ στόμια προσβεβλημένοις.

προσβεβλημένοις epitome ex eaque Eustathius p. 917, 63.

184. Athenaeus 11. p. 499 a. Αἰσχύλος ἐν Περραιβίσι (Περραιβοῖς codex hic et 476 c)

ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια,
ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα;

Nomen fabulae om. epitome cum eaque Eustath. p. 1775, 22. Verba Eionei esse coniecit Nauckius dona exigentis ab Ixione promissa.

185. Hesychius, ἀπαιόλη: ἀπάτη, ἀποστέρησις. Αἰσχύλος Περραιβίσιν (codex περρέβην). Eustathius p. 352, 33. ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ῥηθέντος αἰόλλω καὶ ἀπαιόλη γίνεται ἡ ἀπάτη καὶ ἀποστέρησις. Αἰσχύλος

τέθνηκεν αἰσχρὸς χρημάτων ἀπαιόλῃ.

αἰσχρῶς Butlerus.

ΠΗΝΕΛΟΠΗ.

186. Etym. M. p. 31, 5. αἰδοιέστατος: ἰστέον ὅτι τὸ ἀρχέστατος, ὡς παρὰ Αἰσχύλῳ ἐν Πηνελόπῃ, οἷον

ἐγὼ γένος μέν εἰμι Κρὴς ἀρχέστατον,

καὶ τὸ αἰδοιέστατον καὶ ἀφθονέστατον ποιητικὰ εἰσι κατ' ἔθος Ἰώνων γινόμενα. — ὤφειλον γὰρ τὰ προειρημένα δικαιότερος (voluit αἰδοιότερος) εἶναι καὶ ἀφθονώτερος καὶ ἀρχαιότερος (ἀρχότερος Nauckius). οὕτω Φιλόξενος εἰς τὸ περὶ συγκριτικῶν. ἀρθονεστέραν λίβα est fragm. 68. de quo comparativo dixit L. Dindorfius in Thesauro vol. 1. part. 2. p. 2650. (Eiusdem generis est φιλοξενέστατος in fragm. Eurip. 871. φιλοξενώτατον est apud Aeschylum fr. 198.) Superlativum ἀρχέστατον, quem in ἀρχέστρατος mutari voluit Lobeck. Paralip. p. 81., ab substantivo ἀρχὸς derivat Nauckius de Aristoph. Byz. p. 46. Verba Ulixis esse coniecit Lobeckius (Pathol. Elem. vol. 1. p. 337.) cum coniuge colloquentis, cui quum primum in conspectum venisset, se unum Cretae principum esse mentitus est Odyss. 19, 180.

ΠΟΛΥΔΕΚΤΗΣ.

Memoratur haec fabula in Catalogo.

ΠΡΟΜΗΘΕΙΣ.

Mythum de Prometheo, de quo videndus Apollodorus 1, 7, 1., tribus fabulis tractavit Aeschylus, tragoediis duabus, Προμηθεῖ δεσμώτῃ, quae superest, et λυομένῳ, fabula satyrica una, quae simplici Προμηθέως nomine inscripta fuit ab Aeschylo, Προμηθεὺς πυρφόρος ab grammaticis Alexandrinis. De his fabulis scriptor Vitae Aeschyli in Schol. ed. Oxon. p. 8, 1. ταύτῃ καὶ ἄριστος εἰς τραγῳδίαν Αἰσχύλος κρίνεται, ὅτι εἰσάγει πρόσωπα μεγάλα καὶ ἀξιόχρεα. καὶ τινὲς ἤδη τῶν τραγῳδιῶν διὰ μόνων οἰκονομοῦνται τῶν θεῶν, καθάπερ οἱ Προμηθεῖς. De vana multorum opinione qui tetralogiam Prometheam ex tribus tragoediis (Προμηθεῖ πυρφόρῳ, δεσμώτῃ, λυομένῳ (licet in δεσμώτῃ res Promethei ita exponantur ut nullam aliam fabu-

lam praecessisse appareat) et fabula satyrica ignota compositam finxerunt, drama autem satyricum Προμηθέα, quod olymp. 76, 4. cum tribus tragoediis (Φινεῖ, Πέρσαις, Γλαύκῳ) actum esse novimus, non Προμηθέα πυρφόρον, sed Pollucis illum Προμηθέα πυρκαέα, cuius nullus unquam alius testis producetur, fuisse crediderunt, dixi in Vita Sophoclis ed. Oxon. a. 1860. vol. 8. p. LXII. Alii Προμηθέα πυρφόρον tertiam fuisse crediderunt tetralogiae fabulam, nomine non propter furtum ignis imposito, sed ad λαμπαδοδρομίας, Athenis in honorem Promethei quotannis celebratas referendo: quod institutum memorari poterat in extrema parte Προμηθέως λυομένου (in qua etiam de corona Promethei sermo fuit: vid. fr. 204.), ut honores Eumenidibus habendi in fine fabulae cognominis, quae sollemni pompa clauditur, exponuntur, sed quomodo integrae tragoediae componendae, eique tali quales Aeschylus facere solebat, sufficere potuerit non perspicitur.

ΠΡΟΜΗΘΕΥΣ ΠΥΡΦΟΡΟΣ.

187. Pollux 9, 156. ὁ δ' ἐμπρήσας τάχ' ἂν πυρκαεὺς ὀνομάζοιτο κατ' Αἰσχύλον καὶ Σοφοκλέα, οὕτως ἐπιγράψαντας τὰ δράματα, τὸν μὲν τὸν Προμηθέα, τὸν δὲ τὸν Ναύπλιον. Πυρκαεὺς parum aptum Prometheo nomen: aptissimum πυρφὸρος. Quamobrem vereor ne πυρκαεὺς ab Polluce per errorem, etiam infra 10, 64. repetitum, dictus sit, quod iam Canterus perspexit Var. Lect. 7, 21. Ita Iosephus Τρικάρανον Theopompi Τριπολιτικὸν dixit, quum Dicaearchi hoc nomine liber menti obversaretur. Προμηθέα πυρφόρον recte dicunt catalogi fabularum scriptor, Gellius, scholiasta Promethei vincti v. 94. τὸν μυριετῆ: ἐν γὰρ τῷ πυρφόρῳ τρεῖς μυριάδας φησὶ δεδέσθαι αὐτόν. cuius verbis Hermannus in Opusc. vol. 4. p. 257. adhibuit Hygini locum Poet. Astron. 2, 15. p. 456. *Prometheum autem in monte Scythiae nomine Caucaso ferrea catena vinxit: quem alligatum ad triginta millia annorum Aeschylus tragoediarum scriptor ait.* Tetralogia ad quam Προμηθεὺς πυρφὸρος, satyricum drama, pertinuit, indicata in ὑποθέσει Persarum, ἐπὶ Μένωνος (olymp. 76, 4.) τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ, Προμηθεῖ. In prima parte dramatis de furto ignis cum hominibus contra Iovis voluntatem communicati actum fuisse ex fragm. 190. colligi potest: in extrema parte, de qua nihil compertum habemus, si forte Prometheus Iovis iussu abductus fuit ad millenorum annorum poenam subeundam, hinc sumtum esse potest quod schol. Prom. l. c. annotavit, ἐν τῷ πυρφόρῳ τρεῖς μυριάδας φησὶ δεδέσθαι αὐτόν, numero hyperbolico, ut in Prom. vincto v. 94. τὸν μυριετῆ χρόνον ἀθλεύσω: etsi hoc valde incertum est. Nam quum numerus annorum, per quos rupi alligatus fuerit Prometheus, vix silentio praeteriri potuerit in Prometheo soluto, probabilis est Welckeri coniectura in verbis scholiastae πυρφόρῳ per errorem positum esse pro λυομένῳ. quod si accidit, minus mirabile est quam quod librario in recentissimo quodam Promethei vincti apographo aliud agenti Αἰσχύλου πυρφόρος Προμηθεύς in calamum venit pro δεσμώτης.

188. Gellius 13, 19, 4. *Id quoque animadvertimus apud Aeschylum* ἐν τῷ πυρφόρῳ Προμηθεῖ *et apud Euripidem in tragoedia quae inscripta est* Ἰνὼ *eundem esse versum absque paucis syllabis. Aeschylus sic*

σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια.

Euripides autem sic "σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές." Eadem fere verba σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια Choeph. 582. Similem sententiam ex Aeschylo affert scholiasta Aristidis vol. 3. p. 501, 17. Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ

πολλοῖς γὰρ ἐστι κέρδος ἡ σιγὴ βροτῶν.

Quae non leguntur in Prometheo vincto.

189. Pollux 10, 64. ὠμόλινον — Αἰσχύλου ἐν Προμηθεῖ πυρκαεῖ (immo πυρφόρῳ)

λινᾶ δὲ, πίσσα κὠμολίνου μακροὶ τόνοι.

Scribebatur λίνα δέ. In cod. Paris. est λινάδες.

190. Plut. Mor. p. 86 f. τοῦ δὲ σατύρου τὸ πῦρ, ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν (περιλαβεῖν Nauckius in Schneidew. Philol. vol. 4. p. 535. collato Xenoph. Symp. 9, 4. περιλαβὼν ἐφίλησεν αὐτόν) ὁ Προμηθεύς,

τράγος γένειον ἆρα πενθήσεις σύ γε.

καίει τὸν ἁψάμενον, ἀλλὰ φῶς παρέχει καὶ θερμότητα. Epiphanius Ancor. vol. 2. p. 109 a. ἄλλος δὲ (Ζεὺς) ὁ τραγῳδὸς, ὁ καὶ τὴν χεῖρα αὐτοῦ καύσας· τάχα δὲ θεὸς ὢν ἐπελάθετο ὅτι δάκνει τὸ πῦρ, καὶ οὐκ εἶχε τὴν πρόγνωσιν τοῦ λέγοντος τράγῳ τῷ σατύρῳ εὑρόντι πρότερον (ὁρῶντι πρῶτον Meinekius) τὸ πῦρ καὶ προσελθόντι (καὶ θέλοντι addit Meinekius in Schneidew. Philol. vol. 3. p. 320.) φιλῆσαι, μὴ ἅψῃ, τράγε· ἁψάμενος γὰρ ἐμπρήσεις μου (scr. σου cum Meinekio) τὰ γένεια. Eustathius p. 415, 7. Ἠέλιος — ἀντὶ τοῦ ὦ Ἥλιε, ὁποῖον σὺν ἄλλοις καὶ τὸ "τράγος γένειον ἆρα πενθήσεις σύ γε" ἀντὶ τοῦ, ὦ τράγε πάνυ στερήσῃ γενείου, εἰ τὴν φλόγα φιλήσεις. Ad hanc fabulam alludere auctorem ad Herenn. 4, 6. coniecit Meinekius sic scribentem: *si Prometheus, cum mortalibus ignem dividere vellet, ipse a vicinis cum testa ambulans carbunculos corrogaret, non ridiculum videretur?* Praeterea ad hanc fabulam fuerunt qui referrent fragmenta 303. 373.

ΠΡΟΜΗΘΕΥΣ ΛΥΟΜΕΝΟΣ.

Hermanni dissertatio in Opusc. vol. 4. p. 253. Schol. Aeschyli Prom. 511. οὔπω μοι λυθῆναι μεμοίραται· ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται, ὅπερ ἐμφαίνει Αἰσχύλος. et 522. ἄλλου λόγου μέμνησθε: τῷ ἑξῆς δράματι φυλάττει τοὺς λόγους. Philodemus περὶ εὐσεβείας in Gomperzii Stud. Hercul. 2. p. 41. partim ab Gomperzio partim ab H. Sauppio in Philologo vol. 21. p. 140. redintegratus, ὅ[σα δ]ὲ Προμηθεὺς οὐ δ[εκ]ά[δα]ς, ἀλλὰ μυριάδας [ἐτῶν ἔπαθεν ὑπ]ὸ Διός, εἰπὼν [εὐλαβεῖ]θαι μή ποτε [κρείττω κ]ατασκευά[σῃ τις ὅ]πλα. καὶ τὸν Προμηθέα λύεσθαι [ποιεῖ] Αἰσχύλος ὅ[τι τὸ λ]όγιον ἐμή[νυσε]ν τὸ περὶ Θέ[τιδο]ς, ὡς χρεὼν εἴη τὸν ἐξ αὐτῆς γεννηθέντα κρείττω κατα[σκευάσ]αι [τ]οῦ πατρὸς [ἀρχὴν· κ]αὶ θνητ[ῷ διὰ τοῦτο εἰκά]ζουσιν [ἀποδοθῆ]ναι ἀνδρί. (Vir mortalis est Peleus.) Ibid. p. 39. .... υἱοὺς ... | ..... Κρὸν .... | ..... Αἰσχύλος | ἐν τῷ λυομένῳ | Προμηθεῖ .... [ὑπ]ὸ Διὸς δεδ[έσθαι].

191. Arrianus in Periplo Ponti Euxini p. 19. Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ. λέγουσι γοῦν αὐτῷ οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι

ἥκομεν — — — — — —
τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ,
δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι.

ἔπειτα καταλέγουσιν ὅσην χώραν ἐπῆλθον

τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης
μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν.

Minus integra haec afferuntur in anonymi Periplo Ponti Eux. et Maeotidis paludis p. 1. Spectat ad hunc locum Procopius Histor. Goth. 4, 6. p. 336, 11. ἀλλὰ καὶ ὁ τραγῳδοποιὸς Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳδίας τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ τῆς τε Ἀσίας καὶ τῆς Εὐρώπης. V. 4. τῇ] πῇ codices.

192. Strabo 1. p. 33. φημὶ — τὰ μεσημβρινὰ πάντα Αἰθιοπίαν καλεῖσθαι τὰ πρὸς Ὠκεανῷ. μαρτυρεῖ δὲ τὰ τοιαῦτα. ὅ τε γὰρ Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ φησὶν οὕτω

φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν
χεῦμα θαλάσσης,
χαλκοκέραυνόν τε παρ' Ὠκεανῷ
λίμνην παντοτρόφον Αἰθιόπων,
ἵν' ὁ παντόπτης Ἥλιος αἰεὶ
χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων
θερμαῖς ὕδατος
μαλακοῦ προχοαῖς ἀναπαύει.

V. 3. Obscurum est quid significet χαλκοκέραυνον. Parum probabiles Bothii et Hermanni coniecturae χιλιόκρουνον et χαλκομάραυγον. 4. λίμνην] λίμναν libri. παντοτρόφον] πάντων τροφὸν Lobeckius. 5. παντόπτσς (debebat παντόπτης) pro παντεπόπτας Tyrwhittus. ἀεὶ] αἰεὶ libri. 8. προχοαῖς] τ' addunt codices.

193. Cicero Quaest. Tusc. 2, 10, 23—25. *Veniat Aeschylus non poeta solum, sed etiam Pythagoreus: sic enim accepimus. Quomodo fert apud eum Prometheus dolorem, quem excipit ob furtum Lemnium? — "unde ignis cluet mortalibus clam | divisus: eum dictus Prometheus | clepsisse dolo, poenasque Iovi | fato expendisse supremo." Hos igitur poenas pendens affixus ad Caucasum haec dicit "Titanum suboles, socia nostri sanguinis, | generata Coelo, adspicite religatum asperis | vinctumque saxis, navem ut horrisono freto | noctem paventes timidi adnectunt navitae. | Saturnius me sic infixit Iuppiter, | Iovisque numen Mulcibri adscivit manus. | hos ille cuneos fabrica crudeli inserens | perrupit artus: qua miser sollertia | transverberatus castrum hoc Furiarum incolo. | iam tertio me quoque funesto die | tristi advolata, aduncis lacerans unguibus,* | (Ad hunc versum Schuetzius probabiliter refert Hesychii locum fragm. 199.) *Iovis satelles pastu dilaniat fero | tum iecore opimo farta et satiata affatim | clangorem fundit vastum, et sublime avolans | pinnata cauda nostrum adulat sanguinem. | quum vero adesum inflatu renovatum est iecur | tum rursum tetros avida se ad pastus refert. | sic hunc custodem maesti cruciatus alo, | qui me perenni vivum foedat miseria. | namque, ut videtis, vinclis constrictus Iovis, | arcere nequeo diram volucrem a pectore. | sic me ipse viduus pestes excipio anxias, | amore mortis terminum anquirens mali: | sed longe a leto numine aspellor Iovis. | atque haec vetusta saeclis glomerata horridis, | luctifica clades nostro infixa est corpori: | e quo liquatae solis ardore excidunt | guttae quae saxa assidue instillant Caucasi.*" Haec ex Prometheo soluto Cicero vertit: quattuor quos praemisit versus anapaesticos ex Attii Philoctета sumsit.

194. Plutarchus Moral. p. 98 c. νῦν δὲ οὐκ ἀπὸ τύχης οὐδὲ αὐτομάτως περίεσμεν αὐτῶν (τῶν θηρίων) καὶ κρατοῦμεν, ἀλλ' ὁ Προμηθεύς, τουτέστιν ὁ λογισμός, αἴτιος

ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς
δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα,

κατ' Αἰσχύλον. Libri ἀντίδωρα. Idem p. 964 f. οὐ γὰρ ἀδικοῦσιν οἱ τὰ μὲν ἄμικτα καὶ βλαβερὰ κομιδῇ κολάζοντες καὶ ἀποκτιννύοντες, τὰ δὲ ἥμερα καὶ φιλάνθρωπα ποιούμενοι τιθασὰ καὶ συνεργὰ χρείας πρὸς ἣν ἕκαστον εὖ πέφυκεν, "ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς," ὧν ὁ Αἰσχύλου Προμηθεὺς δοῦναι ἡμῖν φησιν "ἀντίδουλα καὶ πόνων ἀνδέκτορα." Attulit etiam Porphyrius de abstin. 3, 18. p. 257, ubi ἐκδέκτορα.

195. Galenus vol. 5. p. 454. ed. Basil. vol. 9. p. 385. Charter. δοκεῖ μὲν γὰρ αὐτὴν (τὴν πέμφιγα) ἐπὶ τῆς πνοῆς Σοφοκλῆς — λέγειν — Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ

εὐθεῖαν ἕρπε τήνδε· καὶ πρώτιστα μὲν
Βορεάδας ἥξεις πρὸς πνοάς, ἵν' εὐλαβοῦ
βρόμον καταιγίζοντα, μή σ' ἀναρπάσῃ
δυσχειμέρῳ πέμφιγι συστρέψας ἄφνω. —

ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτός φησιν ἐν Προμηθεῖ

ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα
πέμφιξ· πικροὶ γὰρ κοὐ διὰ ζόης ὀτμοί.

Προμηθέα δεσμώτην aut memoriae errore nominat, aut exciderunt hi versus ex illa fabula. Vide Hermannum p. 274.

196. Strabo 4. p. 182, 183. μεταξὺ τῆς Μασσαλίας καὶ τῶν ἐκβολῶν τοῦ Ῥοδανοῦ πεδίον ἐστὶ τῆς θαλάττης διέχον εἰς ἑκατὸν σταδίους, τοσοῦτον δὲ καὶ τὴν διάμετρον, κυκλοτερὲς τὸ σχῆμα· καλεῖται δὲ λιθῶδες ἀπὸ τοῦ συμβεβηκότος. μεστὸν γάρ ἐστι λίθων χειροπληθῶν, ὑποπεφυκυίαν ἐχόντων αὐτοῖς ἄγρωστιν· ἀφ' ἧς ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν, ἐν μέσῳ δ' ὕδατα καὶ ἁλυκίδες ἐνίστανται καὶ ἅλες. (Sequuntur Aristotelis et Posidonii sententiae.) — τὸ μέντοι δυσαπολόγητον Αἰσχύλος καταμαθὼν ἢ παρ' ἄλλου λαβὼν εἰς μῦθον ἐξετόπισε. φησὶ γοῦν Προμηθεὺς παρ' αὐτῷ καθηγούμενος Ἡρακλεῖ τῶν ὁδῶν τῶν ἀπὸ Καυκάσου πρὸς τὰς Ἑσπερίδας

ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν,
ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὤν,
μέμψει· πέπρωται γάρ σε καὶ βέλη λιπεῖν
ἐνταῦθ'· ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον
ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακός.
ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτερεῖ,
νεφέλην δ' ὑπερσχὼν νιφάδι γογγύλων πέτρων
ὑπόσκιον θήσει χθόν', οἷς ἔπειτα σὺ
βαλὼν διώσει ῥᾳδίως Λίγυν στρατόν.

Versus 1—3. attulit Dionysius Hal. Antiq. 1, 41. ubi εὖ οἶδα scriptum. 3. μέμψει] μέμψῃ vel πέμψῃ ap. Strabonem 6. σ' ὁ] σε Meinekius. 7. ὑπερσχὼν pro ὑποσχὼν Casaubonus. Tum libri στρογγύλων. Correxit Porsonus in Miscellaneis p. 212. et γογγύλων nunc enotatum ex cod. Mosquensi, in quo tamen ipso quoque στρογγύλων superscriptum est. Ad hunc locum spectat Hyginus Poet. Astron. 2, 6. p. 437. et non nominato auctore Theo ad Arati Phaen. v. 75. 8. σὺ βαλὼν pro συμβαλὼν Salmasius. 9. διώσεις (debebat διώσει, ut Dobraeus) pro δηώσει Leopardus.

197. Schol. Apoll. 4, 284. τὸν Ἴστρον φασὶν ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν. οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλῳ ἐν λυομένῳ Προμηθεῖ λέγοντι τοῦτο. Non recte schol. Dion. Perieg. 10. de Tanai. Αἰσχύλος δὲ ἐν Προμηθεῖ λυομένῳ καὶ Σοφοκλῆς ἐν Σκύθαις ὑπὸ τούτου διορίζεσθαί φησι τὰς ἠπείρους.

198. Stephanus Byzant. s. v. Ἄβιοι p. 7, ὁ. Αἰσχύλος τε Γαβίους διὰ τοῦ γ ἐν λυομένῳ Προμηθεῖ

ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον
βροτῶν ἁπάντων καὶ φιλοξενώτατον,
Γαβίους, ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος
τέμνει δίκελλ' ἄρουραν, ἀλλ' αὐτόσποροι
γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς.

V. 1. ἥξεις (ut fr. 196, 1.) pro ἥξει Stanleius. ἵξει Meinekius. 2. βροτῶν addidit Hermannus. Γαβίους ex Aeschylo memorant schol. Il. 13, 6. et Eustathius p. 916, 24.

199. Hesychius, εἰσαφάσματα: εἰσπτήματα, ἀπὸ τοῦ εἰσαφιέναι. ἢ σπαράγματα. Αἰσχύλος Προμηθεῖ λυομένῳ.

200. Eustathius p. 690, 43. σχίσματα γάρ τινα καὶ θύσανοι, ὅθεν ἀρειθύσανοι κατὰ Παυσανίαν Ἄρεος θύσανοι, οἱονεὶ ἀποσχίσματα, παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ λυομένῳ. Hesychius, ἀρθύσανοι: ἀποσχίσματα καὶ ὑποβλαστήματα. ἀριθύσανοι: ἡνίοχοι. In gl. priore ordo literarum ἀρθρύσσνοι (ut Favorinus scripsit), in altera ἀρειθύσανοι postulat.

201. Plutarchus in vita Pompeii c. 1. πρὸς δὲ Πομπήιον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα, σωθεὶς ὑπ' αὐτοῦ λέγων

ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

τοῦτο] ποῦ τὸ Hermannus.

202. Strabo 1. p. 43. Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν — οὐδ' Αἰσχύλου κυνοκεφάλους καὶ στερνοφθάλμους καὶ μονομμάτους ἱστοροῦντος. Eadem 7. p. 299. ubi additum ἐν τῷ Προμηθεῖ. στερνοφθάλμους ex Aeschylo memorat Tzetzes in Crameri Anecd. Oxon. vol. 3. p. 370, 9.

203. Strabo 7. p. 300. καὶ Αἰσχύλος δ' ἐμφαίνει συνηγορῶν τῷ ποιητῇ, φήσας περὶ τῶν Σκυθῶν

ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι.

204. Athenaeus 15. p. 674 d. Αἰσχύλος δ' ἐν τῷ λυομένῳ Προμηθεῖ σαφῶς φησιν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ, ἀντίποινα τοῦ ἐκείνου δεσμοῦ. De corona Promethei conf. Hygin. Poet. Astr. 2, 15. p. 457.

205. Plutarchus Moral. p. 757 d. ὁ δὲ Ἡρακλῆς ἐτε-

ρον θεόν παρακαλεῖ μέλλων ἐπὶ τόν ὄρνιν αἵρεσθαι τό τόξον, ὡς Αἰσχύλος φησὶν

ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν ἰθύνοι βέλος.

206. Antiatt. Bekkeri t. p. 116, 7. χέρσα: τὰ μὴ γεωργούμενα. Αἰσχύλος Προμηθεῖ. Dubium quam fabulam dicat.

ΠΡΟΠΟΜΠΟΙ.

207. Relata haec fabula in Catalogum. Licymnium histrionem tragicum, qui τούς Αἰσχύλον Προπομπούς egerit, memorat Alciphro 3, 48, 1. ἄφωνος εἴη Λικύμνιος ὁ τῆς τραγῳδίας ὑποκριτής· ὡς γὰρ ἐνίκα τούς ἀντιτέχνους Κριτίαν τὸν Κλεωναῖον καὶ Ἵππασον τὸν Ἀμβρακιώτην τοὺς Αἰσχύλου Προπομποὺς τορῷ τινι καὶ γεγωνῷ τῷ φωνήματι χρησάμενος, γαθρος ἦν καὶ κιττοστεφὴς ἦγε συμπόσιον. Unum verbum debemus Hesychio, δίπολοι· Αἰσχύλος διπλαῖ Προπομποῖς. διπλαῖ (διπλοῖ?) ante Αἰσχύλος recte collocavit Musurus.

ΠΡΩΤΕΥΣ ΣΑΤΥΡΙΚΟΣ.

Pertinuit ad Oresteam: vide didascaliam Agamemnonis supra p. 53. Schol. Ar. Ran. v. 1155. τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι, Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι, χωρὶς τῶν σατυρικῶν (vel τοῦ σατυρικοῦ, si ad solam hanc refertur Aeschyli trilogiam). Acta igitur est olymp. 80, 2.

208. Athenaeus 9. p. 394 a. Φάψ — Αἰσχύλου ἐν τῷ τραγικῷ (corrige σατυρικῷ) Πρωτεῖ οὕτω μνημονεύοντος τοῦ ὄρνιθος

αἰτουμένην δύστηνον ἀθλίαν φάβα,
μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην.

V. 2. μέσακτα Casaubonus parum probabiliter in μέσαν (debebat μέσην) τὰ mutavit. Adiectivo μέσακτος significatione propria utitur Aeschylus Pers. 887. πεπλεγμένην] πεπληγμένην Schweighaeuserus.

209. Herodianus περὶ μονήρους λέξεως p. 35, 19. γάρος Αἰσχύλος Πρωτεῖ σατυρικῷ "καὶ τὸν ἰχθύων γάρον." Omisso nomine fabulae affertur ab Athenaeo 2. p. 67 c. Masculini ὁ γάρος exemplum τὸν ἰχθύων γάρον affert Herodianus Piersoni p. 437.

210. Schol. Od. 4, 366. Εἰδοθέη: ἀπὸ τῆς εἰδήσεως καὶ ἐπιστήμης τοῦ πατρὸς τὸ ὄνομα. καὶ Αἰσχύλος δὲ ἐν Πρωτεῖ Εἰδοθέαν αὐτὴν καλεῖ. Etym. Gud. p. 316, 30. ex cod. Paris. 2638. correctum, κερδώ: ὑποκοριστικῶς, ὡς παρ' Αἰσχύλῳ ἡ Εἰδὼ καὶ Ὑψὼ ἀντὶ τοῦ Εἰδοθέα καὶ Ὑψιπύλη. Conf. Bekkeri Anecd. p. 857, 9. et schol. Aristoph. Eq. 1065. (1068.)

211. Hesychius, ἄελπτοι: δεινοὶ καὶ ἄαπτοι. Αἰσχύλος Πρωτεῖ. Aeschylus aut ἄεπτοι aut ἄαπτοι dixisse videtur, atque quae ex Homerico χεῖρας ἀάπτους nota est scripturae varietas fortasse similiter in Aeschyli Proteo exstitit. Monuit Nauckius.

212. Hesychius, ἅμαλα: τὴν ναῦν, ἀπὸ τοῦ ἁμᾶν τὴν ἅλα. Αἰσχύλος Πρωτεῖ σατυρικῷ. Corrupte Etym. M. p. 75, 22. ἀμάδα τὴν ναῦν Αἰσχύλος. In ἀμίδα corruptum Suppl. 842. 847.

213. Hesychius, ἐπάσω: ἐκτήσω. Αἰσχύλος Πρωτεῖ σατυρικῷ. Hunc aoristum Sophocli Oed. C. 528. pro ἐπλήσω restituit Nauckius.

ΣΑΛΑΜΙΝΙΑΙ.

Σαλαμίνιοι in Catalogo dramatum. Videtur haec tertia fuisse fabula trilogiae de qua dictum ad fragm. 77.

214. Herodianus περὶ μονήρους λέξεως p. 36, 19. οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος (φᾶρος) τὸ ᾱ καὶ συστέλλουσιν, ὡς παρ' Αἰσχύλῳ ἐν Σαλαμινίαις

εἴ μοι γένοιτο φᾶρος ἶσον οὐρανῷ.

Codex ἐν οὐρανῷ. Apud Herodianum περὶ διχρόνων in Crameri Anecd. Oxon. vol. 3. p. 295, 13. ἐμοὶ est pro εἴ μοι. Ex eodem fonte Draco Straton. p. 35, 11. et grammaticus Hermanni p. 443. Vestem dicere videtur caeruleam. ἶσον fortasse pro οἷον scriptum.

215. Hesychius, ἔκλογον: διήγησιν. Αἰσχύλος Σαλαμινίαις.

216. Hesychius, κανθύλας: τὰς ἀνοιδήσεις. Αἰσχύλος Σαλαμινίαις.

217. Hesychius, ἀναρροιβδεῖ: ἀναρροφεῖ. (Codex ἀναροιδοῖ ἀναροφεῖ, quod correxit Favorinus.) Αἰσχύλος Σαλαμινίαις ἀντὶ τοῦ διαπνεῖ (ἀναπνεῖ Meinekius Philol. 13. p. 515).

218. Hesychius, ἀνήρης: ἀνδρώδης. Αἰσχύλος Σαλαμινίαις. De hoc voc. dixi ad schol. Sophoclis vol. 2. p. 71.

ΣΕΜΕΛΗ Η ΥΔΡΟΦΟΡΟΙ.

Σεμέλη ἢ Ὑδροφόρος in dramatum Catalogo.

219. Hesychius, ἀνταία: ἐναντία, ἱκέσιος. Αἰσχύλος Σεμέλῃ. σημαίνει δὲ καὶ δαίμονα· καὶ τὴν Ἑκάτην δὲ ἀνταίαν λέγουσιν ἀπὸ τοῦ ἐπιπέμπειν αὐτά. Scribendum suspicor ἀνταία ἢ ἀντία· ἱκέσιος, collato schol. Il. 22, 113. ἀντίος ἱκέτης, ὅθεν ἀνταῖος ἱκέσιος Ζεὺς παρὰ Ἱπποβότων (corr. Ἱπποβότῳ). NAUCK.

220. Hesychius, ἄστερκτα: τὰ οὐ δυνάμενα κατασχεθῆναι. Αἰσχύλος Σεμέλῃ. Recte ἄστεκτα Is. Vossius, quod in Anecd. Bekk. p. 456, 1. explicatur ἀβάστακτα, ἀνυπομόνητα, οὐ δυνάμενα κατασχεθῆναι.

221. Hesychius, ἀμφίδρομος: Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα καινὸν (καὶ codex) περὶ τὰ ἀμφιδρόμια, ὡς εἰ ἔλεγε (ὧδε ἢ ἔλεγες codex) τὸν γενέθλιον.

222. Schol. Il. 4, 319. ubi de aoristo ἔκταν agit, Αἰσχύλος — ἐν Σεμέλῃ ἢ Ὑδροφόροις "Ζεὺς ὃς κατέκτα τοῦτον." Etym. Gud. p. 305, 31. τὸ δεύτερον ἔκτας, τὸ τρίτον ἔκτα, οἷον "Ζεὺς ὃς κατέκτα."

223. Schol. Apoll. Rhod. 1, 636. Θυιάσιν ὠμοβόροις: Μαινάσιν. ἔνθεν καὶ τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην, ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας. Hinc patet, ut monuit Nauckius, argumentum dramatis fuisse fabulam notissimam quam tradunt Apollod. 3, 4, 3. et Hyginus fab. 179. et fortasse idem argumentum tractavit Sophocles in Ὑδροφόροις.

ΣΙΣΥΦΟΣ.

Sisyphus duplex fuit: alter δραπέτης, quem memorat Catalogi fabularum scriptor, alter πετροκυλιστής, de quo infra. De Σισύφου δραπέτου, dramatis, ut videtur, satyrici, argumento conf. schol. Il. 6, 153.

224. Pollux 10, 77. ἔξεστι δὲ καὶ σκάφην ὀνομάσαι κατ' Αἰσχύλον [που σκάφην] εἰπόντα ἐν Σισύφῳ

καὶ νίπτρο δὴ χρὴ θεοφόρων ποδῶν φέρειν.
λεοντοβάμων ποῦ σκάφη χαλκήλατος;

νίπτρα ex Aeschylo memorat Pollux 7, 40. Horatius Sat. 2, 3, 21. *olim nam quaerere amabam | quo vafer ille pedes lavisset Sisyphus aere.*

225. Pollux 10, 20. σταθμοῦχος εἴρηται ἐν Αἰσχύλου Σισύφῳ "σὺ δ' ὁ σταθμοῦχος ἐγκατιλλώψας ἄθρει." Libri εὖ κατιλλώψας. ἐγκατιλλώψας dixit Eumen. 113.

226. Aelianus N. A. 12, 5. ἔτι γὰρ καὶ τοὺς Αἰολέας καὶ τοὺς Τρῶας τὸν μῦν προσαγορεύειν σμίνθον, ὥσπερ οὖν Αἰσχύλος ἐν τῷ Σισύφῳ

ἀλλ' ἀρουραῖός τίς ἐστι σμίνθος ὧδ' ὑπερφυής.

τις addidit Grotius. ὧδ' Schneiderus. ὧδ' vel ὡς δ' libri.

227. Erotianus p. 118. (p. 61, 14. ed. Klein.) διόπῳ: τῷ τῆς νηὸς ἐπιμελητῇ, παρὰ τὸ διοπτεύειν (διέπειν Nauckius collato Eust. Od. p. 1705, 33. διέπειν τὸ ἐνεργεῖν λέγει, ὅθεν καὶ δίοπος ὁ οἰκονόμος παρ' Αἰσχύλῳ) Ἀττικὴ δὲ ἡ λέξις, κειμένη — παρ' Αἰσχύλῳ ἐν Σισύφῳ. Conf. fragm. 261.

228. ἄμβωνες: vide fragm. 100.

229. Etym. Gud. p. 227, 40. Etym. MS. Paris. ap. Larcherum in Actis Academiae Inscr. Parisinae vol. 47. (sive in Sturzii Append. ad Orionem p. 243,) et Gaisford. p. 1161. et gramm. cod. Oxon. apud Cramerum Anecd. Oxon vol. 2. p. 443. Ζαγρεύς, ὁ μεγάλως ἀγρεύων, ὡς (ὦ Oxon.) πότνια γῆ Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων, ὁ τὴν Ἀλκμαιωνίδα γράψας ἔφη (πάντων — ἔφη om. Oxon.) τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασὶν, ὡς Αἰσχύλος ἐν Σκύφῳ (ἐν Σκύφῳ om. Oxon.) Ζαγρεῖ τε νῦν με (μοι Oxon.) καὶ πολυξένῳ χαίρειν. ἐν δὲ Αἰγυπτίοις (sic Cramerus post Larcherum. αἰγυπτὶ Oxon. αἰγύπτῳ Gud. et Paris.) οὕτως αὐτὸν διό (οὕτως α. δ. om. Oxon.) τὸν Πλούτωνα καλεῖ, τὸν ἀγραῖον, τὸν πολυξενώτατον διὰ τῶν κεκμηκότων. Quae Hermannus sic correxit, Ζ. ὁ μ. ἀ. "πότνια Γῆ — πάντων," ὡς ὁ τὴν Ἀ — ὡς Αἰσχύλος ἐν Σισύφῳ

Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ πατρὶ
χαίρειν.

ἐν δὲ Αἰγυπτίοις οὕτως αὐτὸν τὸν Πλούτωνα καλεῖ. Tum aliud sequitur excerptum, ἐν δὲ Ἱκέτισι (147.) τὸν Δία, "τὸν γάϊον, | τὸν πολυξενώτατον | Ζῆνα τῶν κεκμηκότων."

230. Etym. Gud. p. 321, 58. κίκυς, ἡ δύναμις. Ἀπολλόδωρος ἰκμάς — καὶ Αἰσχύλος ἐν Σισύφῳ "καὶ θανόντων εἰσὶν οὐκ ἐνεστιγμάσει τὰ (hoc est οἷσιν — vel ἰσίν, ut Nauckius — οὐκ ἔνεστ' ἰκμάς·" εἶτα), "σοὶ δ' οὐκ ἔνεστι κίκις οὐδ' αἱμόρρυτοι φλέβες θανόντων φησὶν ἀψύχοις. quae in cod. Paris. 2631. ap. Cramer. Anecd. Paris. vol. 4. p. 35. sic scripta sunt — καὶ θανόντων εἰσὶν οὐκέτι ἰμᾶσι τὰ σοὶ δ' οὐκ ἔστι κίκυς οὐδὲ — ἀψύχων. Valde haec perturbata, sed ut agnoscas tamen Aeschyli verba [ἰκμάς.

καὶ τῶν θανόντων οἷσιν (ἰσὶν Nauckius) οὐκ ἔνεστ'

Et altero loco,

σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόρρυτοι
φλέβες.

ΣΙΣΥΦΟΣ ΠΕΤΡΟΚΥΛΙΣΤΗΣ.

De profanatis mysteriis fragm. 83.

231. Hesychius, θώψεις: θωπεύσεις. Αἰσχύλος Σισύφῳ πετροκυλιστῇ.

232. Schol. Ar. Pac. 73. Αἰσχύλος ἐν Σισύφῳ πετροκυλιστῇ "Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων (πονῶν?)."

ΣΦΙΓΞ.

Fuit fabula satyrica, acta olymp. 78, 1., addita trilogiae Oedipodeae, de qua diximus ad Laium

233. Athenaeus 15. p. 674 d. post verba supra fragm. 204. apposita ita pergit, καίτοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπών

τῷ δὲ ξένῳ γε στέφανος, ἀρχαῖον στέφος,
δεσμῶν ἄριστος, ἐκ Προμηθέως λόγου.

Libri στέφανον. Correxit Grotius recte, nisi v. 2. ἄριστον scribendum cum Nauckio.

234. Ar. Ran. 1287.

Σφίγγα δυσαμεριᾶν πρύτανιν κύνα πέμπει

ubi scholiasta (v. 1319). vol. 2. p. 139, 17. ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου.

235. Hesychius, κνοῦς: ὁ ἐκ τοῦ ἄξονος ἦχος. λέγεται δὲ καὶ κνόη. καὶ ὁ τῶν ποδῶν ψόφος, ὡς Αἰσχύλος Σφιγγί.

ΤΗΛΕΦΟΣ.

Quae de Telepho Aeschyli tradit schol. Ar. Acharn. 332. ad fabulam Euripideam referenda videri dictum est ad Fragm. Eurip. p. 342.

236. Plato Phaedon. p. 108 a. ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει· ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς Ἅιδου φέρειν. — Clemens Alex. Strom. 4. p. 583. οὐκ ἔστιν οὖν κατὰ τὸν Αἰσχύλου Τήλεφον νοεῖν ἁπλῆν οἶμον εἰς Ἅιδου φέρειν, "ὁδοὶ δὲ πολλαὶ κἀπάγουσ' (καὶ ἀπάγουσαι codex) ἁμαρτίας." Dionysius Halic. Artis rhetor. 6, 5. vol. 5. p. 265. μία γὰρ καὶ ἡ αὐτὴ οἶμος, κατὰ τὸν Αἰσχύλον, εἰς Ἅιδου φέρουσα.

237. Hesychius, ἀμφιδεξίοις χερσί: τοῖς τῶν τόξων, διὰ τὸ ἑκατέραν χεῖρα ἐνεργεῖν ἐν τῷ τοξεύειν. Αἰσχύλος Τηλέφῳ.

Fragmentum ab Timachida ad hanc fabulam relatum vide ad fragm. 92.

ΤΟΞΟΤΙΔΕΣ.

De profanatis mysteriis fragm. 83. Argumentum fuisse Actaeonis mortem coniecit Hermannus et Τοξότιδας nymphas Dianae comites. De persona Actaeonis Pollux 4, 141. τὰ δ' ἔκσκευα πρόσωπα Ἀκταίων ἐστὶ κερασφόρος, ἢ Φινεὺς τυφλὸς cet.

238. Antigonus Carystius Hist. mirab. c. 127. p. 174. τῶν δὲ θηλέων ζῴων τροπικώτερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν ἵππον —, φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς τὸ τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν

ἄδων ταῖς ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων αστει μὴ βλεμμάτων ῥέπει βολή,

καὶ διαλιπὼν προσέθηκεν

νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμὸς, ἥτις ἀνδρὸς ᾖ γεγευμένη·
ἔχω δὲ τούτων θυμὸν ἱππογνώμονα.

V. 1. et 2. nondum emendati, nisi quod Salmasius recte ῥέπει βολὴ pro ῥεπιβουλη correxit. 3. νέας γυναικὸς addidi ex Plut. Mor. p. 81 d. 767 b. qui hunc et sequentem versum sine fabulae nomine attulit, et gramm. ap. Cramer. Anecd. Paris. vol. 1. p. 399. νέας μὲν γὰρ γυναικὸς, ὡς Αἰσχύλος φησὶν, οὔτι λανθάνει φλέγων ὀφθαλμὸς εἴτις ἀνδρὸς γεγευμένη. 5. ἔχω Salmasius pro ἔχων. θυμὸν ἱππογνώμονα ex hoc versu sumsit Etym. M. p. 209, 48. 474, 45.

239. Anecd. Bekk. p. 351, 4. ex Phrynicho, ἄθηρος ἡμέρα: — Αἰσχύλος ἐν Τοξότισι (codex τοξότησι) — ἐπὶ Ἀκταίωνος

οὔπω τις Ἀκτέων' ἄθηρος ἡμέρα
κενὸν πόνου πλουτοῦντ' ἔπεμψεν ἐς δόμους.

Ἀκτέων' scripsi pro Ἀκταίων'. De Actaeone schol. Il. 9, 593. ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε (τὸ ἀμαθύνειν) περὶ τοῦ Ἀκταίωνος λέγων

κύνες διημάθυνον ἄνδρα δεσπότην.

Pollux 5, 47. τὰ μὲν δὴ τῶν Ἀκταίονος κυνῶν ὀνόματα κατὰ τὴν Αἰσχύλου δόξαν Κόραξ, Ἅρπυια (ἀραία codex unus), Χάρων, Λυκάττας. Sic Bekkerus ex cod. Paris. Vulgo Λυκιτᾶς.

240. Hesychius, πεζοφόροις ζώμασιν: Αἰσχύλος Τοξότισιν, ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων, τινὲς δὲ ποδήρεσι. πεζοφόρα ζώματα ex Aeschylo memorat Pollux 7, 54. Apud Photium p. 405, 15. πεζοφοροῦσιν· ἤτοι πέζαν ἐχόντων τῶν χιτώνων· ἢ τοῖς ποδήρεσιν.

[ΤΡΟΦΟΙ. V. ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ.]

ΥΨΙΠΥΛΗ.

Ὑψώ pro Ὑψιπύλη dixit: vide ad fragm. 210.

241. Hesychius, ἀποκορσωσαμέναις: ἀποκειρομέναις· κόρσαι γὰρ τὰς τρίχας. Αἰσχύλος Ὑψιπύλῃ.

242. Schol. Apoll. Rh. 1, 769. Αἰσχύλος δ' ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς (τὰς Λημνίας) ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρι λαβεῖν ὅρκον παρ' αὐτῶν ἀποβάντας (ἀποβᾶσι cod. Flor.) μιγήσεσθαι αὐταῖς. Λήμνιοι fabula Aeschyli in Catalogo memoratur, quod fuerunt qui in Λήμνιαι mutarent. Cuiusmodi errore in eodem Catalogo Σαλαμίνιοι scriptam pro Σαλαμίνιαι. Λημνίας scripserunt Sophocles et inter comicos Aristophanes, Nicochares, Antiphanes et Diphilus, Ὑψιπύλην Euripides. Drama eiusdem trilogiae ac Νεμέα fuisse videtur Nauckio.

ΦΙΛΟΚΤΗΤΗΣ.

De Aeschyli, Sophoclis et Euripidis Philocteta disputavit Dio Chrysostomus orat. 52. cuius verba emendavit Hermannus in Dissert. de hac fabula Opusc. vol. 3. p. 113. 114.

243. Ar. Ran. 1430.

Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί.

ubi schol. ἔστι δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου.

244. Stobaeus 120, 12.

ὦ θάνατε Παιάν, μή μ' ἀτιμάσῃς μολεῖν·
μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν
ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.

Maximus Tyrius 13. p. 241. Reisk. ὦ πούς, ἀφήσω σε; (haec Aeschyli verba esse videntur) ὁ Φιλοκτήτης λέγει· ἄνθρωπε ἄφες καὶ μὴ βόα μηδὲ λοιδοροῦ τοῖς φιλτάτοις μηδὲ ἐνόχλει τὴν Λημνίων γῆν· ὦ θάνατε Παιάν. Respicit etiam Theodorus Metoch. Miscell. p. 347. τὸ τοῦ Αἰσχύλου φθέγγεσθαι "ὦ θάνατε Παιάν, ἰατρὸς μόλε." Plut. Mor. p. 106 d. τοῦτον γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπὼν "ὦ θάνατε Παιάν, ἰατρὸς μόλοις." (Sic Eur. Hipp. 1373. καί μοι θάνατος Παιὰν ἔλθοι.) V. 3. γὰρ om. libri praeter Paris. B. Plut. Mor. p. 109 f. sine poetae nomine ἄλγος γὰρ ὄντως οὐδὲν ἅπτεται νεκροῦ. Similiter Soph. Oed. Col. 955. θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται, et Eur. Alc. 937. τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε.

245. Suidas

ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ,

ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων τοῦτο λέγεται. φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης. Versus proverbialis apud Plut. Mor. p. 476 b. apud Diogenian. 4. 88. Greg. Cypr. 2, 47. Greg. Cypr. Leid. 2, 13. Greg. Cypr. Mosq. 3, 20. Apostol. 8, 30. οὔτε πλεῖν] οὔτ' ἐκπλεῖν apud Diogenian. et Suidam. Aristaenetus 1. 27. p. 121. ἔνθα, φησίν, ἄνεμος οὔτε πλεῖν ἐᾷ.

246. Aristoteles Poet. c. 22. p. 1458 b, 23. τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μεταθέντος ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλόν, τὸ δὲ εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε

φαγέδαιναν, ἥ μου σάρκας ἐσθίει ποδός.

(φαγέδαινα libri.) ὁ δὲ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκε. Scripserat igitur σάρκα θοινᾶται.

247. Athenaeus 9. p. 394 a. κἀν Φιλοκτήτῃ δὲ κατὰ γενικὴν κλίσιν φαβῶν εἴρηκεν (Αἰσχύλος).

248. Plutarchus Moral. p. 1087 f ἐκ δὲ τοῦ πόνου μάρτυς ὁ Αἰσχύλου Φιλοκτήτης ἱκανός.

οὐ γὰρ δακὼν (φησὶν) ἀνῆκεν, ἀλλ' ἐνῴκισε
δεινὴν στομωτὸν ἔκφυσιν ποδὸς λαβών.

V. 1. δακὼν pro ὁ δράκων G. A. Hirschigius. 2. στομωτὸν pro στομάτων Hermannus. λαβὼν pro λαβεῖν Valck. βλάβην Schneidewinus Philol. vol. 4. p. 658.

249. Schol. Odyss. 14, 12. ὁ δὲ Κράτης τὴν τῶν δασυτάτων φυτῶν μελάνδρυόν φησιν, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ

κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου.

Apud Eustathium p. 1748, 57. est κρεμάσας. unde κρεμάσας τὸ τόξον Bothius. κρεμαστὰ τόξα Hermannus.

250. Photius p. 326, 9. ὀκόρνους: τοὺς πάρνοπας. Αἰσχύλος Φιλοκτήτῃ. Hesychius, ὀκόρνους: τοὺς ἀττελέβους· καὶ τὰ ὀκριώδη οὕτω λέγουσιν.

ΦΙΝΕΥΣ.

251. Non memoratur haec fabula in Catalogo. Acta est olymp. 76, 4: vid. Argum. Persarum supra p. 26. Unum ex ea fragmentum debemus Athenaeo 10. p. 421 f. Αἰσχύλος ἐν Φινεῖ

καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου
ἐρρυσίαζον στόματος ἐν πρώτῃ χαρᾷ.

V. 1. μαργώσῃ γνάθῳ vel μαργώσαις γνάθοις Nauckius. 2. ἐρρυσίαζον pro ἐρρυσίας οἷον Lobeckius ad Phryn. p. 739. πρώτῃ] πρωτω codex.

ΦΟΡΚΙΔΕΣ.

Aristoteles Poet. c. 18. p. 1456 a, 2. τὸ δὲ τέταρτον (τραγῳδίας εἶδος), οἷον αἵ τε Φορκίδες καὶ Προμηθεὺς καὶ ὅσα ἐν Ἅιδου. Hanc fabulam eiusdem fuisse trilogiae ac Polydecten coniecit Welckerus. De mytho vide schol. Apoll. Rh. 4, 1515.

252. Athenaeus 9. p. 402 b. οἱ περὶ τὴν Σικελίαν κατοικοῦντες ἀσχέδωρον καλοῦσι τὸν σύαγρον· Αἰσχύλος γοῦν ἐν Φορκίσι παρεικάζων τὸν Περσέα τῷ ἀγρίῳ συΐ φησιν "ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς." Attulit Eustathius p. 1872, 6. Anecd. Bekkeri p. 457, 21. ἀσχέδωρος: παρ' Αἰσχύλῳ ὁ ἐκ τῆς ἰδίας ἀλκῆς ἄσχετα δωρούμενος, οἷον βίαιος. Ἰταλιῶται τὸν σύαγρον ἀσχέδωρον καλοῦσιν.

253. Eratosthenes Catast. c. 22. Περσεύς. — δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φορκίσι (φορκύσι libri) φησὶν ὁ τῶν τραγῳδιῶν ποιητής, Φόρκυσιν.. ἃς εἶχον προφύλακας αἱ Γοργόνες. Eadem tradit Hyginus Poet. Astron. 2, 12. "*sed ut ait Aeschylus tragoediarum scriptor in Phorcisi, Graeae fuerunt Gorgonum custodes.*" unde Eratosthenis locum corrigit Hermannus, ἐξ ἀδάμαντος, ὡς δὲ Αἰσχύλος ἐν Φορκίσι φησίν, ὁ τῶν τραγῳδιῶν ποιητής, Γραίας εἶχον προφύλακας αἱ Γοργόνες.

ΦΡΥΓΕΣ Η ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ.

Videtur tertia fuisse fabula trilogiae de qua dictum ad Myrmidones.

254. Scriptor vitae Aeschyli, διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων κωμῳδεῖται παρὰ Ἀριστοφάνους. ἐν μὲν γὰρ τῇ Νιόβῃ ἕως τρίτου μέρους ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη. ἐν δὲ δὴ τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. Ar. Ran. 911. (942 Kust.) πρώτιστα μὲν γὰρ ἕνα τιν' ἂν καθῖσεν ἐγκαλύψας, | Ἀχιλλέα τιν' ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς, | πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί. ubi schol. vol. 2. p. 110, 25. ὡς αὐτοῦ εἰσφέροντος ἐν δράμασί τινα κεκαλυμμένον. ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ' Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λύτροις. οὐδὲν δὲ ὁ Ἀχιλλεὺς φθέγγεται. Ἄλλως. (scholion recentius) εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν Ἀχιλλέα ἢ Ἕκτορος λύτροις, ἢ τὸν ἐν Μυρμιδόσιν (de hoc non cogitandum), ὅς μέχρι τριῶν ἡμερῶν (μερῶν?) οὐδὲν φθέγγεται. Schol. ad Aeschyli Prom. 435. σιωπῶσι γὰρ παρὰ τοῖς ποιηταῖς τὰ πρόσωπα ἢ δι' αὐθαδίαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ Σοφοκλέους, ἢ διὰ συμφοράν, ὡς ἡ Νιόβη παρ' Αἰσχύλῳ, ἢ διὰ περίσκεψιν, ὡς ὁ Ζεὺς παρὰ τῷ ποιητῇ πρὸς τὴν τῆς Θέτιδος ἀπαίτησιν. Qui Sophoclem memoriae errore pro Aeschylo nominavit. Quod apud Stobaeum 8, 5. legitur Σοφοκλέους Φρυγῶν, additis quattuor versibus, fortasse ex Σ. Φριξῳ corruptum.

255. Pollux 7, 91. ἃ δὲ ποδεῖα Κριτίας καλεῖ, εἴτε πίλους αὐτὰ οἰητέον εἴτε περιειλήματα ποδῶν, ταῦτα πέλλυτρα καλεῖ ἐν Φρυξὶ (sic Bekkerus. φρυνὶ codex Paris. Φινεῖ M. Schmidtius Philol. vol. 18. p. 228. Vulgo Φοινίσσαις) Αἰσχύλος

πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις.

τὰ δὲ πέλλυτρα εἶδος ὑποδήματος, ὥσπερ αὖ τὰ ποδεῖα ταυτὸν ἦν ταῖς ἀναξυρίσιν, ἃς σκελέας ἔνιοι ὀνομάζουσι. πέλλυτρα memorat idem 10, 50. Sophoclem pro Aeschylo nominans, ἃ δὲ ὑπεῖναι δεῖ ποδεῖα, πίλους, πέλλυτρα· οὕτω γὰρ τὰ ποδεῖα Σοφοκλῆς καλεῖ. Recto vero 2, 196. καὶ ποδεῖα τοὺς περὶ τοῖς ποσὶ πίλους Κριτίας, ἅπερ Αἰσχύλος πέλλυτρα καλεῖ. Iu πελλυταί corruptum apud Hesychium.

256. Pollux 7, 131. τῷ φορτηγῷ ἐπὶ τῶν τὰ φορτία ἀγόντων ἐμπόρων κέχρηται Αἰσχύλος ἐν Φρυξὶν ἢ λύτροις

ἀλλὰ ναυβάτην
φορτηγόν, ὅστις ῥῶπον ἐξάγει χθονός.

257. Stobaeus 125, 7. Αἰσχύλου Ἕκτορος

καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν,
ὃ γοῦν κακουργεῖν ἀμφιδεξίως ἔχει
καὶ μήτε χαίρειν μήτε λυπεῖσθαι βροτούς.
ἡμῶν γε μέντοι Νέμεσίς ἐσθ' ὑπερτέρα
καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.

V. 1. εἰ θέλεις habet M, om. AB. 2. ὃ γοῦν ABM Vind. τὸ γοῦν Trinc. εἴτ' οὖν Hermannus. τοὺς θανόντας οὔτ' ἔχεις εὐεργετεῖν | οὔτ' αὖν Nauckius. 3. καὶ — βροτούς] τῷ (sic Salmas.) — φθιτοὺς Hermannus. 5. κότον] τόκον Nauckius. εἰ δίκην πράσσει κότος Engerus in Annot. ad Trag. Fragmenta (Ostrovii a. 1863.) p. 26. Idem ad hunc locum refert versum ab Suida s. v. παλαιγενὲς servatum εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι, qui ab Achille pronuntiatus videatur, ad quem responderit Priamus oratione ex qua excerpti sint versus ab Stobaeo servati.

258. Apud Stobaeum 4, 21. lemma legitur Αἰσχύλος ἐν Φρυξί, praescriptum versui hexametro πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν, qui non est Aeschyli, cui duo potius versus illi sunt tribuendi qui inter 15. et 16. sine lemmate leguntur

οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν·
σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ.

Quod vidit Hermannus. Adiectivo ποδώκης tribus aliis in locis usus est Aeschylus. Qui vero apud Stobaeum sequitur versus (16.) cui ipsi quoque Αἰσχύλου nomen praescriptum est, "ἢ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων," neque Aeschyli est neque, ut opinor, alius tragici, sed comici potius, velut Menandri aut Philemonis.

259. Athenaeus 2. p. 51 c. μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος

ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων.

Ad hunc versum respiciunt Pollux 6, 46. Photius p. 275, 19. Eustathius p. 211, 17.

260. Schol. Eur. Andr. 1. vol. 4. p. 122. ἔνιοι δὲ καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν· ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτὴν λέγων

Ἀνδραίμονος γένεθλον * * Λυρνησσίου,
ὅθενπερ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην.

V. 1. utrum ἦν exciderit an, quod Hermannus proposuit, ὦ incertum manet. 2. ὅθενπερ Ἕκτωρ] σ' addit Hermannus. ὅθεν παρ' Ἕκτορος cod. Gad. et Taur. Adverbium ὅθεν ad Λυρνησσὸν refertur, quod latet in Λυρνησσίου.

261. Hesychius, ἀδίοπον: ἄναρχον καὶ ἀφύλακτον. Αἰσχύλος Φρυξί· δίοποι γὰρ οἱ τῆς νεὼς φύλακες. Eadem in Bekkeri Anecd. p. 344, 8. non nominato auctore. Eustathius p. 203, 11. ἐκ δὲ τούτου οὐ μόνον δίοποι οἱ ἄρχοντες, ὡς καὶ Αἰσχύλος δηλοῖ, ἀλλὰ καὶ ἀδίοποι οἱ μὴ ἀρχόμενοι. ἀδίοπος γάρ, φασίν, ὁ ἄναρχος καὶ ἀφύλακτος, ἐπεὶ δίοποι οἱ βασιλεῖς καὶ οἱ διέποντες. Conf. fragm. 227. ἀδίοπον Aeschylum πέλαγος dixisse ex alia colligi potest glossa Hesychii, ἀδίεπον: ἄναρχον, ἀνερεύνητον (ἄναρκτον Nauckius) πέλαγος.

262. "Reddit Achilles Priamo corpus Hectoris pari pondere auri repensum. Scholiastes Ven. ad Iliad. 22, 351. ad illud, οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι Δαρδανίδης Πρίαμος· ἡ διπλῆ, ὅτι ὑπερβολικῶς λέγει. ὁ δὲ Αἰσχύλος ἐπ' ἀληθείας ἀνθιστάμενον χρυσὸν πεποίηκε πρὸς τὸ Ἕκτορος σῶμα ἐν Φρυξίν Schol. Townl. ὁ μέντοι Αἰσχύλος Ἕκτορος λύτροις ἀληθὲς αὐτὸ ἐξεδέξατο. Eo pertinet quod Hesychius habet: ἄροτον: τὸν ὁλκὸν τοῦ Ἕκτορος, ἢ τὸ ἀντίσταθμον. Αἰσχύλος Φρυξίν. Interpretationum quas attulit Hesychius veram esse oportet priorem: neque enim fieri potuit ut pondus par diceretur ἄροτος." HERMANN.

263. Hesychius, διαπεφρούρηται βίος: Αἰσχύλος Φρυξίν. οἷον ἡ διὰ τοῦ βίου φρουρὰ (codex φθορὰ) συντετέλεσται· ἢ διελήλυθεν ὁ χρόνος.

264. Hesychius, ἐπιστροφαί: διατριβαί, δίαιται. Αἰσχύλος Φρυξί. Hoc nomine saepius usus est Aeschylus: unde versus ab Eustathio p. 1484, 50. sine nomine poetae allatus

Κίλιξ δὲ χώρα καὶ Σύρων ἐπιστροφαί

recte tribui videtur Aeschylo. Corruptum Σηρῶν correxi ex Aristide vol. 1. p. 239, 15. οὔτε Αἴγυπτος οὕτω πόρρω οὔτε Τυρρηνικὸν πέλαγος οὔτε Σύρων καὶ Κιλίκων, ποιητὴς ἂν εἴποι τις, ἐνστροφαί. cui vicissim ἐπιστροφαὶ restituendum ex Eustathio. "Fortasse cum hoc versu iungendum est adespoton illud quod Strabo 12. p. 572. aliique habent χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα, ita ut scribamus, χωρὶς — ὁρίσματα | Κίλιξ τε — ἐπιστροφαί." NAUCK.

265. Hesychius, ἀγαστά: ἃ ἄν τις ἀγάσαιτο, οἷον
ζ
ἀρεστά. Αἰσχύλος Φρυξί. Codex φρύ.

266. Hesychius, τιτῆναι: βασιλίδες (Αἰσχύλος ἐν Φρυξὶν addit Sopingius) ἢ Ἕκτορος λύτροις. Corrupte infra τιτήνη: ἡ βασίλισσα. et τιταξ: ἔντιμος ἢ δυνάστης, οἱ δὲ βασιλεύς.

267. Athenaeus 1. p. 21 f. Ἀριστοφάνης ποιεῖ αὐτὸν τὸν Αἰσχύλον λέγοντα "τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν." καὶ πάλιν "τοὺς Φρύγας οἶδα θεωρῶν, | ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα | πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντες." De his dixi ad Aristophanis fragmenta p. 514. ed. Oxon. Hermannus l. c. p. 156. "Patet haec sic ab histrione acta esse, ut rideri gestus appareret, quibus saltantes fecisset Aeschylus Phryges. Ii sunt autem Troiani."

268. Schol. Il. 2, 862. οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως. Αἰσχύλος δὲ (fortasse in Phrygibus) συνέχεεν. Eadem Eustathius p. 364, 42.

ΨΥΧΑΓΩΓΟΙ.

269. Phrynichus Bekkeri p. 73, 10. Ψυχαγωγός: — οἱ ἀρχαῖοι τοὺς τὰς ψυχὰς τῶν τεθνηκότων γοητείαις τισὶν ἄγοντας (ἀνάγοντας Nauckius). τῆς αὐτῆς ἐννοίας καὶ τοῦ Αἰσχύλου τὸ δρᾶμα Ψυχαγωγός. Corrige Ψυχαγωγοί.

270. Schol. Od. 11, 134. Αἰσχύλος ἐν Ψ.

ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος
ὄνθῳ σε πλήξει, νηδύος χιλώμασιν.
ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος
σήψει παλαιὸν δέρμα καὶ τριχορρυές.

Vide Valckenar. Diatrib. p. 286. qui dramatis argumentum ex Homeri Νεκυίᾳ repetitum esse coniecit.

271. Ar. Ran. 1297.

Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.

ubi scholiasta, ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν.

272. Hesychius, δρώπτειν: διακόπτειν, ἢ διασκοπεῖν. Αἰσχύλος Ψυχαγωγοῖς.

273. Pollux 10, 10. αὐτὸ μὲν γὰρ τοὔνομα τῆς σκευοθήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου Ψυχαγωγοῖς

καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων.

274. Photius p. 534, 1. et Suidas, σταθερόν: — τινὲς καὶ ἐπὶ τοῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς "σταθεροῦ χεύματος."

275. Schol. Apoll. Rh. 3, 846. ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ συγκατατίθεται καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαῖραν. Conf. Eustathium p. 648, 40.

ΨΥΧΟΣΤΑΣΙΑ.

Hermanni dissertatio in Opusc. vol. 7. p. 343.

276. Plut. Mor. p. 16 F. exemplum eorum, quae ab ipsis sint poetis conficta, allaturus ita scribit: οἷον ἐπὶ τοῦ Διὸς εἰρηκότος Ὁμήρου, "ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, | τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο. | ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ'

Ἕκτορος αἴσιμον ἦμαρ· | ᾤχετο δ' εἰς Ἀΐδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων," τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν ἐπιγράψας Ψυχοστασίαν καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν τὴν Θέτιν, ἔνθεν δὲ τὴν Ἠῶ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων. τοῦτο δὲ παντὶ δῆλον ὅτι μυθοποίημα καὶ πλάσμα πρὸς ἡδονὴν ἢ ἔκπληξιν ἀκροατοῦ γέγονε. Schol. A. Il. 8, 70. κῆρε —: ὅτι τὰς θανατηφόρους μοίρας λέγει· ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχὰς ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἐστιν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν. (Similiter Eust. p. 699, 30.) Et ibidem Porphyrius: πρὸς Αἰσχύλον Ψυχοστασίαν γράψαντα. Schol. ad 22, 210. κῆρος τὰς μοίρας λέγει, οὐ τὰς ψυχάς, ὡς ἐξεδέξατο φαύλως Αἰσχύλος. Et Eust. p. 1266, 37. φασὶ δὲ οἱ παλαιοὶ ἐκ τούτου τοῦ χωρίου πεπλάσθαι, ὡς καὶ αὐτὸ προεδηλώθη, τὴν Ψυχοστασίαν τῷ Αἰσχύλῳ, κῆρε νοήσαντι τὰς ψυχάς, ὡς καθόλου τοῦ Διὸς ψυχὰς ἱστῶντος. Pollux 4, 130. ἀπὸ δὲ τοῦ θεολογείου ὄντος ὑπὲρ τὴν σκηνὴν ἐν ὕψει ἐπιφαίνονται θεοί, ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν ἐν Ψυχοστασίᾳ. ἡ δὲ γέρανος μηχάνημά τί ἐστιν ἐκ μετεώρου καταφερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται ἡ Ἠὼς ἁρπάζουσα τὸ σῶμα τοῦ Μέμνονος.

277. Hesychius, ἀνηκίδοτοι: ἄνευ ἀκίδος. Αἰσχύλος Ψυχοστασίᾳ. Anecd. Bekkeri p. 402, 25. ἀνηκίδωτοι: ἄνευ ἀκίδος. Quae vera scriptura est, servata etiam in inscriptionibus naval. ap. Boeckh. p. 110. Arcadius p. 82, 24. ἀνακίδωτος (sic codex Havn.: Parisini ἀνακινδύνευτος), ἄνευ ἀκίδος. Simplex ἀκιδωτός memorat grammaticus Bekkeri p. 371, 24. de quo v. Schmidtius ad Hesychii gl. ἀκίδωτον βέλος.

278. Hesychius, αὐριβάτας: Αἰσχύλος τὸ αὖρι (sic pro αὔριον Pauwius) ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ οὕτως φησὶ τὸ ὄνομα ταχυβήμων (sic pro ταχυβήλων Salmasius). Conf. Anecd. Bekkeri p. 464, 8. αὐρίβατον: τὸ αὖρι τιθέασιν ἐπὶ τοῦ ταχέως, καὶ τάχα οὐκ ἀπὸ τῆς αὔρας, ἀλλὰ κατά τινα βαρβαρικὴν λέξιν, τάχα δὲ καὶ ἀπὸ τοῦ αὔριον.

279. Strabo 15. p. 728. λέγονται δὲ καὶ Κίσσιοι οἱ Σούσιοι. φησὶ δὲ καὶ Αἰσχύλος τὴν μητέρα Μέμνονος Κισσίαν. Ad Ψυχοστασίαν refert Butlerus, ad Memnonem Hermannus.

ΩΡΕΙΘΥΙΑ.

280. Longinus de subl. c. 3, 1. post lacunam duorum foliorum

* * *

καὶ μὴ καμίνου σχῶσι μάκιστον σέλας.
εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον,
μίαν παρείρας πλεκτάνην χειμάρροον
στέγην πυρώσω καὶ κατανθρακώσομαι.
νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος.

οὐ τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν καὶ τὰ ἄλλα ἑξῆς. τεθόλωται γὰρ τῇ φράσει καὶ τεθορύβηται ταῖς φαντασίαις μᾶλλον ἢ δεδείνωται. Ioannes Siceliota apud Ruhnken. ad h. l. (ap. Walzium vol. 6. p. 225.) φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ (Aeschyli) μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν· οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβεῖα ἐπιλαθόμενος. διὸ καὶ Σοφοκλῆς (οὐ add. Ruhnk.) μιμεῖται. λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέστερον ἐν τῷ κα' τῶν φιλολόγων. V. 1. μὴ addidit Tollius. 2. Non opus Dobraei coniectura (Adversar. vol. 1. p. 31.) δόμων pro μόνον. ψόλον Weliauerus. 3. De forma soluta χειμάρροον dixi ad fragm. 304.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ.

281. Plato Reipubl. 2. p. 383 a. πολλὰ ἄρα Ὁμήρου ἐπαινοῦντες ἄλλα τοῦτο οὐκ ἐπαινεσόμεθα τὴν τοῦ ἐνυπνίου πομπὴν ὑπὸ Διὸς τῷ Ἀγαμέμνονι, οὐδ' Αἰσχύλου, ὅταν φῇ ἡ Θέτις τὸν Ἀπόλλω ἐν τοῖς αὑτῆς γάμοις ᾄδοντα ἐνδατεῖσθαι τὰς ἑὰς εὐπαιδίας

νόσων τ' ἀπείρους καὶ μακραίωνας βίους,
ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας
παιῶν' ἐπευφήμησεν εὐθυμῶν ἐμέ.
κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα
ἤλπιζον εἶναι, μαντικῇ βρύον τέχνῃ,
ὁ δ' αὐτὸς ὑμνῶν, αὐτὸς ἐν θοίνῃ παρών,
αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανὼν
τὸν παῖδα τὸν ἐμόν.

Repetivit haec ex Platone Eusebius Praep. Evang. 13, 3. p. 647. (ubi perperam scriptum v. 2. καὶ μακραίωνος βίου, v. 3. in libris pluribus ἐπιών, v. 4. παιών vel παιῶν'). Versus 5—9. attulit Athenagoras in legat. pro Christ. p. 22. (90. ed. Ox. 80 Ott.), versus 7. 8. ἀνωνύμως Plut. Mor. p 16 e. ubi pro θοίνῃ legitur δαιτὶ et διαίτῃ, et, qui eos Sophocli tribuit, Phoebammon Rhet. vol. 8. p. 518. ubi scriptum ἐν γάμοις. V. 7—9. Latine reddidit anonymus de figuris ab Schneidewino editus p. 33. *ipse epulans, ipse exponens laeta omnia nuptae, ipse patrem prolemque canens, idem ipse peremit.* Ὅπλων κρίσει hunc locum adscribit Ern. Schneiderus. V. 7. ὁ δ'] ὃν Plut.

282. Stobaeus Ecl. Phys. 1, 3, 24. vol. 1. p. 118. Heeren. (p. 9. Canter.) Αἰσχύλου

δράσαντι γάρ τι καὶ παθεῖν ὀφείλεται.

Legebatur γάρ τοι. Correxit Nauckius in Philol. vol. 4. p. 535. ex versu Sophoclis (fragm. 216.) τὸν δρῶντα γάρ τι καὶ παθεῖν ὀφείλεται, quem in mente habuit, ut videtur, schol. Pindari Nem. 4, 51. (ad verba poetae ῥέζοντά τι καὶ παθεῖν ἔοικεν) παρὰ τοῦτο ὁ τραγικός "τὸν δρῶντά πού τι καὶ παθεῖν ὀφείλεται." Aeschylus Choeph. 313. δράσαντι παθεῖν, τριγέρων μῦθος τάδε φωνεῖ. Arrian. Anab. 6, 13, 5. τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου ὅτι τῷ τι δρῶντι καὶ παθεῖν ἐστιν ὀφειλόμενον.

283. Theophilus ad Autolycum 2, 54. p. 256. ed. Wolf. ὅτι μέλλει ἡ τοῦ θεοῦ κρίσις γίνεσθαι καὶ τὰ κακὰ τοὺς πονηροὺς αἰφνιδίως καταλαμβάνειν, καὶ τοῦτο Αἰσχύλος ἐσήμανε λέγων

τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς
καὶ τἀμπλάκημα τῷ περῶντι τὴν θέμιν.

Affert Stobaeus l. c. p. 118., omisso nomine poetae. V. 1. τὸ] τῷ Stobaeus. τοι om. Theoph. 2. καὶ τἀμπλάκημα] κατ' ἀμπλάκημα Hermannus.

284. ὁρᾷς δίκην ἄναυδον οὐχ ὁρωμένην
εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ·
ἑξῆς δ' ὀπηδεῖ δόχμιον, ἄλλοθ' ὕστερον.
οὐδ' ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένα,
ὅ τι ἂν ποιῇς, νόμιζ' ὁρᾶν θεούς τινα.

Affert hos versus, in quibus plura sunt minime Aeschylea, Theophilus ibidem et omisso nomine poetae Stobaeus l. c. p. 120. V. 4. οὐδ' ἐγκαλύπτει] οὐδὲν καλύπτει Stobaeus. 5. qui alius poetae esse videtur, apud Theophilum sic scriptus in libris editis, ὅ τι δ' ἂν ποιεῖς νόμιζ' ὁρᾶν θεούς τινας, sed in codd. ὅ τι ἂν ποιῇς δεινὸν νόμιζε ὁρᾶν τινα. Apud Stobaeum ὅ τι δ' ἂν ποιῇς ἀεὶ νόμιζ' ὁρᾶν τινα.

285. Stobaeus Eclog. 2, 7, 10. p. 340. Αἰσχύλου

κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.

Idem versus in Men. mon. 679.

286 a. Stobaeus 3, 1. Αἰσχύλου.

ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδώς, σοφός.

Praecedit versus ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς, qui non est Aeschyli. Recte eum omittit codex Paris. A.

286 b. Stobaeus 3, 10. Αἰσχύλου (τοῦ αὐτοῦ A, ubi praecedit fr. 286 a)

ἁμαρτάνει τοι καὶ σοφοῦ σοφώτερος.

τοι A. τι M. τε alii.

287. Stobaeus 9, 23. schol. Il. 2, 114. Eustath. p. 188, 44.

ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

Attulit etiam Sextus in Fabricii Biblioth. vol. 12. p. 626. addito alio Aeschyli versu

ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου τιμᾷ θεός.

288. Stobaeus 18, 13. et ἀνωνύμως Athen. 10. p. 427 f.

κάτοπτρον εἴδους χαλκὸς ἔστ', οἶνος δὲ νοῦ.

289. Stobaeus 20, 13.

ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι.

Ex Promethei v. 378. ὀργῆς νοσούσης (correxi ζεούσης) εἰσὶν ἰατροὶ λόγοι detortus putatur, cui similis est versus inter Men. monost. 550. et apud Georg. Pachym. p. 222. ed. Boiss. ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος.

290. Stobaeus 27, 2. Αἰσχύλου (Ἀλέξιδος Arsen. p. 579, 25. et Trinc.)

οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ.

291. Stobaeus 29, 21.

φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

Euripidi tribuunt Trinc., Arsenius p. 712, 13. et Apostolius 19, 98. Fortasse excidit Aeschyli Persarum versus 742. ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς ξυλλαμβάνει. φιλεῖ δὲ τῷ] φιλεῖ (φιλοῖ pr.) δέ τοι δαιμόνιε τῷ cod. Scor. Hoc δαιμόνιε Aeschylum interposuisse nemo facile credet.

292. Stobaeus 29, 24.

καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.

γέροντι Men. mon. 297. γέροντα Stobaeus.

293. Stobaeus 34, 5.

πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

294. Stobaeus 45, 14.

κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί.

295. Stobaeus 98, 49.

τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέραν φρονεῖ
καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά.

V. 1. ἐφ' ἡμέραν] Legebatur ἐφήμερα, quod ἐφημέρια scriptum in Vind. et apud Apostolium. ἐφ' ἡμέρᾳ Lobeck. ad Soph. Ai. p. 444.

296. Stobaeus 115, 10.

γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.

297. Athenaeus 7. p. 303 c. μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος λέγων

σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρους
ὃς ἀστενακτὶ θύννος ὣς ἠνέσχετο
ἄναυδος.

καὶ ἀλλαχοῦ

τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην.

ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος. V. 1. κἀπιχαλκεύειν μύδρους (μύδρος Dobraeus) Iacobsius. κἀπιχαλκεύει λέγων μύδρους codex. 2. ἠνέσχετο Iacobsius. ηὔχετο codex. ἠνείχετο Hermannus. 3. ἄναυδος Musurus. ἂν λυδος codex. Versum 4. afferunt Aelianus N. A. 9, 42. Plut. Mor. p. 979 e. schol. Oppiani Hal. 4, 504. 525. Eust. p. 994, 52. Apostolius 10, 38. τὸ σκαιὸν in οὗτος καὶ corruptum in cod. Athenaei.

298. Athenaeus 11. p. 491 a. (et ex Epitome Eust. p. 1713, 4.) καὶ Αἰσχύλος δ' ἐκφανέστερον προσπαίζων τῷ ὀνόματι (τῶν Πελειάδων) κατὰ τὴν ὁμοφωνίαν

αἱ δ' ἑπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι
πατρὸς μέγιστον ἆθλον οὐρανοστεγῆ
κλαίεσκον, ἔνθα νυκτέρων φαντασμάτων
ἔχουσι μορφὰς ἄπτεροι Πελειάδες.

ἀπτέρους γὰρ αὐτὰς εἴρηκε διὰ τὴν πρὸς τὰς ὄρνεις ὁμωνυμίαν. Schol. Il. 18, 486. τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς καταστερισθῆναί φησιν Αἰσχύλος. Ad Heliades refert Butlerus. V. 3. κλαίεσκον] In opica imperfecti forma servavi diphthongum nec κλάεσκον scripsi, quia res incerta est. Librorum in hac re auctoritas nulla est.

299. Plut. de vita et poesi Homeri c. 157. vol. 5. p. 1196. ed. Wytt. Αἰσχύλος μὲν δεύτερος (ἐμμέτρως Wytt.: sequitur enim ἐν δὲ πεζῇ λέξει Δημοσθένης) λέγων οὕτως ἔφη

ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν
θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου,
οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον.

300. Clemens Alexandr. Strom. 6. p. 739. ἀκήκοα δὲ Αἰσχύλου μὲν λέγοντος

οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα
καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν.

Priorem versum affert Stobaeus 39, 14. Sophocli tributum, ubi δεῖ pro χρή, et sine poetae nomine Diogenianus 7, 35. Alterum versum non videri Aeschyli esse dixi in annot. ad Clem. Alex. vol. 3. p. 127.

301. Plut. Mor. p. 106 c. ὁ δ' Αἰσχύλος καλῶς ἔοικεν ἐπιπλήττειν τοῖς νομίζουσι τὸν θάνατον εἶναι κακόν, λέγων ὧδε

ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί,
ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.

V. 1. ἔχθουσιν] ἔχθονται codices, ut videtur. 2. ὅσπερ] ὅπερ Nauckius.

302. Plut. Mor. p. 827 c. ἀναγκαζόμενον τὸ Αἰσχύλειον ἀναφωνεῖν, ᾧ πρὸς τὴν τύχην ἐχρῆτο Δημήτριος ὁ πολιορκητὴς ἀποβαλὼν τὴν ἡγεμονίαν "σύ τοί με φυσᾷς, σύ με καταίθειν δοκεῖς." Idem V. Demetrii c. 35. p. 905 d. διὸ καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον "σύ τοί μ' ἔφυσας (libri alii με φυσᾷς, ut scriptum est apud Plut. Mor.), σύ με καταίθειν δοκεῖς. Ad postrema verba Sintenis has annotavit librorum varietates "σύ με καταίθειν δοκεῖς P. D. et Moral. l. c. σύ μοι καταίθειν δοκεῖς B. C. fueratque in A, sed correctum σύ με καταίθειν δοκεῖς. Vulgo σύ με καταίθειν μοι δοκεῖς, quod est in cod. 1679." Aptam sententiam praebet Grotii coniectura σύ τοί μ' ἔφυσας, σύ με καταφθιεῖν δοκεῖς, nisi quod καταφθίσειν scribere debebat.

303. Aelian. N. A. 12, 8. ζῷόν ἐστιν ὁ πυραύστης, ὅπερ οὖν χαίρει μὲν τῇ λαμπηδόνι τοῦ πυρὸς καὶ προσπέταται τοῖς λύχνοις ἐν ἀκμαζούσῃ ἔτι τῇ φλογί, καὶ δοκεῖ τι λήψεσθαι, ἐμπεσὼν δὲ ὑπὸ ῥύμης εἶτα μέντοι καταπέφλεκται. μέμνηται δὲ αὐτοῦ καὶ ὁ Αἰσχύλος ὁ τῆς τραγῳδίας ποιητὴς λέγων

δέδοικα μωρὸν κάρτα πυραύστου μόρον.

Attulerunt Suidas s. v. πυραύστου, Zenobius 5, 79. Apostolius 20, 65. Imitatur Philes carm. v. 464. Versum a quibusdam ad Προμηθέα πυρφόρον relatum esse dixi ad fragm. 190. Mirum πυραύστου syllaba prima producta.

304. Scriptor dissertationis de Nilo, quae primum edita ab H. Stephano (in appendice ad Aristotelis et Theophrasti scripta quaedam, Parisiis a. 1557.) ex codice Laurentiano 56, 1. seculi decimi tertii, de quo dixit Val. Rosius in Anecdotis Graeco-Latinis fasc 1. p. 9. seqq., nunc libro secundo Athenaei, quocum nihil commune habet, subiecta est p. 165. ed. nostrae, quia in Parisino aliisque apographis nonnullis Athenaei legitur folii vacui explendi caussa, Αἰσχύλος

γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι
Αἰθιοπίδος γῆς, Νεῖλος ἔνθ' ἑπτάρροος
γαῖαν κυλίνδει πνευμάτων ἐπομβρίᾳ,
ἐν δ' ἥλιος πυρωπὸς ἐκλάμψας χθονὶ
τήκει πετραίαν χιόνα· πᾶσα δ' εὐθαλὴς
Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη
φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

V. 2. correxi codicis scripturam ἔνθα Νεῖλος ἑπτάρρους. Non tam indoctus fuit Aeschylus ut ἔνθα Νεῖλος ἑπτάρους scriberet, quod quibusdam placuit — quemadmodum Πηνειὸς βαθύρους ab scriptore carminis Sibyllini 5, 134. et similia ab aliis inferiorum temporum poetis dicta sunt — quum in promptu esset Νεῖλος ἔνθ' ἑπτάρροος. πλατύρρους Νεῖλος est in Prometheo v. 852., sed soluta similis adiectivi forma utitur fragm. 280. μίαν παρείρας πλεκτάνην χειμάρροον. 3. πνευμάτων] Conf. Aristid. vol. 2. p. 339. Iebb. et 335, 7. 336, 4. 345, 9. schol. Apoll. Rh. 4, 266. ἐπομβρίᾳ cod. Paris. ἐπομβρίαις Steph. 4. ἐν δ' ἥλιος πυρωπὸς Hermannus Opusc. vol. 7. p. 349. Legebatur ἐν ᾗ πυρωπὸς ἥλιος. Apud Stephanum ἐν ᾗ πυρωτὸν μηνὸς ἐκλάμψαν φλόγα. 5. 6. inverso or-

dise apud Stephanum. δ. πετραίαν] πετραίην Steph. 7. ἀντέλλει cod. Paris. ὀγγέλλει Steph.

In eadem fabula fortasse lectum fuit quod ex Aeschylo refert Aristides vol. 2. p. 345, 12. εἰ μὴ κατ' Αἰσχύλον ὡς ἀληθῶς ἐξ αἰθέρος τις αὐτὸ (τό τοῦ Νείλου ὕδωρ) κατάπυλτον φέρεσθαι θείη. Locum ex Memnone sumtum esse coniecit Hermannus Opusc. 7. p. 347.

305. Aristoteles H. A. 9, 49. μεταβάλλει δὲ καὶ ὁ ἔποψ τό χρῶμα καὶ τὴν ἰδέαν, ὥσπερ ὁ Αἰσχύλος πεποίηκεν ἐν τοῖσδε

τοῦτον δ' ἐπάπτην ἔποπα τῶν αὐτοῦ κακῶν
πεποικίλωκε κἀποδηλώσας ἔχει
θρασὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ,
ὃς ἦρι μὲν φαίνοντι διαπάλλει πτερὸν
κίρκου λεπάργου· δύο γὰρ οὖν μορφὰς φανεῖ
παιδός τε χαὐτοῦ νηδύος μιᾶς ἄπο·
νέας δ' ὀπώρας ἡνίκ' ἂν ξανθῇ στάχυς,
στικτή νιν αὖθις ἀμφινωμήσει πτέρυξ.
ἀεὶ δὲ μίσει τῶνδ' ἄπ' ἄλλον εἰς τόπον
δρυμοὺς ἐρήμους καὶ πάγους ἀποικιεῖ.

Plinius H. N. 10, 44. *mutat et upupa, ut tradit Aeschylus poeta.* V. 4. φαίνοντι vel φαίνοντα libri. φανέντι Nauckius. 6. χαὐτοῦ] καὐτοῦ libri. 7. ἡνίκ' ἂν ξανθῇ pro ἵνα καταξανθῇ Salmasius. 9. μίσει — ἀποικιεῖ] μισεῖ — ἀποικίσει libri. τῶνδ' ἄπ' ἄλλον (ἀπάλλου, ἀσπάλλον, ἀπαλῶν libri) εἰς τόπον] τῶνδ' ἀπαλλαγεὶς τόπων Heathius.

306 a. Clemens Alexandr. Strom. 4 p. 586. allato Pindari loco (fr. 250. Boeckh.) ταύτης τῆς ἐννοίας καὶ Αἰσχύλος ἐπιλαβόμενός φησι

τῷ πονοῦντι δ' ἐκ θεῶν
ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος.

306 b. Libanius Epist. 175. ἀκούων δὲ Αἰσχύλου λέγοντος ἐκ τῶν πόνων τίκτεσθαι ἀρετὰς βροτοῖς. Epist. 611. εἰ δ' οὖν καὶ πονοῦντα δεήσει διατελεῖν, Αἰσχύλος σε παραμυθείσθω τὰς ἀρετὰς ἐκ πόνων τίκτεσθαι λέγων. 351. εἰ δ' οἴει δεῖν ἃ φαμὲν ποιεῖν, μὴ μέλλε πειθόμενος Αἰσχύλῳ καὶ ἔτι πρότερον Ἡσιόδῳ.

307. Clemens Alexandr. Strom. 5. p. 661.

ἀλλ' ἔστι κἀμοὶ κλῂς ἐπὶ γλώσσῃ φύλαξ.

308. Plut. Mor. p. 950 e. ὑπὸ τοὐναντίου φθείρεται τῶν ἀπολλυμένων ἕκαστον ὥσπερ τὸ πῦρ ὑπὸ τοῦ ὕδατος εἰς τὸν ἀέρα. τὸ γὰρ ὕδωρ ὁ μὲν Αἰσχύλος εἰ καὶ τραγικῶς, ἀλλ' ἀληθῶς εἶπε "παῦ' ὕδωρ δίκην πυρός."

309. Aristides 2. p. 292. μὴ μὲν οὖν ἔμοιγε κατ' Αἰσχύλον μήτε παρασπιστὴς μήτ' ἐγγὺς εἴη ὅστις μὴ φίλος τῷ ἀνδρὶ τούτῳ μηδὲ τιμᾷ τὰ πρέποντα.

310. Plutarchus Mor. p. 36 e.

θάρσει· πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον.

311 a. Schol. Il. 15, 542.

ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῆσδε καρτερωτέρα;

V. 1. δίκη] δίκαι cod. Voss. in Valcken. Opusc. 2. p. 134. 2. τῆσδε pro τῶνδε Grotius.

311 b. Schol. Il. 15, 380. Αἰσχύλος δὲ Ἀχιλλέα σὺν τῇ πανοπλίᾳ φησὶν ὁπόθεν ὁρμήσαντα πηδῆσαι τὴν τάφρον μὴ δείξαντα τὰ νῶτα τοῖς ἐχθροῖς. Conf. Ar. Ran. 928. σαφὲς δ' ἂν εἶπεν (Aeschylus) οὐδὲ ἓν — ἀλλ ἢ Σκαμάνδρους ἢ τάφρους ἢ 'π' ἀσπίδων ἐπόντας | γρυπαέτους χαλκηλάτους.

312. Schol. Ar. Nub. 1128. et schol. Theocriti 15, 48.

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

Non nominato auctore afferunt Stephanus Byz. s. v. Αἴγυπτος, Suidas s. v. δεινοί, Zenobius 3, 37. Diogenianus 4, 35. Greg. Cypr. cod. Leid. 1, 88., cod. Mosq. 2, 84., Macar. 3, 21. schol. Aristid. vol. 3. p. 553. Eustath. ad Dionys. Per. 232. Danaidibus adscribit Hermannus.

313. Schol. Ar. Nub. 1367. μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου, ὥσπερ τὰ Ὁμήρου μετὰ δάφνης. παρὰ τὸ Αἰσχύλου "οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνισ." Verba vel defecta vel corrupta.

314. Schol. Homeri Il. 6, 239. et Eustathius p. 641, 59. ubi de nomine ἔτης cum spiritu leni scribendo agitur, παρὰ Αἰσχύλῳ οὕτως εὕρομεν "οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ." Sic in inscriptione Elea apud Boeckhium Corp. Inscr. vol. 1. p. 26. αἴτε Fέτσς (i. e. ἔτας cum digammo) αἴτε τελέστσ αἴτε δᾶμος ἐντ'.

315. Eustathius p. 1484, 48. Αἰθίοπα φωνὴν Αἰσχύλος λέγει, καὶ

πότερα γυνὴ τις Αἰθίοψ φανήσεται;

Ad Memnonem haec refert Hermannus.

316. Eustathius p. 1625, 43. Σοφοκλῆς ἔφη γηγενῆ βούβαλιν καὶ Αἰσχύλος

λεοντοχόρταν βούβαλιν νεαίρετον.

Legebatur νεαίτερον. νεαίρετος Agam. 1063. 1065.

317. Eustathius p. 1923, 61. Αἰσχύλος "ὡς λέγει γέρον γράμμα," τουτέστι λόγος. Catullum 68, 46. *charta loquatur anus* comparat Nauckius.

318. Athenaeus 2. p. 67 f. παρ' Αἰσχύλῳ "διαβρέχεις τορτύματα."

319. Athenaeus 3. p. 99 b. Αἰσχύλος τὸν "Αιδην ἀγησίλαον εἶπε.

320. Athenaeus 14. p. 632 c. πάντας τοὺς χρωμένους τῇ τέχνῃ ταύτῃ (τῇ μουσικῇ) σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ Αἰσχύλος ἐποίησεν,

εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν.

Versus corruptus. καλὰ] κάρτα Butlerus.

321. Athenaeus 9. p. 375 d. Αἰσχύλος φησὶν

ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον
τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω. τί γὰρ
ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον;

καὶ πάλιν

λευκὸς. τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος
ὁ χοῖρος. ἕψου, μηδὲ λυπηθῇς πυρί.

καὶ ἔτι

θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑός,
ἣ πολλὰ μ' ἐν δόμαισιν εἴργασται κακὰ
δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.

ταῦτα δὲ παρέθετο Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου.
V. 1. εὐθηλούμενον codex. ἐνθηλούμενον et ἀνθυλούμενον (i. e. ὠνθυλευμένον) ex apographis quibusdam affert Casaubonus. 2. ῥοθοῦντι scripsi pro ναθοῦντι. 3. βέλτερον pro βέλτιον Burneius. 4. Verba λεπτὸς (sic) καὶ καλῶς ἠφευμένος sine nomine poetae affert Eust. p. 1286, 21. 7. μ' pro γ' Porsonus.

322. Athenaeus 12. p. 528 c. τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας·

χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·
ὅθεν καλεῖν Κουρῆτα λαὸν ᾔνεσαν.

παρθένου ἁβρᾶς epitome et Eustathius p. 1292, 55.

323. Athenaeus 13. p. 573 b. καταλέξω δέ σοι, Ἰωνικήν τινα ῥῆσιν ἐκτείνας κατὰ τὸν Αἰσχύλου περὶ ἑταιρῶν —. Post Αἰσχύλου excidit nomen personae, velut Ἀγαμέμνονα, quod coniecit Meinekius collatis Agamemnonis verbis 803. θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε et 890. μακρὰν γὰρ ἐξέτεινα.

324. Strabo 6. p. 258. ὠνομάσθη δὲ Ῥήγιον εἴθ', ὥς φησιν Αἰσχύλος, διὰ τὸ συμβὰν πάθος τῇ χώρᾳ ταύτῃ· ἀπορραγῆναι γὰρ ἀπὸ τῆς ἠπείρου τὴν Σικελίαν ὑπὸ σεισμῶν ἄλλοι τε κἀκεῖνος εἴρηκεν "ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται." Glauco pontio adscribit Hermannus.

325. Strabo 8. p. 341. καὶ Αἰσχύλος

Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον.

Ex Strabone Eust. p. 305, 34. Archilocho recte adscribere videtur Meinek. Vindic. Strab. p. 103.

326. Strabo 8. p. 387. τῶν δὲ λοιπῶν πόλεων τῶν Ἀχαϊκῶν εἴτε μερίδων Ῥύπες μὲν οὐκ οἰκοῦνται· τὴν δὲ χώραν Ῥυπίδα καλουμένην ἔσχον Αἰγιεῖς καὶ Φαρεῖς. καὶ Αἰσχύλος δὲ λέγει που

Βοῦραν καθ' ἱρὰν καὶ κεραυνίας Ῥύπας.

Photius p. 492, 10. Ῥύπες: τῶν Ὠλενίων. οὕτως Αἰσχύλος. Hesychius, Ῥύπας: τοὺς ἐν τῇ Ἀρκαδίᾳ Ἀχαιούς.

327. Strabo 9. p. 393. Αἰσχύλος εἴρηκεν

Αἴγινα δ' αὕτη πρὸς νότου κεῖται πνοάς.

328. Pollux 6, 80. εἴποις δ' ἂν καὶ κοκκίσαι ῥόαν κατὰ Ἀριστοφάνην (fr. 506).

ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.

τουτὶ δὲ τὸ ἰαμβεῖον Ἀριστοφάνης οὐκ ἴδιον ὂν εἴρηκεν, ἀλλ' ὡς Αἰσχύλου.

329. Schol. Pind. Nem. 10, 31. λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν καὶ Αἰσχύλος

Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ.

330. Harpocratio p. 198, 1. μαλκίομεν: Δημοσθένης θ' Φιλιππικῶν φησι "μένομεν καὶ μαλακιζόμεθα." ἐν ἐνίοις γράφεται μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὄρρον φρίττειν. Αἰσχύλος

ἔλα, δίωκ' ἀκμῆτι μαλκίων ποδί.

Libri ἐλαδίω (vel ἐλλαδίῳ) κεκμῆτι. Correxit Hermannus Opusc. vol. 7. p. 194. ἔλα etiam Valesius.

331. Pollux 7, 78. ὅτι μέντοι καὶ τρίμιτα εἰργάζοντο Αἰσχύλος διδάσκει φήσας

σὺ δὲ σπαθητοῖς τριμιτίνοις ὑφάσμασι.

Ibid. 36. σπάθη, ὅθεν καὶ τὸ σπαθᾶν καὶ τὸ ἀσπάθητος χλαῖνα παρὰ Σοφοκλεῖ καὶ "σπαθητοῖς ὑφάσμασι." Hesychius, τρίμιτινα ὑφάσματα: τρίμιτα.

332. Pollux 7, 167. Αἰσχύλος δ' ἂν ἐοίκοι τὰ βαλανεῖα λουτήρια λέγειν

ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων.

Pollux 10, 46. λουτηρίου τινὸς, ἐπεὶ καὶ τοῦτο τοὔνομα ἐπὶ — τῶν λουτρῶν Αἰσχύλος εἴρηκεν. Ad Glaucum Pontium haec refert Hermannus Opusc. vol. 2. p. 69.

333. Etym. M. p. 149, 57. ἄρταμος: — παρὰ τὸ διαρτάσαι, ὅ ἐστι μερίσαι ἢ συναρμόσαι. Αἰσχύλος

τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον.

Hesychius, διάρτασον: διάστειλον.

334. Schol. Il. 11, 754. (et iisdem fere verbis Etym. M. p. 271, 19. et brevius Etym. cod. Voss.) οἱ δέ φασιν ἐκ πλήρους σπιδέος καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ· καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ "σπίδιον μῆκος ὁδοῦ." σπίδιον πεδίον ex Aeschylo Eustathius p. 882, 58.

335. Etym. M. p. 450, 37. θίς: — καὶ ἐπὶ τοῦ σωροῦ θηλυκῶς παρὰ Αἰσχύλῳ "θινὸς ἐμβολὰς ἁλός." His nec significatio nec genus probatur. θινός ἐμβολάδος Hermannus.

336. Etym. M. p. 537, 47. — καὶ νεοκρᾶτας σπονδὰς Αἰσχύλος τὰς νεωστὶ ἐγχυθείσας. Ibid. p. 541, 31., ubi de verbo κρῶ agitur, codices Florent. ap. Miller. *Mélanges de L. Gr.* p. 196., Havn. et Voss. addunt καὶ παρὰ Αἰσχύλῳ (καὶ Σοφοκλῆς Voss.) νεοκραὶ (νεόκρας Voss.) αἱ σπονδαὶ λέγονται, τουτέστιν αἱ (αἱ om. Voss.) νεωστὶ ἐκχυθεῖσαι (χυθεῖσαι Voss.)

337. Plato Reipubl. 8. p. 563 c. οὐκοῦν κατ' Αἰσχύλον, ἔφη, ἐροῦμεν ὅ τι νῦν ἦλθ' ἐπὶ στόμα. Hoc Aeschyli dicto utuntur Plut. Mor. p. 763 b. Themistius or. 4. p. 52 b.

338. Etym. M. p. 490, 12. ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα καλεῖ κάπηλα "κάπηλα προσφέρων τεχνήματα." Eadem Suidas s. v. κάπηλος. et grammaticus Crameri Anecd. Oxon. vol. 2. p. 456, 5. apud quem προσφέρονται vitiose, ut in Etym. Gud. p. 298, 8.

339. Crameri Anecd. Oxon. vol. 4. p. 315, 25. ἰστέον ὅτι παρ' Αἰσχύλῳ τὴν προσῳδίαν εὑρίσκομεν κειμένην ἐπὶ τῆς προσφωνήσεως, οὐ τῆς μετ' ὀργάνου φωνῆς,

οὔτοι (οὔτι cod.) μ' ἄπειρον τῆσδε τῆς προσῳδίας.

340. Eustathius p. 1183, 18. σημείωσαι δὲ ὅτι ἐπιτήδειος ἐδόκει πρὸς καθαρμὸν ὁ σῦς, ὡς δηλοῖ Αἰσχύλος ἐν τῷ

πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου
αὐτός σε χράνῃ Ζεὺς καταστάξας χεροῖν.

V. 1. παλαγμοῖς] σταλαγμοῖς Pauwius. 2. χράνῃ pro χρᾶναι Porsonus.

341. Hesychius, αὐλῶνες: οἱ ἐπ' εὐθείας τόποι. Αἰσχύλος καὶ τὴν τάφρον καὶ τὴν πυράν. Eust. p. 1157, 33. Αἰσχύλος δὲ φησι καὶ τὴν τάφρον αὐλῶνα, ἔνθα καὶ φιμοὺς λέγει αὐλωτοὺς, διὰ τὸ κώδωνας, φησί, προσῆφθαι αὐτοῖς, οἷς ἐμφυσῶντες οἱ ἵπποι ὡς φωνὴν σάλπιγγος προΐεντο. γράφει οὖν οὕτως

ὃς εἶχε πώλους τέσσαρας ζυγηφόρους
φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας.

Ad Glaucum Potniensem refert Hermannus. V. 1. τέσσαρας] τέτταρας Eust. 2. αὐλωτοὶ φιμοί ap. Polluc. 10, 56. et Hesychium.

342. Schol. Ar. Eq. 361. σχελίδας: βοὸς πλευρά. ἢ ἁπλῶς τὰ πλευρικὰ τῶν βοῶν, ὡς Αἰσχύλος.

343. Schol. Ar. Ach. 75. ὦ Κραναὰ πόλις: τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. Aeschyli Eum. 1011. πολισσοῦχοι παῖδες Κραναοῦ respici putat Nauckius.

344. τὸ ψιλῆς ψιλῆτος παρ' Αἰσχύλῳ memorant schol. Il. 5, 9. et Eustathius p. 515, 11.

345. Eust. p. 706, 50. εἴπερ ἦν τέθριππον, καὶ δύο ἂν εἶχε ῥυμούς, ὡς Αἰσχύλος φησὶν "ἐν διρρυμίᾳ πῶλοι."

346. Eustathius p. 1538, 50. στόμις παρ' Αἰσχύλῳ ὁ ὥσπερ στόματι ἀντερείδων χαλινοῖς (ἵππος). Pollux 2, 100. στόμιν (libri στόμα vel ἄστομον) δὲ Αἰσχύλος εἴρηκε τὸν τραχὺν (ἵππον). Phrynichus Bekk. p. 64, 14. στόμις (στόμης codex) καὶ βίαιος ἵππος: ὁ μὴ πειθόμενος τῷ χαλινῷ. Phot. p. 540. 16. et Suidas, στόμις (στομίας Suidas) ἵππος: ἀπειθὴς καὶ βίαιος. Hesychius, στόμις (στομίς codex): ὁ ἀπειθὴς, μέγα στόμα ἔχων. καὶ τοὺς ἵππους δὲ στόμιας (στομίας codex) λέγουσι τοὺς ἀπειθοῦντας τοῖς χαλινοῖς.

347. Eust. Opusc. p. 355, 28. ed. Tafel.: ἐν μετοπώρῳ γὰρ οὐ μόνον καινὸν, ἐὰν, ὡς ἡ παροιμία, ἄνθος ἀναφυῇ, ἀλλὰ καὶ ἐὰν κατ' Αἰσχύλον ἀρτίδροπος ὀπώρα νεάζουσα τρυγηθῇ. Sed fortasse respicit ad Sept. ad Theb. 333. Proverbium ἄνθος ἐν μετοπώρῳ memorat Eust. Opusc. p. 308, 63.

348. μυχθίζειν ex Aeschylo affert Eustathius p. 410, 25. 1695, 49. ἀναμυχθίζει est in Prometheo v. 743.

349. Stephanus Byz. p. 51, 1. Αἴνηθος: ὄρος. Αἰσχύλος. τὸ ἐθνικὸν Αἰνήθιος. In cod. uno αἰσχύλου est. ὄρος Αἰγύπτου l. Gronovius.

350. Tzetza ad Lycophr. 1247. Θέοινος ὁ Διόνυσος, ὡς θεὸς οἴνου εὑρετὴς, ὡς καὶ Αἰσχύλος φησὶ

πάτερ Θέοινε, Μαινάδων ζευκτήριε.

Harpocratio s. v. Θεοίνιον p. 151, 3. τὸν γὰρ Διόνυσον Θέοινον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος καὶ Ἴστρος ἐν ά Συναγωγῶν.

351. Grammaticus codicis Barocciani in Museo philol. Cantabrig. vol. 2. p. 114. βαρεώτερος: ἀπὸ τῆς γενικῆς εἶπον βαρέως βαρεώτερος, σπανίως μέντοι· καὶ ἔτι Αἰσχύλος μειζονώτερος, ὑπερτερώτερός τε καὶ χερειότερος καὶ ῥηΐτερος καὶ πλειότερος, etc. Iisdem fere verbis Maximus Planudes in Bachmanni Anecd. 2. p. 75, 14. ubi, καὶ τὸ μεῖζον μειζότερον, καὶ μειζονώτερον Αἰσχύλος, καὶ τὸ ὑπέρτερον ὑπερτερώτερον, etc. ὑπερβατώτερα Agam. 428. ubi Weilius ὑπερτερώτερα.

352. Pollux 6, 40. παμπόνηρον δὲ τὸ παρὰ τῷ Μυρτίλῳ τῷ κωμικῷ καταφαγᾶς, κἂν Αἰσχύλος ᾖ προειρηκώς. V. quae dixi in Thesauro vol. 4. p. 1376.

353. Pollux 7, 60. ἡ δὲ μανδύη ὅμοιόν τι τῷ καλουμένῳ φαινόλῃ. τίνων δέ ἐστιν, ὡς μὴ περιερχώμεθα Κρῆτας ἢ Πέρσας, Αἰσχύλος ἐρεῖ

Λιβυρνικῆς μίμημα μανδύης χιτών.

Stephanus Byz. s. v. Λιβυρνοὶ p. 415, 10. εὕρηται τὰ Λιβυρνικὰ σκάφη καὶ Λιβυρνικὴ μανδύη εἶδος ἐσθῆτος.

354. Pollux 7, 177. καὶ τὸν τὰς ἀλαβάστρους φέροντα Αἰσχύλος εἴρηκεν ἀλαβαστροφόρον.

355. Pollux 10, 180. καὶ στέγαστρον δὲ ὅστις ἐθέλοι ὀνομάζειν, ᾗπερ ἡ πολλὴ χρῆσις, τὴν στεγαστρίδα διφθέραν, τὸν σκύτινον τοῦτον χιτῶνα, καταφευγέτω ἐπὶ τὸν Αἰσχύλον εἰπόντα "ὀστέων στέγαστρον." Fortasse in Ὀστολόγοις.

356. Hesychius, ἐδανοῖς: βρωσίμοις. Αἰσχύλος. ἐδανὸν est in Agam. 1407.

357. Hesychius, ἠριγένεια: — καὶ παρ' Αἰσχύλῳ ἡ λέαινα ἠριγένεια, ἢ ἡ ἐν τῷ ἀέρι τίκτουσα, ἢ ἡ ἐν τῷ ἔαρι.

358. Hesychius, ἴττυγα (?): ἐκπληκτικά. Αἰσχύλος.

359. Hesychius, κεχρηματεῖσθαι (κεχρηματίσθαι Favorinus): πεφρύχθαι. Musurus κεχρηματίσθαι. Fort. κεχρωματίσθαι.

360. Hesychius, σαυροβριθὲς ἔγχος: ἐκ τοῦ σαυρωτῆρος βαρύ. καὶ Αἰσχύλος ὀπισθοβριθὲς ἔγχος ἔφη.

361. Etym. M. p. 93, 49. (conf. Zonaras Lex. p. 165.) Ἄμφις: τοῦτο οὐ συγκοπή, ἀλλὰ μετασχηματισμός· ἀπὸ γὰρ τοῦ Ἀμφιάρεος Ἄμφις, ὡς παρὰ Αἰσχύλῳ. et p. 159, 31. καὶ Ἀμφιάραος Ἄμφις.

362. Etym. M. p. 151, 49. ἀσαλής: ἡ ἄφροντις, ἡ μηδενὸς φροντίζουσα. σάλη γὰρ ἡ φροντίς. ἀσαλὴς ὁ ἀμέριμνος. Αἰσχύλος "ἀσαλὴς μανία." Anecd. Bekk. p. 450, 28. ἀσαλὴς μανία: ἡ μηδενὸς φροντίζουσα· σάλη γὰρ ἡ φροντίς. οὕτως Αἰσχύλος. Hinc Nauckius repetitum putat quod Photius habet p. 497, 14. σάλα: φροντίς. οὕτως Αἰσχύλος: quod omisso Aeschyli nomine Suidas per φροντίς, Hesychius per φροντίς et βλάβη explicat. Similis formae vox est μάνα, de qua Photius p. 246, 4.

363. Etym. M. p. 161, 15. ἀσχαδές: ἀκατάστατον. Αἰσχύλος. Hesychius, ἀσχαδές: ἀμετάσχετον. ἀκατάσχετον apud utrumque Nauckius.

364. Hesychius, ἄχνη πυρός: ὁ καπνός. καὶ Ἀριστοφάνης (Vesp 92.) οὕτως ἄχνην ὕπνου. Etym. M. p. 182, 56. ἄχνη: — Αἰσχύλου δὲ τὸν καπνόν. et omisso Aeschyli nomine Suidas s. v. ἄχναι et Proverb. app. 1, 44.

365. Etym. M. p. 279, 17. et Gud. p. 585, 14. τρισό-
ο
ζυος (τρισοζυ Dorv. Alii τρισόζωος) παρὰ Αἰσχύλῳ. Scribendum fortasse τρισοίζυς, ut πάνοιζυς dixit Choeph. 49. Similiter Bothius p. 110. τρισοΐζυος Lobeckius Paral. p. 253. Vid. Thesaurus vol. 7. p. 2464.

366. Etym. M. in cod. Florentino ap. Miller. *Mélanges* p. 151 ἠόνησας: σὺν τῷ ι ἀντὶ τοῦ ἔλουσας ἢ κατάντλησας (corr. κατήντλησας) — ἡ δὲ χρῆσις παρὰ Αἰσχύλῳ.

Ibid. apud Millerum p. 157. θετὸς υἱός: πρασποιητὸς παρ' Αἰσχύλῳ.

367. Etym. M. p. 674, 20. πλάστιγξ: ἡ μάστιξ ἀπὸ τοῦ πλήσσειν, παρ' Αἰσχύλῳ. Hoc sensu Choeph. 290, loco spurio χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας.

368. Photius p. 52, 20 ζεῦγος: τὰ ἐκ δυοῖν τινῶν ζευγνύμενον, ἀλλὰ καὶ τὸ ἐκ πλειόνων· καὶ γὰρ καὶ Ἰσοκράτης "τεθρίππων ζεῦγος" εἶπεν καὶ Αἰσχύλος "ζεῦγος τεθρίππων." Omisso Aeschyli nomine Etym. M. p. 409, 48. Probabilius autem ζεῦγος τέθριππον in Lexico Vindob. p. 95, 10. ubi vid. Naack. et in Praef. p. XLVIII.

369. Plut. Mor. p. 116 f. καὶ ὁ τραγικὸς Αἰσχύλος

ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν
ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.

Εὐριπίδου apud Stobaeum 108, 43. ubi ἀνδρῶν τάδ' ἐστὶν —. ἐνδίκων] ἐναρέτων Plutarchus. 2. ἐν τοῖς κακοῖσι] κἀν τοῖς δεινοῖσι Stobaeus, ubi κἀν τοῖσι δεινοῖς Grotius.

370. Plut. Mor. p. 625 d. οἱ γὰρ πρεσβύτεροι πόρρω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀναγινώσκουσιν, ἐγγύθεν δ' οὐ δύνανται. καὶ τοῦτο παραδηλῶν ὁ Αἰσχύλος φησὶν

σὺ δὲ
ἄπωθεν εἶδες αὐτόν· οὐ γὰρ ἐγγύθεν
ὁρᾷς, γέρων δὲ γραμματεὺς γενοῦ σαφής.

σὺ δὲ — γέρων] Libri οὐδὲ ἀπ' αὐτὸν οὐ γὰρ ἐγγύθεν γέρων. Emendatio incerta. γέρων δὲ γραμματεὺς πέφυκεν οὐ σαφής Meinekius.

371. Plut. Mor. p. 434 a. καὶ μετάλλων ἴσμεν ἐξαμαυρώσεις γεγονέναι καινάς, ὡς τῶν περὶ τὴν Ἀττικὴν ἀργυρείων καὶ τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος, ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν, ὡς Αἰσχύλος εἴρηκε

λαβὼν γὰρ αὐτόθακτον Εὐβοικὸν ξίφος.

Xylander αὐτόθηκτον. Valckenarius ὑδρόθηκτον. Nauckius αὐτὸς θηκτόν.

372. Plut. Mor. p. 451 e. καθάπερ οὖν τὴν φλόγα θριξὶ λαγῴαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ ῥᾴδιόν ἐστιν ἐπισχεῖν, ἐὰν δ' ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων, ταχὺ διέφθειρε καὶ συνεῖλεν

ὑψηλὸν ἡβάσασα τεκτόνων πόνον,

ὥς φησιν Αἰσχύλος —. ἡβήσασα Heathius. ἀμφιβᾶσα Paleius. ὑβώσασα R. Ellis in *The Journal of Philology*, Cambridge 1868. p. 75.

373. Proclus ad Hesiodi Op. 176. τουτέστι τὸ ἐκ Πανδώρας γένος, ἥτις ἦν κατὰ τὸν Αἰσχύλον

τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή.

Pertinet ad Prometheum: vide Hermann. de Prometheo soluto in Opusc. vol. 4. p. 272.

374. Plut. Mor. p. 1057 f. γέγονεν ἐκ ῥυσοῦ καὶ ὠχροῦ καὶ κατ' Αἰσχύλον

ἐξ ὀσφυαλγοῦς κὠδυνοσπάδος λυγροῦ
γέροντος

εὐπρεπής, θεοειδής, καλλίμορφος. V. 1. καὶ ὀδυνασπάδος libri.

375. Suidas, ἀποφώλιοι: ξένοι (ξένισι Anecd. Bekkeri p. 439, 12): οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι. φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες. Hesychius, ἀποφύλιοι: ξένοι οἱ μὴ ἔχοντες φυλήν. Αἰσχύλος (excidit nomen fabulae) σατυρικῷ. ἀποφύλιοι etiam apud Pollucem 3, 56.

376. Plut. Mor. p. 358 e.

ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα,

κατ' Αἰσχύλον. ἀποπτύσαι] Conf. Etym. M. p. 118, 31. cuius verba vide fr. 381. στόμα] τὸ στόμα codices.

377. Plut. Mor. p. 293 a. τί τὸ φυξίμηλον; τῶν μικρῶν ἐστι καὶ χαμαιζήλων φυτῶν, ὧν ἐπιόντα τοὺς βλαστοὺς τὰ βοσκήματα κολούει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν αὔξησιν. ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ καὶ διαφύγῃ τὸ βλάπτεσθαι ὑπὸ τῶν ἐπιγενομένων, φυξίμηλα καλεῖται. τὸ δὲ μαρτύριον Αἰσχύλος.

378. Hesychius, ἄνω ποταμῶν: παροιμία ἐπὶ τῶν ἐπ' ἐναντία γινομένων. κέχρηνται καὶ Αἰσχύλος καὶ Εὐριπίδης (Med. 410.).

379. Orio Etym. p. 26, 4. τὸ εἰς ξ μὴ ὄντα ἐθνικὸ ὁμοίως λέγεται καὶ ἐπὶ θηλυκῶν. Αἰσχύλος

δέσποινα νύμφη δυσχίμων ὀρῶν ἄναξ.

Suidas, ἄναξ: θηλυκῶς. οὕτως Αἰσχύλος. Edonis adscribit Hermannus.

380. Pollux 7, 61. καὶ χλαῖναν δὲ παχεῖαν, ἣν χειμάμυναν Αἰσχύλος κέκληκεν. Conf. Hesychium s. h. v. Sophocli (fr. 958.) hoc vocabulum tribuitur in Bachm. Anecd. 1. p. 415, 5.

381. Etym. M. p. 118, 22. ἀπάργματα: λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα. ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. ἦν γάρ τι νομικὸν τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον, διὸ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. — ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον Αἰσχύλος μαρτυρεῖ. Conf. fr. 376.

382. Schol. Soph. Electr. v. 283. ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος

οἵ τοι στεναγμοὶ τῶν πόνων ἰάματα.

οἵ τοι schol. Il. 23, 10. οἵ τε schol. Soph. in cod. Laur., οἱ δὲ in Flor. G., οἱ γὰρ in Urbinate. ἰάματα schol. Hom. ἐρείσματα schol. Soph. κουφίσματα Nauckius, ut ἰάματα et κουφίσματα permutata sunt in fragm. Menandri Com. 4. p. 240.

383. Schol. Soph. Oed. Col. 1017 τὸ περὶ Ἐλευσῖνα τέλη φησί, καὶ εἴη ἂν λαμπάσιν ἀκταῖς λέγων ταῖς λαμπαδευομέναις καὶ καταλαμπομέναις ὑπὸ τῆς μυστικῆς φλογὸς καὶ τῶν ἱερῶν δᾴδων, περὶ ὧν Αἰσχύλος φησὶ "λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει."

384. Schol. Soph. Oed. 1049. τέλη δὲ τὰς τελετάς· καὶ Αἰσχύλος "ἔφριξ' ἔρως δὲ τοῦδε μυστικοῦ τέλους." ἔρωτι Brunckius. Scribendum potius "ἔφριξ'· ἐρῶ δὲ τοῦδε μυστικοῦ τέλους."

385. Schol. Eur. Phoen. 912. οἱ περιλειφθέντες τῶν σπαρτῶν (ἐν τῇ πρὸς Κάδμον μάχῃ), ὡς Αἰσχύλος φησίν, ἦσαν Χθόνιος, Οὐδαῖος, Πέλωρος. Ὑπερήνωρ καὶ Ἐχίων. In aliquot codicibus Ἀγήνωρ pro Πέλωρος scriptum.

386. Schol. Theocriti 2, 36. ἱδρύοντο δὲ αὐτὴν (τὴν Ἑκάτην) καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος

δέσποιν' Ἑκάτη
τῶν βασιλείων πρόδρομος μελάθρων.

nuus liber πρόδομος. Aristides vol. I. p. 17. ἀλλ' ὦ τῶν βασιλείων πρόδρομος μελάθρων, Αἰσχύλῳ χορὸς ἦσε, τῶν τε οὐρανίων καὶ τῶν (τῶν omittunt codices) πατρῴων καὶ τῶν ἐν τῇ ἡμετέρᾳ μεγίστων ἃ νύκτωρ μοι πραΰφαινες.

387. Schol. Pind. Pyth. 2, 18. ἐναγώνιος δὲ ὁ Ἑρμῆς ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος φησὶν "ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ."

388. "Ad Edonos referendum videtur quod affert schol. Apoll. Rh. 1, 473. Αἰσχύλος δὲ καὶ τὰς Βάκχας χαλιμίας φησὶ λέγεσθαι (χαλίδας ἔφη apogr. Paris.). Corrigo: Αἰσχύλος δὲ καὶ τὰς Βάκχας χαλιμάδας, φασί, λέγει. Etym. M. p. 805, 10. καὶ τὰς Βάκχας χαλιμάδας ἔλεγον, τὰς χαλωμένας πρὸς συνουσίαν· καὶ χαλιμάζειν τὸ περὶ τὰς συνουσίας πείθεσθαι. Suidas: χαλίμα: ἡ πόρνη, ἀπὸ τοῦ χαλᾶσθαι τὸ σῶμα ἀπὸ μέθης ἢ μανίας. Emendatius scriptum apud Eust. p. 1471, 3. εἰ δὲ πρὸς τὰς τοιαύτας διάφοροί τινες ἦσαν αἱ κατ' Αἰσχύλον σπονδαὶ χαλίκρητοι ζητητέον· τοιαῦται δὲ αἱ ἐπὶ Διονύσῳ κροθεῖσαι, χάλις γάρ, φασίν, ὁ Διόνυσος· ἐξ ἐκείνου δὲ καὶ ὁ ἄκρατος οἶνος. ὅθεν καὶ χαλιμὰς γυνὴ κατὰ τοὺς παλαιοὺς ἡ ὑπὸ μέθης χαλωμένη τὸ σῶμα. Hesychius: χαλιμάδες: ἀναίσχυντοι καὶ θρασεῖαι. Credo χαλειμάδας, *laxivestes*, diotas." HERMANN.

389. Schol. Apoll. Rh. 4, 1348. στέρφεσιν αἰγείοις: τοῖς δέρμασιν· ἔνθεν καὶ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. ὅθεν καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν "μελανοστέρφων (sic apographa: μελαστέρφων L. μελανστέρφων Nauckius) γένος," οὐχ, ὥς τινες, μελανοστέρνων· οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται.

390. Eustathius p. 827, 31. οὕτω δὲ καὶ Αἰσχύλου μάχλον, φασίν, ἄμπελον εἰπόντος τὴν ῥεομένην, ἡ κωμῳδία μάχλον εἶπε τὸν ὑπὸ καταφερείας δίυγρον et similiter p. 1597, 32.

391. Ammonius p. 69. θεωρὸς καὶ θεατὴς διαφέρει. θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος, θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων. — καὶ Αἰσχύλος

βοᾷς τοιοῦδε πράγματος θεωρὸς ὤν.

392. Plut. Moral. p. 389 a. ᾄδουσι τῷ μὲν διθυραμβικὰ μέλη παθῶν μεστὰ καὶ μεταβολῆς· "μιξοβόαν γάρ, Αἰσχύλος φησί, πρέπει | διθύραμβον ὁμαρτεῖν | σύγκοινον Διονύσῳ." τῷ δὲ παιᾶνα. V. 3. σύγκοινον] σύγκωμον Porsonus ad Toupium vol. 4. p. 490.

393. Aristophanes Ran. 913. 914.

Δήμητερ ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.

ubi schol., παρόσον Ἐλευσίνιος τὸν δῆμον ὁ Αἰσχύλος ἦν· ἢ ὅτι ἐν τοῖς Ἐλευσινίοις ἐτελεῖτο τὰ δράματα τοῦ Αἰσχύλου. (Hoc laceptam.) ἐστὶ δὲ τοῦτο τὸ ἔπος Αἰσχύλου.

394. Macrobius Saturnal., 18, 6. *Euripides in Licymnio Apollinem Liberumque unum eundemque deum esse significans scribit* "δέσποτα φιλόδαφνε Βάκχε, Παιὰν Ἄπολλον εὔλυρε." *Ad eandem sententiam Aeschylus* "ὁ κισσεὺς Ἀπόλλων, ὁ Καβαῖος ὁ μάντις. Σαβαῖος Barnesius ad Eurip. Bacchar. 408. Conf. Lobeck. Aglaoph. p. 80. Codex Vaticanus (1605.) vetustissimus ΟΒΑΚΣΙΟΣ. Fortasse igitur scribendum, numeris Bacchiacis, ὁ κισσεὺς Ἀπόλλων ὁ Βάκχος θ' ὁ (ὁ Βακχεὺς ὁ Nauckius ὁ Βακχᾶς ὁ idem in Add. p. XIV.) μάντις

395. Stobaeus 121, 17. Αἰσχύλου

ζόης πονηρᾶς θάνατος αἱρετώτερος.
τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι
κρεῖσσον κακῶς πάσχοντα.

Versus primus legitur inter monosticha Menandri 193. ex quo αἱρετώτερος scripsi pro εὐπορώτερος, quod est apud Stobaeum: quocum Nauckius comparavit Xenoph. Reip. Laced. 9, 1. αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου. Similis versus fr. 86. βίου πονηροῦ θάνατος εὐκλεέστερος. ζόης scripsi pro ζωῆς. 2. ἐστὶν ἢ pro ἐστὶ μᾶλλον ἢ Grotius. 3. κρεῖσσον κακῶς πάσχοντα addit A, om. alii. πάσχοντα] πράσσοντα Nauckius.

396. Photius p. 188, 24. κυντερώτατα καὶ κυντατώτατα λέγουσιν. Εὔβουλος — Φερεκράτης — καὶ Αἰσχύλος. Alios huiusmodi comparativos vide fr. 351.

397. Photius p. 206, 10. λάμπουρις: ἡ ἀλώπηξ παρ' Αἰσχύλῳ. Aeschyli nomen omittit Hesychius. Vitiosum accentum λαμπουρίς correxit L. Dindorfius in Thesauro.

398. Ar. Ran. 929. σαφὲς δ' ἂν εἶπεν (Αἰσχύλος) οὐδὲ ἕν — ἀλλ' ἢ Σκαμάνδρους ἢ τάφρους ἢ 'π' ἀσπίδων ἐπόντας γρυπαέτους χαλκηλάτους. Conf. fr. 311 b

399. Photius p. 286, 8. ναρᾶς τε Δίρκης: ῥευστικῆς. Αἰσχύλος.

400. Photius p. 331, 2. corrupte ὁμάμαιτα: τὰ οὐρήματα. Αἰσχύλος. Recte Hesychius, ὀμίχματα: οὐρήματα.

401. Photius p. 353, 17. ὀστράκων: τῶν τοῦ ᾠοῦ. Αἰσχύλος. Hesychius, ὀστράκων: "ἀπτῆνα, τυτθόν, ἄρτι γυμνὸν ὀστράκων." ἀντὶ τοῦ ᾠῶν. τινὲς δὲ κελύφων.

402. 403. Photius p. 361, 11. οὐρανιζέτω: πρὸς τὸν οὐρανὸν ἱκνείσθω. Αἰσχύλος. οὐρανίζετο: πρὸς τὸν οὐρανὸν ἱκνεῖτο. Altera glossa est etiam apud Hesychium, et in Bachmanni Anecd. vol. 1. p. 322, 19. ubi corrupte αὐράνιζεν· τὸ πρὸς etc. Comparandum autem cum hoc verbo verbum est προσαιθρίζειν, quod restitui Aeschylo Agam. v. 301. Tertium huiusmodi verbum annotavit Hesychius, προσαυρίζουσα χερσαίᾳ τροχῇ: ὑπὸ τῆς αὔρας ἡ νοτὶς προσπίπτουσα τῇ τραχῇ. δύναται δὲ οἷον καταλαμβάνουσα· ἐπαυρεῖν γὰρ τὸ καταλαμβάνειν καὶ ἐπιτυγχάνειν. in quibus facile est hunc Aeschyli, nisi fallor, versum agnoscere,

νοτὶς προσαυρίζουσα χερσαίᾳ τροχῇ.

404. Photius p. 427, 9. πεφρασμένος: παρεσκευασμένος εἰς τὸ φρασθῆναι, προσεκτικὴν ἔχων διάνοιαν. Αἰσχύλος. Aeschyli nomen omisit Hesychius

405. Photius p. 447, 14. πρέψαι: τὸ ὁμοιῶσαι (ὁμοιῶσθαι Nauckius). Αἰσχύλος. Vid. ad Agam. 1328.

406. σάλα. Vid. fr. 362

407. Schol. Il. 14, 200. ὁμοίως δὲ καὶ Αἰσχύλος τὰς ἐν κύκλῳ ἑστώσας ἐν ἀπείρανι σχήματί φησιν ἵστασθαι

ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας
κύκλῳ περίστητ', ἐν λόχῳ τ' ἀπείρονι
εὔξασθε.

Vulgo παρίστατε. Correxit Hermannus, qui hos versus Danaidibus adscribit. Eadem in schol. ad Odyss. I, 98. ubi περίστατε.

408. Schol. Ar. Av. 1679. καὶ Αἰσχύλος τὸ βαρβαρίζειν χελιδονίζειν φησί. Conf. Agam. 1050. χελιδόνος δίκην ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη.

409. Hesychius, ἀλαιός: ὁ παλαιός, ἄφρων. Αἰσχύλος. Immo ἀλεός: vid. Herodian. περὶ μον. λέξ. p. 4, 19. schol. Arist. Lys. 988. Etym. M. p. 59, 45.

410. Athenaeus 8. p. 362 f. τὰς δὲ τοιαύτας εὐωχίας Αἰσχύλος καὶ Εὐριπίδης εἰλαπίνας ἀπὸ τοῦ λελαπάχθαι.

411. Etym. Gud. p. 378, 38. μανὸν ἔλεγον τὸ ἀραιόν, ὡς καὶ Αἰσχύλος "ἐν μανοστήμοις πέπλοις", τοῦτ' ἔστιν ἀραιοῖς. Eadem ex aliis codicibus ediderunt Salmasius ad Tertullianum de pallio p. 41. Ruhnkenius ad Timaeum p. 177. Gaisfordius ad Etym. M. p. 1629. Cramerus in Anecd. Oxon. vol. 1. p. 288, 23. et μανοστήμοις ex hoc loco Hesychius. Id prima syllaba correpta dixisse poeta videtur. Quo non refutatur Phrynichi (in Bekkeri Anecdotis p. 51.) praeceptum de adiectivi μανός syllaba priore producta.

412. Etym. Gud. p. 85, 44. (ap. Gaisf. p. 451.) ἀστεμφής (ἀστεμβής codex): — παρὰ τὸ στέμβω, ὃ σημαίνει τὸ κινεῖν συνεχῶς, οὗ μέμνηται Αἰσχύλος. Ita haec emendanda ex codicibus Parisiois apud Bastium ad Gregor. p. 626.

413. Phrynichus Bekkeri p. 6, 13. ἄτεγκτος παρηγορήμασιν: Αἰσχύλος. δοτικῇ ἀντὶ γενικῆς Ἀττικῷ ἐχρήσατο ἔθει. Versus integer, non nominato auctore, ib. p. 458, 18. ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν.

414. Phrynichus Bekkeri p. 6, 16. ἀπαίρειν: τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης.

415. Phrynichus Bekkeri p. 20, 13. ἀναγκόδακρυς: ὁ πρὸς ἀνάγκην δακρύων καὶ μὴ ἐκ πάθους τινὸς ἢ συμφορᾶς. Αἰσχύλος.

416. Phrynichus Bekkeri p. 23, 12. ἀκταινῶσαι: — Αἰσχύλος "οὐκέτ' ἀκταίνω" φησί, βαρυτόνως, οἷον οὐκέτι ὀρθοῦν δύναμαι ἐμαυτήν. Ad Eumen. 36. ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν βάσιν rettulit Ruhnkenius ad Timaeum p. 21, qui aliorum grammaticorum de hoc verbo locos indicat.

417. Phrynichus Bekkeri p. 48, 22. κακοῖς κακὰ ἰᾶσθαι: τὸ ἀποκρύπτειν τὰ φθάσαντα κακὰ τοῖς ἐφεξῆς πραττομένοις κακοῖς. Αἰσχύλος "μὴ κακοῖς ἰῶ κακά". Huc referri potest gl. Hesychii ἰῶ: θεράπευε, ἰάτρευε.

418. Anecd. Bekkeri p. 337, 8. Αἰσχύλος δέ φησι καὶ "φρὴν ἀγέλαστος." ἀγέλαστα πρόσωπα dixit Agam. 794.

419. Anecd. Bekkeri p. 347, 32. ἄειλα: τὰ πολύσκια χωρία κατὰ στέρησιν τῆς ἕλης. οὕτως Αἰσχύλος. Hesychius ἄειλα πεδία: ἀνήλια· εἵλη γὰρ ἡ τοῦ ἡλίου αὐγή.

420. Anecd. Bekkeri p. 349, 6. ἀηδόνειος θρῆνος: Αἰσχύλος "θρηνεῖ δὲ γόον τὸν ἀηδόνιον." Codex ἀηδόνειον.

421. Anecd. Bekkeri p. 363, 17. αἰῶ τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν. Hanc formam in versu bacchiaco Choeph. 350. pro αἰῶνα, quod metro repugnat, restituit H. L. Ahrensius.

422. Anecd. Bekkeri p. 368, 29. ἀκνίσωτος οἶκος: ὁ ἄνευ πυρὸς καὶ κνίσης. οὕτως Αἰσχύλος.

423. Anecd. Bekkeri p. 372, 9. ἄκουε τὰς ἐμὰς ἐπιστολάς: ἀντὶ τοῦ τῶν ἐμῶν ἐπιστολῶν. οὕτως Αἰσχύλος.

424. Anecd. Bekkeri p. 382, 30. Αἰσχύλος "μέγαν ἀλάστορον" εἶπεν. Vid. ad fr. 90.

425. Anecd. Bekkeri p. 383, 31. ἀλκάθω καὶ ἀλκάθειν: Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ βοηθεῖν. Nullum est praesens ἀλκάθω, ἀλκάθειν, sed aoristus ἀλκαθεῖν.

426. Anecd. Bekkeri p. 421, 5. ἀπέλληται: ἀνταγωνισταί. οὕτως Αἰσχύλος. Glossa corrupta.

427. Anecd. Bekkeri p. 450, 4. ἀρχῆθεν: οὐκ ἔστι παρὰ τοῖς Ἀττικοῖς πλὴν παρ' Αἰσχύλῳ, παρ' Ἡροδότῳ δὲ ἔστι καὶ τοῖς Ἴωσιν. Est etiam apud Sophoclem fr. 132.

428. Anecd. Bekkeri p. 450, 30. ἆσαι: βλάψαι. οὕτως Αἰσχύλος. Participio ἄσας usus est Sophocles fr. 554.

429. Anecd. Bekkeri p. 467, 9. αὐτόκρανον λόγον: τὸν ἐξ ἑαυτοῦ τὸ τέλος ἐπιφέροντα. οὕτως Αἰσχύλος. Etym. M. p. 173, 34. αὐτόκρανα· αὐτόδηλα, αὐτοκράαντα. Hesych. αὐτόκρανα: αὐτόδηλα, ἑαυτὰ δηλοῦντα· ἢ κίονα μονόλιθον. Qui duo diversae et originis et significationis vocabula commiscuit. Pro αὐτόκρανος priore significatione dictum exspectes potius αὐτόκραντος, ut μοιρόκραντος et πολεμόκραντος dixit Aeschylus, non μοιρόκρανος et πολεμόκρανος. Quod apud Hesychium legitur ἐπίκρανος: ἐπιμελητής, ἐπίχαρις, ex ἐπιήρανος depravatum esse vidit Salmasius.

430. Choeroboscus p. 237, 9. ed. Gaisf. τοῦ βοὸς ἡ γενικὴ οὐ μόνον βοός, ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ (fr. 277.) καὶ παρὰ τῷ Αἰσχύλῳ.

431. Choeroboscus in Crameri Anecd. Oxon. vol. 2. p. 318, 6. τὰ παρὰ τὸ κρᾶτα διὰ τοῦ αι γράφεται, οἷον κραταίβιος· κραταίπιλος ὁ ἰσχυρὸν πίλιον ἔχων παρὰ Αἰσχύλῳ. Conf. Eustath. p. 1938, 2.

432. Choeroboscus in Theodos. p. 232, 3. πάλαμυς παλάμυος· τὸ γὰρ παλάμυδος διὰ τοῦ δος κλιθὲν παρ' Αἰσχύλῳ ἡμάρτηται. ἔστι δὲ ὄνομα κύριον (Φρύγιον Nauckius) βασιλέως. Veram scripturam πάλμυς πάλμυος et πάλμυδος retitui in Thesauro vol. 6. p. 108. ubi pluribus de hoc vocabulo dixi, quod non est nomen proprium, sed appellativum, *regem* significans. Genitivo πάλμυδος usus est Hipponax in versibus ab Tzetza servatis ap. Cramer. Anecd. Oxon. vol. 3. p. 310. ex quo ten Brink in Philologo 6. p. 70. probabiliter collegit Aeschylum pro Hipponacte ab Choerobosco nominatum esse.

433. Crameri Anecd. Oxon. vol. 2. p. 414, 12. τονθορύζω· — καὶ Αἰσχύλος

ἐτονθόρυζε ταῦρος ὡς νεοσφαγής.

434. Schol. Ar. Lys. 1259. πολὺς δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει: πρὸς τὸ παρὰ τῷ Ἀρχιλόχῳ "πολλὸς δ' ἀφρὸς ἦν περὶ στόμα." καὶ Σοφοκλῆς (Electr. 719.). Αἰσχύλος δὲ

ἀφρὸς
βορᾶς βροτείας ἐρρύη κατὰ στόμα.

ἐρρύη κατὰ pro ἐρρυηκότα Porsonus.

435. Schol. Eur. Or. 25. ἡ γὰρ Κλυταιμνήστρα χιτῶνα ὕφανεν οὔτε ταῖς χερσὶν οὔτε τῇ κεφαλῇ ἔκδυσιν ἔχοντα —. Αἰσχύλος δέ φησιν

ἀμήχανον τεύχημα καὶ δυσέκδυτον.

τεύχημα] τέχνημα Nauckius. δυσέκδυτον scripsi pro δυσέκλυτον.

436 a. Herodotus 2, 156. ubi de Cereris et Dianae cultu apud Aegyptios agit, ἐκ τούτου δὲ τοῦ λόγου καὶ οὐδενὸς ἄλλου Αἰσχύλος ὁ Εὐφορίωνος ἥρπασε τὸ ἐγὼ φράσω, μοῦνος δὴ ποιητέων τῶν προγεγενημένων· ἐποίησε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος. unde Pausanias 8, 37, 6. Δήμητρος Ἄρτεμιν θυγατέρα εἶναι καὶ οὐ Λητοῦς, ὄντα Αἰγυπτίων τὸν λόγον, Αἰσχύλος ἐδίδαξεν ὁ Εὐφορίωνος τοὺς Ἕλληνας. Hoc ab Aeschylo factum esse in Aegyptiis coniecit Larcherus in Annot. ad Etymolog. M., quas Sturzius in Appendice ad Orionem repetivit p. 213., in Danaidibus Welckerus in Museo Rhenano vol. 4. a. 1846. p. 503.

436 b. Pausanias 2, 24, 4. Αἰσχύλος δὲ ὁ Εὐφορίωνος καλεῖ Δία καὶ τὸν ἐν θαλάσσῃ. ex quo colligi potest Aeschylum Δία ἐνάλιον dixisse. Monuit Hermannus collato Proclo in Platon. Cratyl. c. 147. p. 88. ὁ δὲ δεύτερος δυαδικῶς καλεῖται Ζεὺς ἐνάλιος καὶ Ποσειδῶν.

437. Probus in Vergil. Georg. 3, 34. p. 57, 22. *Erichthonius ex Electra et Iove nascitur, ut Scilos (soilos P) scriptor tragicus sentit.* ubi *Aeschylus* recte Schneidewinus.

438. Athenaeus 3. p. 86 b. Αἰσχύλος ἐν Πέρσαις τινὰς νήσους νηριτοτρόφους εἴρηκεν. Sic correxi quod in codice est πέρσαις τὶς ἀνήρει τοὺς νήσους. Erratum autem in nomine fabulae est sive ab Athenaeo sive ab librario: ut coniecturae locus sit Περραιβίσι νήσους v., cuius de fabulae nomine restituendo etiam Blomfieldus cogitavit Praef. ad Pers. p. XXVIII. Alii Aeschylum memoriae errore pro Epicharmo vel Phrynicho nominatum esse coniecerunt, quos ipsos quoque Πέρσας scripsisse constat.

439. Schol. Hermogenis apud Walzium Rhet. vol. 5. p. 486. ubi explicat quid sit ὑπόξυλον: κεῖται δὲ ἐπὶ τῶν λαμπρῶν μὲν ἔξωθεν καὶ ἐπιεικῶν, πονηρῶν δὲ τὰ ἔνδον. Αἰσχύλος ἐν Πέρσαις. Non legitur in Persis.

440. Epimerismi Homerici in Crameri Anecd. Oxon. vol. 1. p. 119, 12. παρὰ δὲ Ἀττικοῖς (ἡ διά) προλαμβάνει τὸ ἰῶτα, καὶ γίνεται διαί, καὶ συντάσσεται γενικῇ καὶ ἰσοδυναμεῖ τῷ ἕνεκα·

πᾶσα γὰρ Τροία δέδορκεν Ἕκτορος τύχης διαί·

ἀντὶ τοῦ ἕνεκα Ἕκτορος. καὶ ἐν Ἀγαμέμνονι (448.) "ἀλλοτρίας διαὶ γυναικός," ἀντὶ τοῦ ἕνεκα. Quum versum ex Agamemnone sine nomine poetae ponat, non videtur dubitari posse quin prior quoque versus Aeschyli sit, in quo δέδορκεν corruptum est sive ex δέδοικεν sive, quod Bernhardyus coniecit, ex δέδουπεν.

441. Philo Iud. de provid. 2. p. 52. ed. Aucher. (vol. 8. p. 50. Richt.), *si, ut Aeschylus dicit "Iovem ex sceleratorum genere eximit et ab iniustis lex", oporteret contrarium esse illum ex iniustis: non ita tamen res se habet.* In quibus Schneidewinus Philol. vol. 6. p. 610. haec fere agnoscere sibi videbatur Aeschyli verba, τόν τοι Δία | ἐκ τῶν ἀνάγνων ἐξαφαιρεῖται νόμος | κὰκ τῶν ἀλιτρῶν.

442. Philo ibid. p. 102. Auch. (8. p. 88. Richt.) *alias*

civitates pestilentiae — vacuas ab hominibus reddidere. — quod plenius Aeschylus asserit dicens "dira lues vacuam maxillam voracem in populos circumferens adimplet mortuorum corpora sepeliendo." δεινὸς δὲ λοιμὸς _ ◡ _ γνάθον κενὴν | μαργῶσαν ἐν λαοῖσιν ἐνδατούμενος | πίμπλησι θνητῶν σώματ' ἐγκρύπτων ταφαῖς Meinekius: λοιμὸς ἄγριος | κενὴν γνάθον μαργῶσαν εἰς λαοὺς πέριξ|φέρων ἔπλησε, σώματ' εὐνάζων νεκρῶν Nauckius.

443. Schol. Eurip. Phoen. 175. vol. 3. p. 87. Ἡσίοδός (Theog. 371.) φησιν ἀδελφὴν Ἡλίου εἶναι τὴν Σελήνην — Αἰσχύλος δὲ καὶ οἱ φυσικώτεροι θυγατέρα, παρόσον ἐκ τοῦ ἡλιακοῦ φωτός μεταλαμβάνει ἀμέλει καὶ πρὸς τὰς ἡλιακὰς ὑποστάσεις μεταμορφοῦται ἡ σελήνη. Hanc opinionem etiam Euripides secutus est in loco Phoenissarum et tragicis tribuit schol. Arati 455. παρὰ τοῖς τραγικοῖς Ἡλίου θυγάτηρ λέγεται (ἡ Σελήνη), ἐπειδὴ τὸ φῶς ἐξ αὐτοῦ ἔχει. de quo pluribus dixit Hauptius in Herme Berol. vol. 1. p. 26.

444. Schol. Il. 19, 87. ἠεροφοῖτις: — οἷον ἐρεβοφοῖτις. (Conf. Etym. M. p. 421, 54) ἔνιοι δὲ ἱροπῶτις παρὰ τὸ Αἰσχύλειον (?), quibus in cod. Townleiano additur οἱ δὲ εἰαροπῶτις ἐγκειμένου τοῦ εἶαρ, ὅπερ ἐστὶ κατὰ Σαλαμινίους αἷμα.

445. Eustathius p. 48, 37. καὶ Αἰσχύλος δέ που, φασί, τὸν ἰατρὸν μάντιν ὀνομάζει. Immo ἰατρόμαντιν, quo usus est Suppl. 260. Agam. 1605. Eumen. 62.

446. Proverbium ab Zenobio 6, 14. ex Aeschyli Aiace Locrensi allatum ad Sophocleam fabulam rettuli (fr. 18.). Contrario errore scholiasta Promethei v. 435. Phryges Aeschyli Sophocli tribuit. Alio modo ab Didymo erratum est de versu Ar. Ran. 704. τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις, ubi schol. Δίδυμός φησι παρὰ τῷ Αἰσχύλῳ· ἔστι δὲ ὄντως παρὰ Ἀρχιλόχῳ "καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις."

ΕΛΕΓΕΙΑ.

Ἐλεγεῖα ab Aeschylo scripta esse annotavit Suidas s. v. Αἰσχύλος et ἐλεγεῖον εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας memorat biographus p. 4, 9. ed. Oxon. et disertius Plutarchus Quaest. symp. p. 628 e. Γλαυκίας ὁ ῥήτωρ καὶ τὸ δεξιὸν κέρας Αἰαντίδαις τῆς ἐν Μαραθῶνι παρατάξεως ἀποδοθῆναι, ταῖς Αἰσχύλου εἰς (εἰς addidit Stephanus) τὴν μεθοριαν (?) ἐλεγείαις πιστούμενος, ἠγωνισμένου τὴν μάχην ἐκείνην ἐπιφανῶς.

447. Plut. Mor. p. 334 d. ἤσκει διὰ τῶν ὅπλων δεινὸς εἶναι καὶ κατὰ τὸν Αἰσχύλον

βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιπάλοις.

Utitur hoc loco Plutarchus modo addito modo omisso nomine poetae Mor. p. 317 e. 640 a. Vitar. p. 887 b. (Compar. Demosth. cum Cicerone c. 2. ubi βριθὺν ὁπλιτοπάλαν δάϊον ἀντιπάλοις). Sine nomine etiam Eustathius p. 513, 33. qui ἀντιμάχοισι posuit pro ἀντιπάλοις.

448. Theophr. H. Pl. 9, 15. p. 313. ed. Schneider. καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις ὡς πολυφάρμακον λέγει τὴν Τυρρηνίαν

Τυρρηνὸν γενεάν, φαρμακοποιὸν ἔθνος.

Τυρρηνῶν Bergkius. Plin. H. N. 25, 5. *certe quid non replevere fabulis Colchis Medea aliaeque, in primis Itala Circe, diis etiam adscripta? unde arbitror natum ut Aeschylus e vetustissimis in poetica refertam Italiam herbarum potentia proderet.*

449. Epigramma sepulcrale Aeschylo adscriptum est in Anthologia Palat. 7, 255.

Κυανέη καὶ τούσδε μενεγχέας ὤλεσεν ἄνδρας
Μοῖρα, πολύρρηνον πατρίδα ῥυομένους.
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

450. De epigrammate sepulcrali, quod Aeschylum sibi ipsum scripsisse crediderunt Athenaeus et Pausanias, dixi in annotatione ad Vitam Aeschyli p. 5, 7. ed. Oxon. ubi duo ex quibus constat disticha afferuntur,

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Versus ab falsario Iudaeo, de quo Boeckhius dixit in libro de Trag. p. 150. seqq., Aeschylo suppositos servavit Clemens Alex. Strom. 5. p. 727 (Euseb. Pr. E. p. 689 b): Αἰσχύλος μὲν ὁ τραγῳδοποιὸς τὴν δύναμιν τοῦ θεοῦ παρατιθέμενος οὐκ ὀκνεῖ καὶ ὕψιστον αὐτὸν προσαγορεύειν διὰ τούτων,

χώριζε θνητῶν τὸν θεὸν καὶ μὴ δόκει
ὅμοιον αὐτῷ σάρκινον καθεστάναι.
οὐκ οἶσθα δ' αὐτόν· ποτὲ μὲν ὡς πῦρ φαίνεται
ἄπλατος ὁρμῇ, ποτὲ δ' ὕδωρ, ποτὲ δὲ γνόφος·
καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερής,
ἀνέμῳ νεφέλῃ τε κἀστραπῇ, βροντῇ, βροχῇ.
ὑπηρετεῖ δ' αὐτῷ θάλασσα καὶ πέτραι
καὶ πᾶσα πηγὴ χὔδατος συστήματα·
τρέμει δ' ὄρη καὶ γαῖα καὶ πελώριος
βυθὸς θαλάσσης κὠρέων ὕψος μέγα,
ἐπὰν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου.
πάντα δύναται γάρ· δόξα δ' ὑψίστου θεοῦ.

Eundem locum Aeschylo tribuit Iustinus Martyr vol. 1. p. 112. V. 2. ὅμοιον αὐτῷ] ὅμοιον σαυτῷ vel σαυτῷ ὅμοιον Eusebius. 3. οἶσθα δ'] οἶσθά γ' vel οἶσθας (sic CFG) Eus., οἶσθας Iust. 4. ὁρμή] ὁρμῇ Eus. ποτὲ γνόφος Iust. Eus. 5. αὐτὸς libri. 10. ὕψος ἐπὶ μέγα Eus. 11. ἐπὰν] ὅταν Iust. 12. δυνατὴ Eus. δ' om. Eus.